


RTIS ET VIGILA

HOMERI

ODYSSEA

CUM SCHOLIIS VETERIBUS.

ACCEDUNT

BATRACHOMYOMACHIA

HYMNI

FRAGMENTA.

TOMUS II.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXXVII.


BIBLIOTHECA BODLEIANA

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ν.

Νῦ, Ἰθάκης ἐπέβη, Φαιήκων πομπῇ, Ὀδυσσεύς.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ
ὑψερεφὲς, τῷ σ' οὔτι παλιμπλαγχθέντα γ' ὀΐω
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,

5. ὑψερεφὲς] ὑψηρεφὲς H. ib. γ' omissum ex rasura H. 7. Ϝεκάστῳ. Ϝείρω.

Ὑπόθεσις. Κοιμώμενον Ὀδυσσέα μετὰ τῶν δώρων ἐκτιθέασιν οἱ Φαίακες εἰς τὴν γῆν τῶν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποστρέφουσαν λίθον ποιεῖ ὁ Ποσειδῶν. Ἀθηνᾶ δὲ ἐπὶ τῷ αἰγιαλῷ ὄντι Ὀδυσσεῖ συμβουλεύει περὶ τῆς μνηστηροφονίας. Pal. Vulg. Q. Καὶ τὰ χρήματα ἔν τινι σπηλαίῳ ἀποκρύπτει, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα. Pal. Vulg. 2. Κηληθμῷ] Τῇ δι' ἀκοῆς ἡδονῇ. B. Θέλξει, τέρψει. κήλησις γάρ ἐστιν ἡ δι' ᾠδῆς τέρψις καὶ ἡδονή. Vulg. 4. Χαλκοβατὲς δῶ] Νῦν κυρίως κεῖται ἡ λέξις. τοιαῦτα γὰρ τὰ τοῦ Ἀλκινόου βασιλέως· Χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατο (η'. 86.), καὶ τὰ ἑξῆς. Q. (Harl.) Χαλκοβατές] ἤτοι χαλκοῦν ἔδαφος ἔχον, ἢ χαλκοῦς ἔχον τοὺς βαθμοὺς τῶν θυρῶν. Vulg. 5. Τῷ σ' οὔτι] Ἐπειδὴ τὸ ἐμὸν οἴκημα κατέλαβες, διὰ τοῦτο νομίζω σε οὐκέτι πλανηθέντα ἐπανελθεῖν εἰς τὸν οἶκον, ἀλλὰ χωρὶς πλάνης, εἰ καὶ πρότερον κακὰ ἔπαθες. B. Q. Παλιμπλαγχθέντα] Ὀπισθόρμητον γενόμενον. Vulg. 6. Εἰ καὶ μάλα πολλά] Τοιοῦτόν ἐστιν ὃ λέγει, εἰ καὶ ἀγνωμόνως ἡ τύχη σοι κέχρηται, καὶ ἐπὶ τὸ πλεῖστον ἐναντιοῦται, ἀλλ' οὐ νῦν οἴομαί σε ἁμαρτεῖν τῆς πατρίδος ἡμῶν προπεμπόντων. Q. 7. Ἐφιέμενος τάδε εἴρω] Μετὰ προθυμίας τάδε λέγω. Vulg. Ἐφιέμενος] Ἐναλλασσόμενος, ἐντελλόμενος. Vulg.

5

ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ·
εἵματα μὲν δὴ ξείνῳ ἐϋξέστῃ ἐνὶ χηλῷ
κεῖται, καὶ χρυσὸς πολυδαίδαλος, ἄλλα τε πάντα
δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
ἀλλ' ἄγε, οἱ δῶμεν τρίποδα μέγαν, ἠδὲ λέβητα,
ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
τισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι.
Ὣς ἔφατ' Ἀλκίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
νῆ' ἄρ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν·
καὶ τὰ μὲν εὖ κατέθηχ' ἱερὸν μένος Ἀλκινόοιο,

8. Ϝεῖνον. 10. Ϝείματα. 13. Ϝοῖ. 16. ἐπεϜάνδανε. 17. Ϝοῖκόνδε Ϝέκαστος.

8. Γερούσιον οἶνον] Τὸν τοῖς ἐντίμοις διδόμενον. Vulg. Q. 10. Εἵματα μὲν δὴ ξείνῳ] Μέλλων δωρεὰς δώσειν ἑτέρας αὐτῷ, καὶ τῶν ἤδη δεδομένων μνημονεύει ἀθροίζων ἅπαντα καὶ μεγαλύνων τὴν διὰ τῶν δώρων τιμήν. εὐπρεπῶς δὲ τὸν λόγον ἐξήνεγκεν οὐκ ἄντικρυς φήσας ὅτι ἔλαβες μὲν καὶ ἐσθῆτα καὶ χρυσὸν καὶ ἄλλα δῶρα, νῦν δὲ καὶ τρίποδά σοι καὶ λέβητα κατ' ἄνδρα προθήσομεν. Καὶ ἄλλως. Περὶ τῶν δώρων διαλεγόμενος ὅτι ἐν ἀσφαλεῖ ἀπόκειται ὑπέμνησεν αὐτῷ τῶν ἤδη δεδομένων. Q. 11. Πολυδαίδαλος] Ὁ ποικίλος καὶ μετὰ τέχνης κατεσκευασμένος· ἢ εἰς τὸ δαιδάλλεσθαι καὶ ποικίλλεσθαι εὔθετος. Vulg. et, inde ab εἰς τό, B. 12. Δῶρ' ὅσα Φαιήκων] Ἀντὶ τοῦ ὑμεῖς. οὐ γὰρ ἄλλοι τινὲς ἦσαν οἱ δόντες. B. 14. Ἀνδρακάς] Κατὰ ἄνδρα. Vulg. Ὁ λόγος, κατὰ ἄνδρα νῦν προδῶμεν, ὕστερον δὲ ἐκ τοῦ δήμου ἀναπραξόμεθα. B. Q. Vind. 133. Τινὲς γράφουσι, ἄνδρα κάτα. ὁ δὲ Φρύνιχος ἀνδρακάδα φησὶ τὴν τῶν ἀνδρῶν δεκάδα. Harl. Vind. 133. Sed Vind. addit: ἔστι δὲ ἐπίῤῥημα ὡς ἑκὰς καὶ ἐντυπάς. Ὁ Φρ.——δεκάδα. Τὸ δὲ προικὸς γενική ἐστιν ἀντὶ αἰτιατικῆς· ὁ δὲ νοῦς, χαλεπὸν γὰρ καὶ ἀδύνατον ἕνα τοσαύτην δωρεὰν χαρίσασθαι. B. 15. Τισόμεθ'] Εἰσπράξομεν, ἀποτῖσαι τὸν δῆμον τοῖς νῦν δοκοῦσιν (scr. διδοῦσιν) ἀναγκάσομεν. Τὸ δὲ προικὸς γενική ἐστιν ἀντὶ αἰτιατικῆς ὡς φησὶν Ἡρωδιανός. B. Q. Τισόμεθα] Εἰσπραττόμεθα, ἢ ἀποληψόμεθα. Vulg. Ἀργαλέον γὰρ ἕνα προικός] Ἡ προικὸς γενική, ἀντὶ τοῦ προῖκα. ὁ γὰρ νοῦς· χαλεπὸν γὰρ καὶ ἀδύνατον, ἕνα δωρεὰν τοσαύτην χαρίσασθαι. Vulg. Ἀντὶ τοῦ προῖκα, δωρεάν. B. Τὸ μὲν μὴ αὐτὸν πάντα δοῦναι, ἀπαρηγόρητον· τὸ δὲ φάσκειν ἐπιτιθέναι καὶ τῷ δήμῳ τὴν εἰσφοράν, μικροπρεπές. ἀνακτέον δὲ αὐτὰ εἰς τὰ παλαιὰ ἔθη. εἰκὸς δὲ καὶ τὸ τάλαντον εἶναι τοῦ χρυσοῦ βαρύ, καὶ τὴν ἐσθῆτα ἀξίαν πολλοῦ. Q. 19. Νῆ' ἄρ'] Ἀρίσταρχος, νῆα δέ. Harl. Εὐήνορα χαλκόν] Τὸν κοσμοῦντα τὸν ἄνδρα. Q. 20. Καὶ τὰ μὲν εὖ κατέθηχ' ἱερὸν μένος Ἀλκινόοιο] Ὅρα τὴν κατ' ἀλ-

αὐτὸς ἰὼν διὰ νηός, ὑπὸ ζυγά, μή τιν' ἑταίρων
βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς·
οἱ δ' εἰς Ἀλκινόοιο κίον, καὶ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
μῆρα δὲ κείαντες δαίνυντ' ἐρικυδέα δαῖτα
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Δημόδοκος, λαοῖσι τετιμένος· αὐτὰρ Ὀδυσσεὺς
πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧτε πανῆμαρ
νειὸν ἀνέλκητον βόε οἴνοπε πηκτὸν ἄροτρον,
ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο,
δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντι·
ὣς Ὀδυσῆ' ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.

25. ϝανάσσει. 26. κείαντες] κήαντες V. 28. τετιμένος] τετιμημένος ex emend. H. ib. λαϝοῖσι. 32. ἀνέλκητον] ἀν' ἔλκητον V. W. ib. ϝοίνοπε. 35. ὣς Ὀδυσῆ'] ὡς Ὀδυσσῆ' H.

γον προκοπήν. τὰ μὲν γὰρ πρῶτα ὡς ἱκέτης δέδεκται, καὶ οὐδὲ ἀφ' ἑαυτοῦ ἤγειρεν ὁ βασιλεὺς αὐτόν. ἀμέλει καὶ ὀνειδίζεται ὑπὸ Ἀρήτης. Ἀλκίνο', οὐ μέν τοι τόδε κάλλιον οὐδὲ ἔοικε ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἐσχάρῃ (η'. 159.). μαθὼν δὲ τὴν σύνεσιν ὁ βασιλεὺς δώροις τετίμηκεν αὐτόν. νῦν δὴ καὶ ὑπηρετῶν οὐκ αἰσχύνεται. Q. Εὖ κατέθηκ'] Κατατεθῆναι παρὼν ἐποίησεν, ὡς τὸ λοῦσέ τε καὶ ἤλειψε[a]. B. 22. Βλάπτοι] Ἐμποδίζοι. Vulg. 23. Οἱ δ' εἰς Ἀλκινόοιο] Ἴσως οἱ βασιλεῖς μόνοι. B. 26. Μηρὰ δὲ κήαντες, οὕτως Ἀρίσταρχος. Harl. ΚΗΑΝΤΕΣ. καύσαντες. Vulg. 31. Ὁ Ἀριστοφάνης οὐκ ἐν συνθέσει φησὶ τὸ πανῆμαρ, ἀλλὰ πᾶν, εἶτα κατιδίαν τὸ ἦμαρ[b]. Harl. 32. Πηκτόν (in Mediol. male lemma ἀνέλκητον)] Τὸ μὴ ἔχον ἐξ αὐτοῦ τὸν γύην. B. Vulg. 34. Βλάβεται] Ἤγουν κωλύεται τὴν βάδισιν διὰ τὸν πολὺν σκοπόν. Q. 35.[c] Τὸ πλῆρες Ὀδυσσῆϊ, ὡς Ἥρῳ Λαομέδοντι. Harl. Scripsit ita-

[a] Esse puto κ'. 450. ubi de Circe, λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ. Vid. schol. BUTTM.

[b] Legere tum debebat ὁ πᾶν ἦμαρ. PORS. Non accedo. Grammaticus usum correpti α in voce πᾶν epicis tribuit: idque persimile vero videbitur reputanti semel tantum apud poetam occurrere πανῆμαρ et semel Il. α'. 453. πᾶν δ' ἦμαρ; item πᾶν nunquam ante vocalem legi nisi ante ἔργον et ἔτεος quarum vocum illius digamma certum, hujus admodum probabile est. Videtur itaque πὰν sicut ἁπάν, πρόπαν antiquiorum Ionum, πᾶν autem, ἅπαν, πρόπαν Atticorum proprium fuisse. Vid. Lex. Seguer. p. 416. et Gramm. m. ampl. §. 63. Obs. 5. not. BUTTM.

[c] Conf. schol. ι'. 157. BUTTM.

αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί·
ἤδη γὰρ τετέλεσται, ἅ μοι φίλος ἤθελε θυμὸς,
πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἴκοι ἄκοιτιν
νοστήσας εὕροιμι, σὺν ἀρτεμέεσσι φίλοισιν.
ὑμεῖς δ' αὖθι μένοντες εὐφραίνοιτε γυναῖκας
κουριδίας, καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
παντοίην· καὶ μήτι κακὸν μεταδήμιον εἴη.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον, ἠδ' ἐκέλευον
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπε.
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
Ποντόνοε, κρητῆρα κερασσάμενος, μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον· ὄφρ' εὐξάμενοι Διῒ πατρὶ,
τὸν ξεῖνον πέμπωμεν ἑὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα·
νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
αὐτόθεν ἐξ ἑδρέων· ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεὺς,
Ἀρήτῃ δ' ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον,

38. λαϜῶν. 42. ἀμύμονα Ϝοίκοι. 48. ἔϜειπε. 50. νεῖμον] νεῖμαι V. 52. πέμπωμεν] πέμποιμεν V. ib. ἑϜήν. 53. Ϝοῖνον. 56. δῖϜος. 57. χερσὶ] χειρὶ H.

que Ὀδυσσῆ. 36. Πιφαυσκόμενος] Φανεροποιῶν. Vulg. 39. Χαίρετε δ' αὐτοί] Οἱ παλαιοὶ καὶ ἐν τῷ ἀφίστασθαι τὸ χαῖρε ἔλεγον, ὥσπερ τὸ σώζου νῦν φαμέν. B. 42. Ὄλβια ποιήσειαν] Ἄλλο ὄλβος, ἄλλο πλοῦτος· ὡς καὶ ἐν ἄλλοις, Ὄλβῳ τε πλούτῳ τε (ξ'. 206.). εὔχεται οὖν τὰ δῶρα ἐπὶ εὐδαιμονίᾳ αὐτῷ γενέσθαι· οὐ γὰρ ἐν πλούτῳ μόνῳ τὴν εὐδαιμονίαν ὁρίζεται. Q. 43. Σὺν ἀρτεμέεσσι φίλοισι] Σώοις, ἀρτίοις, ἀνελλιπέσσιν, ὑγιῶς ἔχουσιν. B. Τοῖς πιστοῖς καὶ ἀκεραίοις. ἐκ γὰρ τῆς ἀρτιότητος τὴν ἐπωνυμίαν ταύτην ἀπεκληρώσατο. Q. Ὑγιέσι καὶ πιστοῖς. Vulg. 45. Κουριδίας] Τὰς ἐκ παρθενίας γεγαμημένας. Vulg. Θεοὶ δ' ἀρετὴν ὀπάσειαν] Νῦν τὴν εὐδαιμονίαν· ὡς τὸ, Ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ (τ'. 114.). B. Q. 54. Ἐπισταδὸν] Ἐπιστημόνως, ἐμπείρως. B. Ἐπισταμένως, ἐπιστημόνως, ἐμπείρως. Vulg. Barnes. (nisi quod hic ex Etym. M. etiam addit ἢ ἐφιστάμενος ἑκάστῳ, quæ vera sane est explicatio.) 57. Ἀρήτῃ δ' ἐν χερσὶ[c] τίθει] Καὶ ταύτην πρώτην ἱκέτευσε, καὶ αἰδεῖν

[c] Χειρὶ Pors. citat ex Harl. schol. (h. e. lemmate scholii.) BUTTM.

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
ἔλθῃ, καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται.
αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ,
παισί τε, καὶ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆϊ.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
τῷ δ' ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο,
ἡγεῖσθαι ἐπὶ νῆα θοὴν, καὶ θῖνα θαλάσσης·
Ἀρήτη δ' ἄρα οἱ δμωὰς ἅμ' ἔπεμπε γυναῖκας·
τὴν μὲν, φᾶρος ἔχουσαν ἐΰπλυνὲς, ἠδὲ χιτῶνα,
τὴν δ' ἑτέρην, χηλὸν πυκινὴν ἅμ' ἔπεμπε κομίζειν·
ἡ δ' ἄλλη σῖτόν τ' ἔφερεν καὶ οἶνον ἐρυθρόν.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
αἶψα τά γ' ἐν νηῒ γλαφυρῇ πομπῆες ἀγαυοὶ
δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἅπασαν·
κὰδ δ' ἄρ' Ὀδυσσῆϊ στόρεσαν ῥῆγός τε, λίνον τε,
νηὸς ἐπ' ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι,
πρύμνης· ἂν δὲ καὶ αὐτὸς ἐβήσετο, καὶ κατέλεκτο
σιγῇ· τοὶ δὲ κάθιζον ἐπὶ κληῗσιν ἕκαστος
κόσμῳ· πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο·
ἔνθ' οἱ ἀνακλινθέντες ἀνεῤῥίπτουν ἅλα πηδῷ·

58. Ϝέπεα. 61. οἴκῳ] χώρῳ, H. ib. Ϝοίκῳ. 62. λαϜοῖσι. 63. ἐβήσετο] ἐβήσατο H. ib. Ϝειπών. δῖϜος. 64. ἅμα] ἄρα V. 66. γυναῖκας] νέεσθαι ex emend. H. ib. Ϝοι. 68. ἔπεμπε κομίζειν] ἐπάσσε κομίζειν ζειν σειν H. 69. Ϝοῖνον. 71. ἀγαυοὶ] ἀγαυοὶ scripserat, sed caudam e μ erasit. Infra vero 120. ἀγαυοὶ plane scriptum est H. PORS. 74. εὕδοι] εὕδοι H. 75. ἐβήσετο] ἐβήσετο, deinde καὶ omittit H. 76. τοὶ δὲ] τοί δε H. ib. ἕκαστος] ἕκαστοι H. V. W. ib. Ϝέκαστος. 78. ἔνθ' οἱ ἀνακλινθέντες] ἔνθ' οἱ ἀνακλιθέντες H.

ὅτι κατεδέδλατο (sic) αὐτῇ ὁ Ἀλκίνους. Q. Δέπας ἀμφικύπελλον] Τὸ περιφερὲς, τὸ πανταχόθεν κεκυφός. B. 59. Εἰσόκε γῆρας ἔλθῃ] Διόλου ἕως οὗ τὸ γῆρας ἵκοιτο. B. 61. Γρ. οἴκῳ. Harl. Vind. 5. 66. ἦγεν τὰς γυναῖκας. Et in marg. ἡ ἑτέρα τῶν Ἀριστάρχου, νέεσθαι, εἶχε. Harl. 68. Πυκινήν] Συνετήν (στεγνήν em. Barn.). Vulg. 71. Πομπῆες ἀγαυοί] Οἱ Φαίακες οἱ μέλλοντες εἰς Ἰθάκην τὸν Ὀδυσσέα διασῶσαι. Q. 74. Νήγρετον] Ἀνέγρετον, βαθὺν ἢ δι' ἡδονὴν βραδύν. Vulg. 76. Supra τοί δε, ut videtur, scriptum γρ. τὸ δὲ. PORS. ex Harl. 77. Τρητοῖο λίθοιο] Εἰώθασιν ἐπὶ τῶν λιμένων τρυπᾷν τοὺς λίθους. Vulg. 78. Ἀνεῤῥίπτουν] Ἀπὸ τοῦ παρακολουθοῦντος, ἀναῤῥίπτεται γὰρ

καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.
ἡ δ', ὥστ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι,
πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἱμάσθλης,
ὑψόσ' ἀειρόμενοι, ῥίμφα πρήσσουσι κέλευθον·
ὣς ἄρα τῆς πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπισθε
πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν·
ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνεν,
ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
ὃς πρὶν μὲν μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμὸν,
ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
δὴ τότε γ' ἀτρέμας εὗδε, λελασμένος ὅσσ' ἐπεπόνθει.
Εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
ἔρχεται ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης·
τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
Φόρκυνος δέ τίς ἐστι λιμὴν ἁλίοιο γέροντος,

80. ϝήδιστος. ϝεϝοικώς. 85. θῦε e θύνε fecit eadem manus H. PORS. 88. ἔταμνεν] ἔτεμνεν ex emend. H. 90. ϝόν.

ὑπὸ τῶν κωπῶν τὸ ὕδωρ. B. Vulg. 79. Καὶ τῷ νήδυμος ὕπνος] Φυσικῶς αἱ νῆες τῶν Φαιάκων μετὰ τοῦ πλεῖν ὕπνον βούλονται, ἴσχειν καὶ τὸν ὕπνον παρέχειν τοῖς πλέουσιν. ὁ μὲν Ἀλκίνοος, Αὔριον ἐς τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ λέξεαι, οἱ δ' ἐλόωσι γαλήνην[d] (η'. 318.)· ἡ δ' Ἀρήτη, Αὐτὸς νῦν ἴδε πῶμα, Μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε εὕδῃσθα γλυκὺν ὕπνον ἰὼν ἐν νηῒ μελαίνῃ (θ'. 443.). Τοῦτο δὲ γράφεται ἵνα μὴ ἐρῶσι τὴν ἐνέργειαν τῶν νεῶν οἱ ἐμπλέοντες. Q. (Harl.) 81. Ἡ δ' ὥστ' ἐν πεδίῳ] Εὖ τῇ παραβολῇ κέχρηται. ὥσπερ γὰρ οἱ ἵπποι τρέχοντες ἐκ τῶν ὀπισθίων μερῶν διεγείρονται, οὕτω καὶ ἡ ναῦς ἐλαυνομένη ἐκ τῆς πρύμνης κουφίζεται. B. Vulg. Τετράοροι] Τετράσειροι, τέσσαρες ἐζευγμένοι ἵπποι. B. Τέσσαρες ἵπποι ἐζευγμένοι. τετράοροι, τὸ ο μικρόν. Vulg. 84. Κῦμα δ' ὄπισθε] Πάλιν ἐπανέλαβε τὸν λόγον. Q. 86. Ἡ δὲ μάλ' ἀσφαλέως] Ἀσφαλῶς, κυρίως ἐπὶ τῶν μὴ σφαλλομένων, ἐμφατικῶς δὲ ἐπὶ τῶν ἐν τῷ πεδίῳ ἐρριζωμένων. ἡ δὲ ναῦς οὔτε ἀσφαλτός ἐστιν, οὔτε ἐν τῷ πεδίῳ ἐρρίζωται. εἴληπται οὖν εἰς ἔμφασιν τῆς ἀκλινοῦς καὶ μὴ σφαλλομένης ἐν τῷ πλῷ. B. Q. 87. Πετεηνῶν] Γρ. πετρεινῶν (πετεεινῶν). Harl. Ὁμαρτήσειεν] Ἔκοπτεν, sic Vulg. ed. ant. fortasse corruptum ex ἕποιτ' ἄν. 93. Εὖτ' ἀστὴρ ὑπερέσχε] Ἕως οὗ ὑπερανέτειλεν. Q. 96. Φόρκυνος] Λιμὴν Ἰθάκης, ἐφ'

[d] Porsonus ad η'. 319. hoc scholium ex Harl. laudans scriptum ibi esse ait γαλήνῃ h. e. γαλήνη. BUTTM.

ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
ἀκταὶ ἀποῤῥῶγες, λιμένος ποτιπεπτηυῖαι·
αἵ τ' ἀνέμων σκεπόωσι δυσαήων μέγα κῦμα
ἔκτοθεν· ἔντοσθεν δὲ ἄνευ δεσμοῖο μένουσι
νῆες ἐΰσσελμοι, ὅταν ὅρμου μέτρον ἵκωνται.
αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
ἀγχόθι δ' αὐτῆς, ἄντρον ἐπήρατον, ἠεροειδὲς,

99. δυσαήων] δυσαέων V. 100. ἔκτοθεν· ἔντοσθεν δὲ ἄνευ] ἔκτοσθεν. ἔντοσθεν δέ τ' ἄνευ H. δέ τ' ἄνευ W. 101. ὅταν] ὅτ' ἂν W. 103. ἠεροειδές.

ᾧ λιμένι Φορκυνός ἐστιν ἱερὸν τοῦ θαλασσίου δαίμονος. Vulg. Ἐδείχθη σαφῶς ὅτι θαλάσσιος θεὸς ὁ Φόρκυν. κακῶς ὁ Ἀριστοφάνης ἔγραφεν ἐκεῖ (α΄. 72.), Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος[e] (huc. PORS. ex Harl.). ἀντὶ γὰρ τοῦ, μέδοντός, φησιν, ἵν' ᾖ ἐπὶ τοῦ Ποσειδῶνος, καὶ συνάπτεται τῷ ἑξῆς. Q. Ὁ λιμὴν οὗτος ἔκ τινος Φόρκυνος θεοῦ ποτε γέγονεν. Q. Φόρκυν δαίμων θαλάσσιος, τὸ πρότερον διατρίβων πρὸς τῷ Ἀρμινίῳ λεγομένῳ ὄρει τῆς Ἀχαΐας, οἰκῶν τε τὴν Φόρκυνος ἀπ' αὐτοῦ καλουμένην βῆσσαν. κάτω (κᾆτα em. Barn.) φανὲν αὐτῷ καταλιπὼν τὰς τρίβους ταύτας ἀφίκετο εἰς τὴν Κεφαλληνίαν, καὶ τόπον ἐκλεξάμενος ἐπιτήδειον αὐτῷ ἐνταῦθα ᾤκησεν. λέγεται δὲ Ἄμμος ὁ τόπος. προσορμίσας εἰς τὸν τῆς Ἰθάκης λιμένα, ἠξίωσεν αὐτὸν ἀφ' ἑαυτοῦ προσαγορεύεσθαι Φόρκυνος. ἡ δὲ ἱστορία παρὰ Ἡρωδότῳ (scr. Ἡροδώρῳ). Vulg.[f] 98. Ἀκταὶ ἀποῤῥῶγες] Προπερισπαστέον τὸ ἀποῤῥῶγες. σημαίνει δὲ τὰς μὴ ἐῤῥιζωμένας ἀλλ' ἀποπεσούσας. τὸ δὲ, λιμένος ποτιπεπτηυῖαι, οἷον πολὺ προήκουσαι τοῦ λιμένος, ὥστε καὶ σκέπην αὐτῷ ποιεῖν. B. Q. Ἀποῤῥῶγες] Διεῤῥωγυῖαι, οὐχ ὡς μέντοι τῶν ῥιζῶν ἀποτετμῆσθαι. Vulg. Ποτιπεπτηυῖαι] Ἔσω νενευκυῖαι. Vulg. (Vid. et ad 102.). 101. Ὅρμου μέτρον] Ὅταν πρὸς τὸ ὁρμισθῆναι ἀφίκωνται. τὸ μέτρον, ἢ τὰ ἀναπλήρας τῆς καταγωγῆς. Vulg. 102. Ἐπὶ κρατὸς λιμένος] Ἐπὶ τῆς ἀρχῆς. Vulg. Ἄνω, ἐν ἀρχῇ τοῦ λιμένος. ἀρχὴ γὰρ τοῦ σώματος ἡ κεφαλή. B. (in Mediol. male relatum ad 98. Ποτιπεπτ.) 103. Ἄντρον ἱρὸν Νυμφάων] Ἀλληγορικῶς λέγει ἄντρον τὸν κόσμον, νύμφας τὰς ψυχὰς, τὰς αὐτὰς καὶ μελίσσας, καὶ ἄνδρας τὰ σώματα. δύο δὲ θύρας, τὴν τῶν σωμάτων ἔξοδον ἤτοι τὴν γένεσιν, καὶ τὴν τῶν ψυχῶν εἴσοδον, ἐν ᾗ οὐδὲν τῶν σωμάτων εἰσέρχεται, μόναι δὲ αἱ ψυχαί. ἀθάνατοι γάρ εἰσι. ὅθεν καὶ ἐλαίαν φησὶν, ἢ διὰ τὸν νικητικὸν στέφανον, ἢ διὰ τὸ . . . ὅ ἐστι τὴν τροφήν. . . . B. Ἄντρον ἐπήρατον] Ἀντὶ τοῦ μέγα καὶ ἀναπεπταμένον. Q. Sic Mediol. Verum ad ἠεροειδὲς spectat hæc explicatio, cui voci ascripta est in schol. Vulg., addito præterea εὔσκιον. * Σχοῖνος * τὸ βρούλον· σχῖνος δὲ τὸ θαμνῶδες φυτόν. Βάτος κατ' ἀντίφρασιν, ἡ ἄβατος. B. * Τὸ ἴσαν, τὸ ἐγίνωσκον, κανονίζεται οὕτως· ἴσημι, καὶ ὁ παρατατικὸς ἴσην, ἴσης, ἴση,

[e] Distinxit Aristophanes post θυγάτηρ, et sequentia cum versu sequenti conjunxit. PORS. Cf. ibi scholia. BUTTM.

[f] Collocatum hoc scholium in ed. ant. ad calcem libri præc. BUTTM.

[g] Nolui loco movere duo scholia quæ nescio qua causa hic leguntur. Alterum (Τὸ ἴσαν) puerile admodum, referri tamen potest infra ad vers. 170. BUTTM.

ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται.
ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι
λάϊνοι· ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε Νύμφαι
φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι.
ἐν δ' ὕδατ' ἀενάοντα· δύω δέ τέ οἱ θύραι εἰσίν·
αἱ μὲν πρὸς Βορέαο, καταιβαταὶ ἀνθρώποισιν,
αἱ δ' αὖ πρὸς Νότου εἰσὶ, θεώτεραι· οὐδέ τι κείνῃ
ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵ γ' εἰσέλασαν, πρὶν εἰδότες· ἡ μὲν ἔπειτα
ἠπείρῳ ἐπέκελσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε
πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
αὐτῷ σύν τε λίνῳ, καὶ ῥήγεϊ σιγαλόεντι,
κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ·

106. τιθαιβώσσουσι et ο super ώ H. 107. τε] δὲ H. 108. ϝιδέσθαι. 109. ϝοι. 113. ϝειδότες. 114. ἠπείρῳ] ἠπείρω τ' V.

ἴσατον, ἰσάτην, ἴσαμεν, ἴσατε, ἴσασαν καὶ ἴσαν κατὰ συγκοπήν. B. 104. Νηϊάδες] Αἱ τῶν ναμάτων νύμφαι, ἢ ἀπὸ τοῦ Νηΐου ὄρους. B. Ἀπὸ τοῦ Νηΐου ὄρους. ἢ Ναΐδες νύμφαι εἰσὶ (ol. ἐστὶ) τῶν ὑδάτων. Vulg. 105. Ἀμφιφορῆες] Εἶδος κεράμων ἀμφώτων. Vulg. 106. Τιθαιβώσσουσι μέλισσαι] Τὴν βόσιν τροφὴν ἀποτιθέασιν, ὅ ἐστι τὰ κηρία. Q. Ἀποτίθενται τὴν βόσιν, ὅ ἐστι τὸ μέλι, οἷον θησαυρίζουσι τὰ κηρία καὶ νεοττοτροφοῦσιν. Vulg. 108. Φάρε' ἁλιπόρφυρα] Ἐοικότα τῇ θαλάσσῃ πορφυριζούσῃ. Q. 110. Καταβαταὶ (sic) ἀνθρώποισι] Βάσιμαι, δι' ὧν κατάβασίς ἐστιν ἀνθρώποις. Vulg. 111. Θεώτεραι] Θειότεραι καὶ ἄβατοι ἀνθρώποις. ἐπὶ δὲ τῶν δύο θυρῶν ἐν τῷ διαιρεῖν φησὶν, αἱ μὲν, αἱ δέ. ἐνδέχεται τὴν μίαν ἑκάστην θύραν δίθυρον εἶναι. B. Q. Θειότεραι, δι' ὧν μόνοι θεοὶ εἰσέρχονται. Vulg. 119. Κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν] Οὐ διανίστησιν (scr. -ᾶσιν) αὐτὸν περὶ τοῦ μὴ δοκεῖν χάριν τῆς παραπομπῆς ἀπαιτεῖν· ἢ ἵνα μὴ κατασχεθῶσιν ὑπ' αὐτοῦ· ἢ οὕτως ᾠκονόμησεν διὰ τὰ ἑξῆς. ἀνῄρητο γὰρ ὑπὸ τῶν μνηστήρων φανερῶς κατιών. Vulg. Τὴν τῶν Φαιάκων ἀτοπίαν καθ' ἣν τὸν Ὀδυσσέα καθεύδοντα μὴ διαναστήσαντες εἰς τὴν γῆν κατέθεντο, τοῦ τε Ὀδυσσέως τὸν ἄκαιρον ὕπνον, διαλύειν πειρώμενος ὁ Ποντικὸς Ἡρακλείδης, φησὶν ἀτόπους εἶναι τοὺς ἐξ ὧν εἴρηκεν ὁ ποιητὴς μὴ στοχαζομένους περὶ τοῦ παντὸς τρόπου τῶν Φαιάκων. συνειδότας γὰρ ἑαυτοῖς φιληδονίαν καὶ ἀπολαυστικὸν τρόπον, καὶ δεδιότας μή τις αὐτοὺς ἄλλος ἐπελθὼν ἐκβάλῃ ἀπὸ τῆς χώρας, δύο ταῦτα ὑποκρίνασθαι, φιλοξενίαν τε πρὸς τοὺς παρόντας, ταχεῖάν τε ἀπόπεμψιν πρὸς τοὺς ἐλθόντας, πάντα δὲ ἐργάζεσθαι ὅπως αὐτῶν ἡ οἴκησις λανθάνῃ, καὶ διάστημα ὅσον μὴ γινώσκηται, νῆσον ἀγαθὴν εἰ-

ἐκ δὲ κτήματ᾽ ἄειραν, ἅ οἱ Φαίηκες ἀγαυοὶ

120. Fu.

κεῦντας, πρὸς δὲ τὸν πόλεμον οὔτε γεγυμνασμένους οὔτε προαιρουμένους, ἀλλ᾽ ἐναντίαν βιοτὴν τοῖς πολεμικοῖς ἐπιτηδεύμασιν ἔχοντας· Οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη (ζ. 270.)· καὶ πάλιν φησὶν Αὐτοῖς ἀεὶ δαῖτα[h] μέλει κίθαρίς τε καὶ ᾠδαί (θ. 248.). τοιούτους ὄντας καὶ τοιαύτην γῆν ἔχοντας οὐδὲν ἀπεικὸς εὐλαβεῖσθαι μὴ κατοπτευθέντες ὑπό τινων πολεμῆσαι δυναμένων, ἐκπέσωσι τῆς χώρας· καὶ ταχυτάτους ἀποπέμπους ποιεῖσθαι τῶν ξένων, οὐ διὰ φιλοξενίαν· Οὐ γὰρ ξείνους οἵγε μάλ᾽ ἀνθρώπους ἀνέχονται, Οὐδ᾽ ἀγαπαζόμενοι φιλέουσιν ὅτε κέν τις ἵκηται (η. 32.). οὐδὲν οὖν ἄλογον διά τινα τοιαύτην αἰτίαν αὐτοὺς ἀποστέλλειν ταχέως τοὺς ξένους, πρὶν αὐτοὺς γενέσθαι τῶν παρ᾽ αὐτοῖς τοὺς ἐπιδημήσαντας. εὔλογον δὲ ἦν μάλιστα τὸν Ὀδυσσέα φοβηθῆναι. τούτῳ γὰρ συμβέβηκε τὰ μὲν περὶ πόλεμον δεινότατον τῶν θνητῶν εἶναι καὶ διὰ τὴν φύσιν καὶ διὰ τὴν ἐν τῇ Τροίᾳ γυμνασίαν. πρὸ τοῦ γνῶναι ἂν εὐκαταφρόνητον εἶναι νομίζοντας, ἧττον ἔκρυπτον τὴν ἑαυτῶν διαγωγὴν, ἄλλα τε παρεδήλουν· ἐπεὶ δὲ ᾔσθοντο ὃς ἦν, βουλόμενοι μήτε τὸν τόπον ὅπου τὴν νῆσον αὐτῶν εἶναι συμβέβηκεν, μήτε πόσος ἦν αὐτῷ ὁ πλοῦς ἐκ τῆς Ἰθάκης πρὸς αὐτοὺς γνῶναι, πρῶτον μὲν ἔφασαν αὐτῷ, ὅτι δεῖ καθεύδειν αὐτὸν ἀναβάντα εἰς τὸ πλοῖον, εἶτα πολὺ τῆς Ἑλλάδος ἀπέχειν τὴν νῆσον αὐτῶν ὑπολαβεῖν τὸν Ὀδυσσέα θέλοντες, παρενέβαλον ὡς αὐθημερὸν εἰδεῖεν αἱ νῆες κατανύσαι (scr. κατανύειν) εἰς ὃν ἂν οἱ ναῦται πρόθωνται τόπον (η. 326.). καὶ τὸ λέγειν ὅτι ῥᾳδίως αὐτὸν ἀπάξουσιν εἰς τὴν πατρίδα, Εἰ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ᾽ Εὐβοίης, Ἥνπερ τηλοτάτω φασὶν ἔμμεναι οἵπερ ἴδοντο Ἡμετέρων προγόνων (η. 321.), συμφδόν ἐστι τὸ[i] προσποιεῖσθαι πόῤῥω τῆς Ἑλλάδος τὴν χώραν αὐτῶν εἶναι. τὸ (scr. τῷ) γὰρ τὴν Εὔβοιαν τηλοτάτω λέγειν εἶναι, παντελῶς φησὶν ἑαυτοὺς κατοικεῖν πόῤῥω τῆς Ἑλλάδος. ἀλλὰ δηλονότι πάντα ταῦτα συντείνει αὐτοῖς πρὸς τὸ μὴ γνωσθῆναι καθ᾽ ὃν ᾤκουν τόπον. Τοιαύτης δὲ αὐτῶν οὔσης τῆς προαιρέσεως, ἐπειδὴ καθεύδοντος τοῦ Ὀδυσσέως εἰς τὴν Ἰθάκην ἥκειν αὐτοὺς συνέπεσε, κάλλιστον οἶμαι τοῦτο ἡγήσαντο ὑπάρχειν αὐτοῖς καθεύδοντα αὐτὸν ἐκθεῖναι, πρὸς τὸ μηδὲ εἰς ὃν ἀποπλέουσι τόπον (ins. εἴτε πρὸς ἕω), εἴτε πρὸς ἑσπέραν γνωσθῆναι. τό,τε παθεῖν τι τὸν Ὀδυσσέα ὑπὸ τῶν περιτυχόντων, τάχα μὲν ἴσως οὐδὲν αὐτοῖς διέφερεν· ἐπεὶ δὲ[k] γε αὐτοῖς συμβέβηκε μηδὲν εἰς αὐτὸν ἀσεβῆσαι, καθάπερ ὑπέσχοντο μετὰ τῶν σπονδῶν εἰς τὴν πατρίδα ἀναγαγεῖν. οὐ μὴν ἀλλ᾽ εἴ τινα φιλανθρωπίαν δεῖ αὐτοῖς ἀποδοῦναι πρὸς τὸν Ὀδυσσέα, ἔξεστι λέγειν ὡς ἐξ ὧν ἤκουσαν αὐτοῦ λέγοντος, ὡς ὁ Τειρεσίας αὐτῷ χρησμοὺς εἶπε, συνελογίσαντο ὅτι οὐδὲν παθεῖν αὐτῷ εἵμαρτο δεινὸν, ἀλλὰ τιμωρήσασθαι τοὺς ἐχθρούς. εἰδότες δὲ ἐκείνων οὐδὲν βλαβησομένων, αὐτοὶ δ᾽ ὑπὲρ προςτίθεντο ἀπεργασάμενοι, τὴν ἀγωγὴν ἐποιήσαντο, οὐκ ἐπεγείραντες αὐτόν. Κἀνταῦθα μὲν δεῖ θεωρεῖν παρά ποτε (l. παρ᾽ οὗ ποτε) τὴν ἀπολογίαν ποιούμεθα. οἱ μὲν γὰρ κατηγορήσαντές φασι πρᾶξαι τοὺς Φαίακας τοιοῦτον, ἐξ οὗ κίνδυνος ἦν ἀδοξίᾳ περιπεσεῖν· ὅπως ἀποδεικνύουσι δὲ ὅτι διὰ τὴν πρᾶξιν αὐτοῖς ταύτην οὐδὲν ἀγαθὸν συνέβαινεν, ἔδει[l] τοῦτο ποιῆσαι τοὺς μέλλοντας μὴ παραδώσειν ἀπολογίαν. πολλάκις γὰρ

[h] Scr. δαίς τε, non quoniam ita editur ap. Hom. sed quoniam sermo ita requirit. Nam alia quoque in his versibus aliter hic leguntur quam in textu edito. BUTTM.

[i] Scr. σύμφωνόν ἐστι τῷ—. BUTTM. [k] Scr. συνέφερεν· ἐπειδὴ γε—. BUTTM.

[l] Scr. συνέβαινεν, ἔδει δὲ—. BUTTM.

ὤπασαν οἴκαδ' ἰόντι, διὰ μεγάθυμον Ἀθήνην.
καὶ τὰ μὲν οὖν παρὰ πυθμέν' ἐλαίης ἀθρόα θῆκαν
ἐκτὸς ὁδοῦ, μή πού τις ὁδιτάων ἀνθρώπων,
πρίν γ' Ὀδυσῆ' ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο.
αὐτοὶ δ' αὖτ' οἰκόνδε πάλιν κίον· οὐδ' Ἐνοσίχθων
λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσῆϊ
πρῶτον ἐπηπείλησε· Διὸς δ' ἐξείρετο βουλήν·
  Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μετ' ἀθανάτοισι θεοῖσι
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔτι τίουσι
Φαίηκες, τοίπερ τοι ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα φάμην κακὰ πολλὰ παθόντα
οἴκαδ' ἐλεύσεσθαι· νόστον δέ οἱ οὔποτ' ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο, καὶ κατένευσας.
οἱ δ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν,
πόλλ', ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσσεύς,
εἴπερ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.
  Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

121. Ϝοίκαδ'. 123. μή πού τις] μήπωτις sic H. 124. πρίν γ' Ὀδυσῆ'] πρὶν Ὀδυσσῆα H. 125. αὖ Ϝοικόνδε. 130. τοίπερ τοι] τοί πέρ τε H. 131. Ὀδυσῆα φάμην] Ὀδυσῆ' ἐφάμην H. W. 132. Ϝοίκαδ'. Ϝοι. 135. ἄσπετα] ἀγλαὰ H. ib. Ϝοι. 136. Ϝάλις. Ϝεσθῆτα. 137. ἐξήρατ'] ἐξῄρατ' H.

τῶν ἐν μιᾷ πράξει καὶ δυσχερὲς ὑπάρχει τι καὶ ἀγαθόν· καὶ μᾶλλόν ἐστιν αἱρετὸν τὸ ἀγαθὸν, ἢ τὸ κακὸν φευκτόν. διόπερ οὐκ ἀποδοκιμάζομεν τὰς τοιαύτας πράξεις· καὶ τοῖς Φαίαξι δὲ τοῦτο συμβαίνειν λέγομεν. οὐ γὰρ τὴν ἀπόδειξιν ἐφοβήθησαν, ὡς λαθεῖν ἐβουλήθησαν ἐν ᾧ τόπῳ κατοικοῦσιν. ἡ μὲν οὖν ἀφορμὴ τῆς ἀπολογίας ἐκ τούτου γέγονεν ἡμῖν· ἤδη δὲ πλάττομεν ἐκ τῶν δυοῖν τι τοῖς Φαίαξιν αἱρετώτερον ἄλλο συμβαῖνον· διόπερ ἴδιον ταύτης ἀδοξίας κίνδυνος. Q. 123. Μήπω τις] Ἀρίσταρχος, μήπω, χρονικῶς. διὸ καὶ ἐπήγαγε, πρὶν Ὀδυσσῆ ἔγρεσθαι. Harl. 124. Δηλήσαιτο] Βλάψοι, ἀντὶ τοῦ ἀφέληται. Vulg. 130. Φαίηκες, τοίπερ τε ἐμῆς ἒξ εἰσι γενέθλης] Ταῦτα ἐν ἤθει. Ποσειδῶνος γὰρ καὶ Κερκύρας. Q. Ἐν ἤθει ταῦτα. ὁ γὰρ Φαίαξ Ποσειδῶνος καὶ Κερκύρας τῆς Ἀσωποῦ. Τὸ δὲ, ἀπηύρων[k], ἀντὶ τοῦ ἀφειλόμην (ol. -όμενον). Vulg. 133. Ἐπεὶ σὺ πρῶτον] Χρονικῶς. Vulg. 135. Γρ. ἄσπετα. Harl. 137. Ἐξήρατο] Ἐξαίρετα ἔλαβεν. Vulg. 142.

[k] Sic recte (et quidem cum acuto super υ, non super ν,) ed. ant. non ἀπηῦρων, quod est mendum recentt. edd. BUTTM.

ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενὲς, οἷον ἔειπες;
οὔτι σ' ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίησιν ἰάλλειν.
ἀνδρῶν δ' εἴπερ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων
οὔτι τίει, σοὶ δ' ἐστὶ καὶ ἐξοπίσω τίσις αἰέν.
ἔρξον, ὅπως ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ.
  Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
αἶψά κ' ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
ῥαῖσαι· ἵν' ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
ἀνθρώπων· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
  Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προσίδωνται
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
νηῒ θοῇ ἴκελον, ἵνα θαυμάσσωσιν ἅπαντες

140. ἔϝειπες. 143. εἴπερ τίς] εἴ πέρ τις H. 145. ϝέρξον. 147. Schol. Townleiani cod. ad Il. ί. 534. ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος. καὶ γάρ λέγει φησὶν Αἶψά κ' ἐγὼν ἔρξαιμι διαστρεφὲς ὡς ἀγορεύεις· ἀγνοῶν ὅτι κελαινεφὴς ἐστιν. PORS. ib. ϝέρξαιμι. 150. ἠεροϝειδέϊ. 152. πόλει] πόλιν H. V. 155. προσίδωνται] προΐδωνται H. προΐδωνται W. ib. προϝίδωνται. 156. λαϝοί. 157. θαυμάσσωσιν] θαυμάζωσιν H. V. W. ib. ϝίκελον.

Πρεσβύτατον] Οὐ καθ' ἡλικίαν ἀλλὰ τιμιώτατον· ὡς Ἥρα, Καί με πρεσβυτάτην τέκετο (Il. δ'. 59.). B. Τοῦτο μάλιστα Ποσειδῶν αἰτιᾶται, τάχα δ' ὅτι καὶ περιπεμφθῆναι αὐτὸν ὑπ' ἄλλων, οὐχ ὑπὲρ ἐκείνων[1]. Q. Ἐντιμότατον. ἀλλαχοῦ γὰρ λέγει, Ἀλλὰ Ζεὺς πρότερος γεγόνει (Il. ν'. 355.) Vulg. Ἰάλλειν] Περιβάλλειν, διδόναι, ἐκτείνειν. Vulg. 143. Βίῃ καὶ κάρτεϊ εἴκων] Νικώμενος ὑπὸ τῆς ἑαυτοῦ βίας καὶ τῆς ἰσχύος, ὥστε διὰ τοῦτο ἐξυβρίζειν. Vulg. 148. Ὀπίζομαι] Διὰ φροντίδος ἔχω ἢ αἰδοῦμαι. B. 149. Ἐθέλω] Ἀπὸ κοινοῦ τὸ, ἐθέλω[m]. B. 152. Μέγα δέ σφιν ὄρος] Ἵνα μὴ ζητῶμεν νῦν ὅπου οἱ Φαίακές εἰσιν· φαίνεται γὰρ τὰ περὶ αὐτῶν. Q. Ἀριστοφάνης δὲ γράφει, μὴ δέ σφιν. ἀντιλέγει δὲ ν ὑπομνημάτων (δ' ἐν ὑπομνήμασιν em. PORS.) Ἀρίσταρχος. Harl. Schol. marg. πόλει, et ν super ει. Harl. 154. Ὡς μὲν ἐμῷ] Γρ. ᾗ: et pro interpr. suprascr. οὕτως. Harl. 157. Θαυ-

[1] F. ὑπ' ἀνθρώπων, οὐχ ὑπ' ἐκείνων sc. τῶν θεῶν. BUTTM.
[m] Spectat ad verba (152.) μέγα—ἀμφικαλύψαι. BUTTM.

ἄνθρωποι· μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν·
ἔνθ' ἔμεν'· ἡ δὲ μάλα σχεδὸν ἤλυθε ποντοπόρος νηῦς
ῥίμφα διωκομένη· τῆς δὲ σχεδὸν ἦλθ' Ἐνοσίχθων,
ὅς μιν λᾶαν ἔθηκε, καὶ ἐῤῥίζωσεν ἔνερθε,
χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες·
ὧδε τέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ὢ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ,
οἴκαδ' ἐλαυνομένην; καὶ δὴ προὐφαίνετο πᾶσα.
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν·
Ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
φῆ ποτε Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ

158. ἀμφικαλύψαι] ἀμφικαλῦψαι H. 161. ἔμεν'] ἔμεν H. 164. καταπρηνεῖ] κατὰ πρηνεῖ H. 165. ϝέπεα. 167. ϝείπεσκε ϝιδών. 169. ϝείκαθ'. 170. ϝείπεσκε. οὐ ϝίσαν. 171. μετέϝειπεν. 175. περικαλλέα] εὐεργέα V. 176. ἠεροϝειδέϊ.

μάζωσιν] Ὁρῶντες ἐκπλήττονται. Vulg ed. ant. 160. Γεγάασι] Καταχρηστικῶς ἀντὶ τοῦ οἰκοῦσιν· ἐκ γὰρ τῆς Ὑπερησίας μετεληλύθασιν. B. Q. 161. Τὸ ἔμεν (scr. ἔμεν') ἀντὶ τοῦ ἔμενεν, ὅ ἐστιν, ἐκεῖ ἐκαρτέρει. Harl. 170. Οὐκ ἴσαν] Οὐκ ᾔδεισαν. Vulg. Et vid. supra post 103. 172. Ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει] Ὑπὸ Ἀλκινόου λεγόμενα· οὐκ ὀρθῶς· εἰ γὰρ ἐμέμνητο τοῦ χρησμοῦ, οὐκ ἂν ἀπεκομίσθη Ὀδυσσεύς[a]. Q. 173. Ὃς ἔφασκε] Ὅτι ἐκ τοῦ τόπου τούτου μετάκεινται εἰς τὰ κατ' ἀρχὴν πρὸς Ὀδυσσέα. Q. Ἀγάσασθαι] Ἄγαν ὀργισθῆναι. Vulg. In Harl. quoque scholium, e quo scripturam ἀγάσασθαι profert Porsonus. Tum aliud scholium: Διὰ τοῦς ἀγάσασθαι[b]. 174. Πομποὶ ἀπήμονες] Ὅτι καὶ τῶν μὴ ἀναξίων

[a] Duo hic scholia ex uno facta et ordine inverso apposita sunt. Sic enim legendum: Ὃς ἔφασκε] Ὅτι ἐκ τοῦ τόπου τούτου μετάκεινται εἰς τὰ κατ' ἀρχὴν πρὸς Ὀδυσσέα ὑπὸ Ἀλκινόου λεγόμενα. οὐκ ὀρθῶς——Ὀδυσσεύς. Nimirum damnantur hoc scholio versus θ'. 564—572. BUTTM.

[b] Legendum videtur, διὰ τοῦ σ ἀγάσασθαι et ad variam lectionem ἀγάσθαι referendum. Nisi quis pertendat legendum διὰ τοῦ ι ἀγάασθαι. PORS.

ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψαι.
ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἔδδεισαν, ἑτοιμάσσαντο δὲ ταύρους.
ὣς οἱ μέν ῥ' εὔχοντο Ποσειδάωνι ἄνακτι
δήμου Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
ἑσταότες περὶ βωμόν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεὺς,
εὕδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεῦε,
Παλλὰς Ἀθηναίη, κούρη Διός· ὄφρα μιν αὐτὸν
ἄγνωστον τεύξειεν, ἕκαστά τε μυθήσαιτο·
μή μιν πρὶν ἄλοχος γνοίη, ἀστοί τε, φίλοι τε,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
τοὔνεκ' ἄρ' ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι,
ἀτραπιτοί τε διηνεκέες, λιμένες τε πάνορμοι,

177. ἧμιν] ἡμῖν V. βαρυτέον τὴν ἡμῖν schol. H. ib. πόλει] πόλεϊ, ut et 183. H. ib. ἀμφικαλύψαι] ἀμφικαλῦψαί. H. i. e. duæ lectiones extant, ἀμφικαλῦψαι et ἀμφικαλύψειν. PORS. ἀμφικαλύψειν W. 179. ἐγὼν] ἐγὼ H. ib. Ϝείπω. 180. παύσασθε] παύεσθε H. παύεσθε V. 181. προτὶ] ποτὶ V. ib. Ϝάστυ. 185. Ϝάνακτι. 187. ἔγρες. 188. πατρωΐῃ] πατρώης H. Τρωΐῃ V. 190. αὐτὸν] αὐτόν et ῷ supra ὸν H. 191. Ϝέκαστα. 192. Ϝαστοί. 194. φαινέσκετο] φαίνετο H. V. Quod per digammon ita defendi possit, ut legas, τοὔνεκ' ἄρ' ἀλλοϜεῖδε' ἐφαίνετο. Vulgatum citat Apollonius v. Ἀλλοειδέα. PORS. ib. ἀλλοϜειδέα. Ϝάνακτι.

ἀπήμονας, μὴ ἐῶντες αὐτοὺς πημαίνεσθαι. Q. 183. Μηδ' ἡμῖν] Ἐκ τοῦ προτέρου καὶ τὸ δεύτερον [an ου?] προσδεικνῦσιν. οὐ γὰρ ἂν θῦσαι καιρὸν εἶχον. Q. Βαρυτέον τὴν ἡμῖν. Harl. 185. Ὣς οἱ μέν ῥ' εὔχοντο] Κατὰ τὸ συμπέρασμα, ἠφανίσθησαν. τὰ γὰρ κυρωθέντα ὑπὸ θεῶν ἐξ ἀνάγκης πληροῦνται. Vulg. 190. Ὄφρα μιν αὐτὸν] Ἀριστοφάνης, αὐτῷ, γράφει καὶ τὸ, μιν, ἐπὶ τῆς Ἰθάκης τίθησιν. Harl. 191. Ἄγνωστον] Ἀφανῆ. Vulg. 195. Ἀτραπιτοί τε] Στεναί τε καὶ εὐθεῖαι ῥύμαι, ἢ αἱ ἀνεπήλατοι. αἱ γὰρ τραχεῖαι καὶ ἐκτροπὰς ἔχουσαι, παιπαλόεσσαι καλοῦνται παρ' αὐτῷ. λέγει δὲ νῦν τὰς παρὰ τοὺς λιμένας, οὐχ ἣν μικρὸν ὕστερόν φησι τραχεῖαν ἀταρπόν. Pal. B. Q. Ἀτραπιτοί] Αἱ μὴ ἔχουσαι ἐκτροπὴν ὁδοῦ. Vulg. Πάνορμοι] Οἱ πᾶσαν ναῦν δεχόμενοι εἰς τὸ ὁρμισθῆναι. εἰσὶ γὰρ λι-

πέτραι τ' ἠλίβατοι, καὶ δένδρεα τηλεθόωντα.
στῆ δ' ἄρ' ἀναΐξας, καί ῥ' εἴσιδε πατρίδα γαῖαν·
ὤμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὣ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
Ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
ἦ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
πῆ δὴ χρήματα πολλὰ φέρω τάδε; πῆ δὲ καὶ αὐτὸς
πλάζομαι; αἴθ' ὄφελον μεῖναι παρὰ Φαιήκεσσιν
αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην, ὅς κέν μ' ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
νῦν δ' οὔτ' ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὐτοῦ
καλλείψω μήπως μοι ἕλωρ ἄλλοισι γένηται.
ὢ πόποι, οὐκ ἄρα πάντα νοήμονες, οὐδὲ δίκαιοι,
ἦσαν Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦ τέ μ' ἔφαντο
ἄξειν εἰς Ἰθάκην εὐδείελον, οὐδ' ἐτέλεσσαν.
Ζεύς σφεας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
ἀνθρώπους ἐφορᾷ, καὶ τίνυται, ὅστις ἁμάρτῃ.
ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω, καὶ ἴδωμαι,

196. τηλεθόωντα] τηλεθάοντα H. 197. ἔσϜιδε. 198. ὤμωξέν τ'] ὤμωξεν δ' V. ib. Ϝώ. 199. δ' ἔπος ηὔδα] δὲ προσηύδα H. ib. Ϝέπος. 204. ὄφελον] ὄφελλον H. Sed suspicor fuisse ὄφελε PORS. 208. Ϝέλωρ. 213. τίσαιτο] τίσαιθ' ex emend. H. σφείας τίσαιθ' W. 215. Ϝίδωμαι.

μένες μὴ ὑποδεχόμενοι μεγάλας ναῦς. ἢ ἐν παντὶ μέρει ὁρμισθῆναι δυνάμενοι καὶ ἰσοβαθεῖς πανταχόθεν. B. Q. Σκέπην ἔχοντες παντὸς ἀνέμου. Pal. Vulg. 196. Πέτραι τ' ἠλίβατοι] Τοὺς παρὰ τὸ ἀλιτεῖν τοὺς ἐπιβαίνοντας. B. Q. Τηλεθάοντα] Ἄγαν θάλλοντα. Vulg. 199. Γρ. δ' ἔπος ηὔδα. Harl. Cf. ad 221. 204. Πλάγξομαι (sic ed. ant.)] Πλανηθῶ. Vulg. Αἴθ' ὄφελον*] Τὸ ὄφελον πληθυντικόν ἐστιν ἐπὶ τῶν χρημάτων λεγόμενον· ἀντιδιαστέλλει γάρ, ἐγὼ δέ κεν ἄλλον ἐξικόμην. Q. (Harl.) Τὰ χρήματα δηλονότι. B. Vulg. 206. Ἐξικόμην] Ἱκέτευσα. Vulg. 213. Ζηνὸς δοτος, τίσασθαι. Harl. Ἱκέσιος (sic)] Ἱκετῶν ἐπόπτης. Vulg. 215. Ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω] Οὐχ ὡς μικρολόγος, ἀλλ' ἐκ τούτου τεκμαιρόμενος εἰ καὶ περὶ τὴν ἀγωγὴν τῆς πατρίδος ἠδίκησαν αὐτόν, ἢ ὡς ἀναλωθέντων. Q. Ἵνα τὴν γνώμην αὐτῶν καταμάθῃ. εἰ

* In lemm. schol. vulg. ed. ant. est ὄφιλον; quod ideo annoto, quoniam in text. Harl. quoque υ super ι verbi ὄφιλον scriptum. Porsonus tamen e verbis scholii suspicabatur fuisse ὄφιλε: ad χρήματα scilicet. BUTTM.

μή τί μοι οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες.
Ὣς εἰπὼν, τρίποδας περικαλλέας, ἠδὲ λέβητας,
ἠρίθμει, καὶ χρυσὸν, ὑφαντά τε εἵματα καλά·
τῶν μὲν ἄρ' οὔτι πόθει· ὁ δ' ὀδύρετο πατρίδα γαῖαν,
ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
πόλλ' ὀλοφυρόμενος· σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἐπιβώτορι μήλων,
παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασι,
δίπτυχον ἀμφ' ὤμοισιν ἔχουσ' εὐεργέα λώπην·
ποσσὶ δ' ὑπαὶ λιπαροῖσι πέδιλ' ἔχε, χερσὶ δ' ἄκοντα.
τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, καὶ ἐναντίος ἦλθε,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ,

216. οἴχωνται] οἴχονται H. 217. Ϝειπών. 218. Ϝείματα. 221. Ϝοι. 222. Ϝεικυῖα. 223. Ϝανάκτων. 224. ἔχουσ'] ἔχουσ' H. ib. εὐϜεργέα. 226. ἐναντίος] ἐναντίον a m. pr. H. ib. Ϝιδών. 227. Ϝέπεα.

γὰρ μηδὲν ἔλιπε τῶν χρημάτων, ψευδὲς ἦν τὸ εἰς ἀλλοτρίαν γῆν αὐτὸν ἀφῖχθαι. οὐ πιστεύει δὲ τῷ δεσμῷ τῆς Κίρκης, ἤτοι διὰ τὴν ἔκπληξιν, ἢ οἰηθεὶς μεμαθηκέναι αὐτοὺς τὸν δεσμόν. Vulg. 216. Οἴχωνται (sic)] Ἀπεληλύθασι. Vulg. 219. Τῶν μὲν ἄρ' οὔτι πόθει] Οὐδὲν τούτων ἐζήτει, πάντα γὰρ σῶα ἦν. B. Q. Πόθει] Ἀπεκλαίετο [q]. Vulg. 220. Ἑρπύζων] Κατὰ τὸν αὐτὸν τόπον ἀναστρεφόμενος, ἢ ἕρπων, ἢ βαδίζων. Vulg. 221. Ad hunc versum in Harl. scriptum Γρ. ὀλοφυρόμενος δ' ἔπος ηὔδα, quod Porsonus primum ad 227. sed cum dubitatione, tum ad 199. referebat. 222. Ἀνδρὶ δέμας εἰκυῖα] Ὅτι ὁ ποιητὴς ἄῤῥενας μὲν θεοὺς, θηλείας δὲ οὐδέποτε εἰκάζει. Q. Ἐπιβώτορι] Ποιμένι, ἐπὶ τῶν βοσκημάτων τεταγμένῳ. B. Vulg. Περισσὴ ἡ πρόθεσις, ὡς καὶ εἰς τὸ βοῶν ἐπιβουκόλος ἀνήρ. B. 223. Παναπάλῳ] Πάνυ νέῳ, κατὰ παντὸς τοῦ σώματος ἁπαλῷ. B. Q. Τοιούτῳ ὁμοιοῦται πρὸς τὸ θαρσῆσαι τὸν Ὀδυσσέα. ὅθεν καὶ ἐπιφέρει, Ὀδυσσεὺς γήθησεν. παναπάλῳ δὲ, ἁπαλῷ. Vulg. Οἷοί τε ἀνάκτων παῖδες ἔασι] Ὅτι καὶ οἱ βασιλεῖς ἐποίμαινον· δῆλον δι' ὧν φησιν Ἀνδρομάχη, Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς βουσὶν ἐπ' εἰλιπόδεσσιν (Il. ζ. 423.) Q. Τὸ παλαιὸν καὶ οἱ τῶν βασιλέων παῖδες παναπάλως ἐκαλοῦντο, καὶ ἐποίμαινον. Vulg. 224. Οὐ γραπτέον, ἔχων· εἴη γὰρ τοῦ ποιητοῦ ὁ λόγος. Harl. Λώπην] Ἱμάτιον, ἤτοι περιβόλαιον. ὅθεν καὶ λωποδύτης ὁ τούτων ἀφαιρέτης, λῃστής. Vulg. 226. Τὴν δ' Ὀδυσσεὺς γήθησεν ἰδὼν] Διὰ τὴν ἡλικίαν· οὐδὲν γὰρ δέδοικεν ὑπὸ τοῦ τοιούτου παθεῖν. Q. 228. Ὀρθοτονητέον

[q] MS. Barnesii ἀνεζήτει. Illud autem ἀπεκλαίετο recte Barnes. ad ὀδύρετο refert. BUTTM.

χαῖρέ τε, καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις·
ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἔγωγε
εὔχομαι, ὥς τε θεῷ, καί σευ φίλα γούναθ' ἱκάνω·
καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς γῆ; τίς δῆμος; τίνες ἀνέρες ἐγγεγάασιν;
ἤ πού τις νήσων εὐδείελος, ἠέ τις ἀκτὴ
κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;
  Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
νήπιός εἰς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοὶ,
ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ', ἠέλιόν τε,
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
ἤτοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν,
οὐδὲ λίην λυπρὴ, ἀτὰρ οὐδ' εὐρεῖα τέτυκται·
ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει, τεθαλυῖά τε ἕρση·

229. ἀντιβολήσαις] ἀντιβολήσειαις H. 232. ταῦτ'] τοῦτ' H. W. ib. Fειδῶ. 233. ἐγγεγάασιν] ἐκγεγάασιν H. 236. προσέFειπε. 239. Fίσασι. 243. οὐδ' εὐρεῖα] οὐχ εὐρεῖα H. 244. Fοι. Fοῖνος. 245. γίγνεται] γίνεται H. ib. τε ἕρση] θ' ἐέρση H. τ' ἐέρση V. W.

τὴν σὲ, ὡς καὶ Ἡρωδιανός. Harl. 229. Ἀντιβολήσεις] Συναντήσεις. Vulg. 233. Τίς γῆ] Ἡ γῆ ποία ἐστὶν, Ἀσία ἢ Εὐρώπη; ὁ δῆμος ποῖος, Λάκων ἢ Πύλιος (B. Ἀττικός); οἱ ἄνδρες τίνες, δίκαιοι ἢ ἄδικοι; B. Q. 235. Κεκλιμένη] Περιερχομένη. Vulg. 241. Μετόπισθε] Εἰς τὰ ὀπίσω· πρόσωπον γὰρ εἶναι ὑποτίθεται τὴν ἀνατολὴν, νῶτα δὲ τὴν δύσιν. B. Q. Εἰς τὰ ἐναντία μέρη. Vulg. 243. Οὐδὲ λίην λυπρὴ, ἀτὰρ οὐδ' εὐρεῖα] Πρὸς τὰ δύο τὰ ἄνω ἀπέδωκεν. ἐπεὶ γὰρ εἶπε τρηχεῖα μὲν, ἐπάγει ἀλλ' οὐ λίαν ἄκαρπος· εἶπεν δὲ οὐχ ἱππήλατός ἐστιν, ἐπάγει ἀτὰρ οὐδ' εὐρεῖα. ἐνδέχεται γὰρ πλατεῖαν μὲν εἶναι, μὴ δύνασθαι δὲ ὑπὸ ἵππων ἐλαύνεσθαι διὰ τὸ τραχύ. Q. (Harl.) Οὕτως, οὐδ' εὐρεῖα. Harl. 245. Τεθαλυῖά τε] Θάλλειν ποιοῦσα καὶ αὔξειν τὰ φυτά. Καὶ βούβοτος. πῶς ἂν ἔνδροσος[a], εἰ ἐν ἠπείρῳ νέμονται; οὐδὲν κωλύει καὶ ἐν Ἰθάκῃ. ἢ βούβοτος, βοσκημάτων πλήρης[b]. Vulg. Ἐέρση (sic ed. ant.)] Δρόσος. Vulg.

[a] Correxeris fortasse scholium inducenda sola voce ἔνδροσος, ut nata ex male intrusa glossa ἕρση, δρόσος (cf. infra not. ad ο'. 192.) BUTTM.

[b] Confusum scholium; quod "bene explicari" dicit Barnesius his Eustathii verbis: Φασὶ δὲ οἱ παλαιοὶ—μὴ λέγειν τὸν ποιητὴν οἵα ἐστὶν ἡ κραναὴ αὕτη νῆσος, ἀλλ' οἵαν εἶναι χρὴ νῆσον εὐδαιμόνως οἰκουμένην. δίχα οὖν τῶν ἄλλων οὐδὲ βούβοτος ἡ νῆσος, εἴγε τὰ τοῦ Ὀδυσσέως βουκόλια, φασὶν, ἐν Ἠπείρῳ ἦν. εἰ μὴ ἄρα συλληπτικῶς ἴσως τῇ Ἰθάκῃ συναπτομένην καὶ τὴν ἀντικρὺ αὐτῆς κειμένην Ἤπειρον. BUTTM.

αἰγίβοτος δ' ἀγαθὴ, καὶ βούβοτος· ἔστι μὲν ὕλη
παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασι.
τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκοι,
τήν περ τηλοῦ φασιν Ἀχαιΐδος ἔμμεναι αἴης.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,
αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν·
Πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
χρήμασι σὺν τοῖσδεσσι· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
φεύγω, ἐπεὶ φίλον υἷα κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκὺν, ὃς ἐν Κρήτῃ εὐρείῃ
ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν·
οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πάσης
Τρωϊάδος, τῆς εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
οὕνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος θεράπευον

248. ἵκοι] ἵκει H. W. 249. Ἀχαιϝίδος. 250. ϝῖϝος. 251. πατρωΐῃ,] πατρώῃ," H. ib. ϝῇ. ϝοι ἔϝειπε. 252. Ἀθηναίη] Ἀθήνη et litera erasa H. 253. ϝέπεα. 254. ϝεῖπε. 256. γε] δὲ V. 265. ϝῷ.

Ὀπώρη text. Γρ. ἐέρση. Vind. 133. 247. Ἀρδμοί] Ποτισμοὶ ἔνθα ποτίζονται τὰ ζῶα. B. Q. 254. Πάλιν δ' ὅγε λάζετο] Εἰς τοὐναντίον τοῦ ἀληθοῦς, ὃ ἔστιν, ἐκ δευτέρου δὲ τὸν λόγον ἀνελάβετο. Vulg. 258. Χρήμασι σὺν τοῖσδεσι] Προπαροξυτονητέον τὸ τοῖσδεσι. Harl. 259. Φεύγω, ἐπεὶ κ. τ. λ.] Ἰδομενεὺς παῖς μὲν ἦν Δευκαλίωνος τοῦ Μίνωος, Κρὴς δὲ τὸ γένος, ἄριστος τὰ πολέμια. παρ' ἑκάστοις γοῦν ἀριστείαις σεμνὸς φαινόμενος, μέχρι τῶν νόστων ἄρανστος (sic ed. ant. Scr. ἄβλαστος) διεφυλάχθη. οὗτος δὲ ὡς λέγεται γενομένου τοῦ κατ' Εὔβοιαν χειμῶνος ὑπὸ τῆς Ἀθηνᾶς, ᾤκεισε μετὰ τοῦ Κάλχαντος καὶ Σθενέλου εἰς Κολοφῶνα, καὶ ἐνταῦθα τὸν βίον κατέστρεψε. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. Vulg.[1] 261. Ἀνέρας ἀλφηστάς] Ἐφευρετάς· γίνεται δὲ ἐκ τοῦ ἀλφῶ τὸ ψηλαφῶ, ἀφ' οὗ καὶ τὸ ἄλφα. B. 262. Οὕνεκά με στερέσαι τῆς ληΐδος] Καὶ τοῦτο ἵνα δίκῃ (δοκῇ em. Mai.) τιμωρεῖσθαι τοὺς ἀποστερεῖν αὐτὸν ἐπιχειροῦντας, ὅς γε μήτε βασιλέως παιδὸς ἐφείσατο. Q. 265. Οὐχ ᾧ πατρὶ θεράπευον] Ἐπεὶ οὐκ ἤμην θεράπων τοῦ πατρὸς αὐτοῦ Ὀρσιλόχου. οὕτως

[1] Hoc etiam schol. in ed. ant. collocatum in calce libri praeced. BUTTM.

δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων·
τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ
ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·
νὺξ δὲ μάλα δνοφερὴ κάτεχ' οὐρανόν, οὐδέ τις ἡμέας
ἀνθρώπων ἐνόησε· λάθον δέ ἑ θυμὸν ἀπούρας.
αὐτὰρ ἐπειδὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,
αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
ἐλλισάμην, καί σφιν μενοεικέα ληΐδα δῶκα·
τούς μ' ἐκέλευσα Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι,
ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
ἀλλ' ἤτοι σφέας κεῖθεν ἀπώσατο ἲς ἀνέμοιο,
πόλλ' ἀεκαζομένους· οὐδ' ἤθελον ἐξαπατῆσαι.
κεῖθεν δὲ πλαγχθέντες ἱκάνομεν ἐνθάδε νυκτός·
σπουδῇ δ' ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἡμῖν
δόρπου μνῆστις ἔην, μάλα περ χατέουσιν ἑλέσθαι·
ἀλλ' αὔτως ἀποβάντες ἐκείμεθα νηὸς ἅπαντες.
ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
οἱ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες
κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.

269. ἡμέας] ὑμέας H. 270. Ϝε. 273. μενοϜεικέα. 275. δῖϜαν. 276. Ϝίς. 277. ἀϜεκαζομένους. 279. προερέσσαμεν et υ super ἐ H. προερύσσαμεν V. 282. ἐπήλυθε] ἐπέλλαβε H.

Ἀριστοφάνης οὐχ, ᾗ πατρί, τῷ ἐκείνου· ὡς τό, Αἰ μὲν ἔτι ζωὸν γόον ᾗ ἐνὶ οἴκῳ (Il. ζ. 500.). Q. Χαριζόμενος θεράπευον] Τὰ κεχαρισμένα ποιῶν ὑπηρέτουν. B. Q. 267. Τὸν μὲν ἐγὼ κατιόντα] Σκήπτεται τὸν Ἰδομενέως υἱὸν ἀνῃρηκέναι, ἵνα αὐτὸν παρόσωνται (sic ed. ant. Scr. ex Eust. πρόσωνται) οἱ μνηστῆρες ὡς ἐχθρὸν τοῦ Ὀδυσσέως φίλου. ἑαυτῷ δὲ ἐν Κρήτῃ υἱούς φησιν εἶναι, ὅτι τοὺς τιμωρήσοντας ἕξει. καὶ τὸν Ὀρσιλόχου δὲ θάνατον λέγει διὰ τὴν λείαν, δεικνὺς ὅτι οὐδὲ ἐκείνῳ παραχωρήσει ἀναιμωτί. Φοίνιξι δὲ πιστεῦσαι λέγει, ἵνα μὴ ἀδικήσῃ, λογισάμενος ὅτι οἱ φιλοκερδέστατοι αὐτοῦ ἐφείσαντο. Vulg. 268. Λοχησάμενος σὺν ἑταίρῳ] Ἄμεινον ἐκεῖνον σὺν ἑταίρῳ ποιεῖν, ἵνα φοβερώτερον ἑαυτὸν καταστήσῃ. Q. 274. Πύλονδε καταστῆσαι] Ἀντέστραπται. ἐπιβιβάσαι γὰρ τῇ νηὶ καὶ καταστῆσαι ἢ εἰς Πύλον ἢ εἰς Ἤλιδα δῖαν. Q. Ἐφέσσαι] Ἱδρῦσαι εἰς τὴν ναῦν. Vulg. Ἡ Ῥιανοῦ [u], ἀποφάσσαι, ἀποπέμψαι. Harl. 277. Οὐδ' ἤθελον ἐξαπατῆσαι] Ἐπαινεῖ τοὺς Φοίνικας, ἵνα ὁ ἀκούων μιμήσηται. Vulg. 279. Προερέσσαμεν] Καθειλκύσαμεν [x], ἀντὶ τοῦ εἰσήλθομεν. Vulg. 282. Ἐπ-

[u] Non potest quin pro ἐφέσσαι Rhianus voluerit ἀφῦσαι; quae non mala foret lectio; unde tamen quomodo natum sit istud ἀποφάσσαι, equidem non dicam. BUTTM.
[x] Hoc verbo explicatur altera lectio προερύσσαμεν. BUTTM.

οἱ δ' ἐς Σιδονίην εὖ ναιομένην ἀναβάντες
ᾤχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.
Ὣς φάτο· μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
χειρί τέ μιν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικὶ
καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
καί μιν φωνήσας' ἔπεα πτερόεντα προσηύδα·
Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων,
μύθων τε κλεπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν;
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
κέρδε'· ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
βουλῇ καὶ μύθοισιν· ἐγὼ δ' [redacted] *θεοῖσι*
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥτε τοι αἰεὶ
ἐν πάντεσσι πόνοισι παρίσταμαι, ἠδὲ φυλάσσω,
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.

285. εὖ ναιομένην] εὐκτιμένην V. εὐναιομένην W. 288. δὲ Fέϊκτο. 289. Fέργα Fειδυίῃ. 290. Fέπεα. 292. εἰ] οὐ V. 295. πεδόθεν] παιδόθεν H. 296. Fειδότες. 300. αἰεὶ] γρ. ἄγχι marg. H.

ἔλαβε (sic ed. ant.)] Κατέσχεν. Vulg. 285. Οἱ δ' ἐς Σιδονίην] Ἐνταῦθα ἔδειξεν ὅτι οὐχ ἑκόντες ἔβλαψαν οἱ Σιδόνιοι. ἢ γὰρ ἀνέβαλον (scr. καὶ γὰρ ἂν ἔλαβον) αὐτοῦ καθελόντες τὰ χρήματα· ἀλλ' ὅτι σπεύδοντες εἰς τὴν πατρίδα κατέλιπον αὐτόν, ἵνα μὴ ἀναστὰς ἀλλαχοῦ αὐτὸς παρακαλέσῃ λαβεῖν αὐτόν. Q. Σιδονίην] Τὴν τῆς Σιδῶνος χώραν, τὴν Φοινίκην. Vulg. 288. Δέμας δ' ἤϊκτο γυναικὶ] Ὁμοίωσε γὰρ ἑαυτὴν γυναικὶ ἵνα πιστεύσηται αὐτόν, ὅτι θεά ἐστιν ἐκ τοῦ μεθομοιωθῆναι. Q. Ἐντεῦθεν Ξενοφῶν τὴν Ἀρετὴν καὶ τὴν Κακίαν ἀνέπλασεν. Vulg. 289. Καλῇ τε μεγάλῃ τε] Ἐκ τῆς κατὰ τὴν ὄψιν κοσμιότητος καὶ αἰδοῦς καὶ τοῦτο ὑπονοεῖν δίδωσι, καθὰ καὶ Ξενοφῶν καὶ Τελέσιλλα (sic parox.) ἢ Ἀργεία διαγράφουσιν Ἀρετῆς καὶ Καλοκαγαθίας εἰκόνα. Q. 291. Ὅς σε παρέλθοι] Νικήσει, μεταφορικῶς. Vulg. Νικήσει. ὁμοίως, Οὐδέ με παρελεύσεαι οὐδέ με πείσεις (Il. α'. 132.). ὁ δὲ νοῦς, εἰ καὶ παρέλθοι θεός σε τοῖς δόλοις, δοξασθήσεται ὡς τοιοῦτον παρελθών. B. Q. 295. Κλεπίων] Τῶν κεκλεμμένων καὶ μὴ ἀληθῶν. Vulg. Πεπλεγμένων [y]. Harl. Οἵ τοι πεδόθεν [z] φίλοι εἰσίν] Μεταφορικῶς, οἷον ἐκ ῥίζης, ἐκ γενετῆς, ἀπὸ φυτῶν· ἢ ἀπὸ τοῦ τοὺς γεννωμένους ἐν τῷ πέδῳ πεσεῖν (B. πίπτειν.). B. Q. Πεδόθεν] Ἐκ νέας ἡλικίας. ἢ ἀπὸ τοῦ πέδου. Vulg. 296. "Εἰδότε schol.

[y] Pertinet ad var. lect. πλεκίων. Sed κλεπίων text. et schol. PORS. Scholium quod ultimo loco memorat Pors., non novimus. BUTTM.
[z] In Harl. παιδόθεν. Cf. explicationem schol. vulg. BUTTM.

νῦν δ' αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω,
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν, οἴκαδ' ἰόντι, ἐμῇ βουλῇ τε νόῳ τε·
εἴπω θ', ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσι
κήδε' ἀνασχέσθαι· σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ·
μηδέ τῳ ἐκφάσθαι, μήτ' ἀνδρῶν, μήτε γυναικῶν,
πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος· ἀλλὰ σιωπῇ
πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ἀργαλέον σε, θεὰ, γνῶναι βροτῷ ἀντιάσαντι,
καὶ μάλ' ἐπισταμένῳ· σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις.
τοῦτο δ' ἐγὼν εὖ οἶδ', ὅτι μοι πάρος ἠπίη ἦσθα,
ἕως ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν·
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιοὺς,
οὔ σέ γ' ἔπειτα ἴδον, κούρη Διὸς, οὐδ' ἐνόησα
νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις·
ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων δεδαϊγμένον ἦτορ
ἠλώμην εἵως με θεοὶ κακότητος ἔλυσαν·
πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ

303. δ' omittit H. 305. Fοικαδ'. 306. θ'] δ' H. V. ib. Fείπω. 307. ἀνασχέσθαι] ἀναπλῆσαι V. 310. βίας] βίας' H. 313. ἐΐσκεις] ἐΐσκω' H. ib. FεFίσκεις. 314. Fοῖδ'. 315. ἕως ἐνὶ] εἵως ἐν H. W. ib. ἈχαιFῶν. 317. ἐκέδασσεν] ἐκέλευσεν V. ib. ἈχαιFούς. 318. σέ γ'] σ' H. ib. Fίδον. 320—323. uncinis includit W. 320. Fῆσιν.

"cum glossa, ἐγώ τε καὶ σύ*." PORS. ex Harl. 306. Ποιητοῖσι] Γρ. τυκτοῖσι. Harl. 313. Σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις] Ὑπονενόηκεν, ὅτι ἐν τοῖς Φαίαξι καὶ παρθένῳ καὶ ἀνδρὶ ὁμοιωθεῖσα παρέρρηκεν αὐτόν. Vulg. Γρ. σὲ γὰρ αὐτῇ (sic, superscripto ὴν) πάντῃ ἐΐσκεις. Harl. cum glossa ἑαυτήν. Cf. Vind. 133. ap. Alt. 320—323. Ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων] Νοθεύονται δ' στίχοι. ὁ μὲν πρῶτος, ὅτι ἀντὶ τοῦ ἐμῇσιν ἔχει τὸ ᾗσιν, ὅπερ ἐστὶ περὶ τοῦ (scr. τρίτου) προσώπου, τηροῦντος ἀεὶ τοῦ ποιητοῦ τὴν ἐν τούτοις διαφοράν· ὁ δὲ δεύτερος, ὅτι Ἀθηνᾶς παρούσης, θεοῖς ἀνατίθησι τὴν σωτηρίαν· ὁ δὲ τρίτος καὶ τέταρτος ὅτι οὐκ ἐγίνωσκεν ὡς ἡ φανεῖσα αὐτῷ παρὰ Φαίαξι θεὰ ἦν, ὅτι οὐκ ἐθάρσυνεν ἀλλὰ τοὐναντίον, Μηδέ τιν' ἀνθρώπων πετάσσεο, Οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται (η'. 31.). Q. Vind. 133. (Harl.) 320. 321. Νοθεύονται. οὐκ ἂν παρούσης τῆς Ἀθηνᾶς θεοῖς ἀναθήσει τὴν σωτηρίαν. Harl. (alio

* Hæc explicatio semper dualem indicat. Scholiastes ad Soph. Elect. 738. κἀξυνώσαντες ζυγά. ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος. Sic primum legitur in Francofurtana. Sed recte Brunckius ex Aldina et Florentinis scholiorum editionibus ξυνώσαντε retraxit. PORS.

θάρσυνάς τ' ἐπέεσσι, καὶ ἐς πόλιν ἤγαγες αὐτή.
νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι, οὐ γὰρ ὀΐω
ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά τιν' ἄλλην
γαῖαν ἀναστρέφομαι· σὲ δὲ κερτομέουσαν ὀΐω
ταῦτ' ἀγορευέμεναι, ἵν' ἐμὰς φρένας ἠπεροπεύσῃς·
εἰπέ μοι, εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
οὕνεκ' ἐπητής τ' ἐσσὶ, καὶ ἀγχίνοος, καὶ ἐχέφρων.
ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἵετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ' ἄλοχόν τε·
σοὶ δ' οὔπω φίλον ἐστὶ δαήμεναι, οὐδὲ πυθέσθαι,
πρίν γέ τι σῆς ἀλόχου πειρήσεαι, ἥτε τοι αὔτως
ἧσται ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ
ᾔδε' ὃ νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους·

323. τε Fέπεσσι. 327. ἠπεροπεύσῃς] ἠπεροπεύσῃς sed signo, quod ης, cum simplex ponitur, notat, duplicato, i. e. in εις mutato, H. PORS. 328. Fειπέ. 332. ἐπητής τ'] ἐπήτης, sed circumflexus super acutum, et ης super ης. τ' omittit etiam schol. ad κ'. 277. H. PORS. τ' omittit W. 334. ἵετ'] ἴετ' V. ib. Fίετ'. Fιδέειν. 336. πρίν γέ τι] πρίν γ' ἔτι H. V. W. 337. Fοι. 340. ᾔδε', ὃ] ᾔδ' ἔστι (sic) H. ib. Fᾔδε'.

scholio). 323. Θαρσύνας] Καὶ μὴν οὐκ ἔδειξε τῷ Ὀδυσσεῖ σαφῶς ἑαυτὴν παρὰ Φαίαξιν. ἢ οὐ κατὰ παρθένον θνητὴν ὡμοιώθη παρὰ Φαίαξι τῆς θεοῦ συμβουλῇ; διὸ ἔγνω. Q. 330. Τοιοῦτο νόημα] Εὐεξαπατήτων. Ἀντὶ τοῦ οὐκ εὐεξαπάτητον, οὐδὲ συνετόν (ἀσύνετον em. Barn.) Vulg. 332. Ἐπήτης] Ταχὺς περὶ τὸ νοῆσαι (spectat hoc ad ἀγχίνοος, et quod sequitur, est novum lemma), ἐπήτης, λόγιος. καὶ ὥσπερ ὁ λόγιος παρὰ τὸν λόγον, οὕτως καὶ ἐπήτης παρὰ τὸ ἔπος. τινὲς δὲ, δίκαιος, ὁ τὸ ἐτεὸν φυλάττων. B. Ἐπητής] Φρόνιμος καὶ λόγιος, παρὰ τὸ ἔπος. Ἀγχίνοος] Περὶ τὸ νοῆσαι ταχύς. Vulg. In Harl. Χωρὶς τοῦ τε. τῇ δὲ προσῳδίᾳ δασείᾳ φησιν Ἀρίσταρχος. Unde hoc certe constat, scripsisse alios ἐπῆτύς τ'. 333—338. Ἀσπασίως γάρ κ' ἄλλος] Ἀθετοῦνται στίχοι στ' (huc. P. ex Harl.) ὅτι οὐδὲν εἴληφε παρ' αὐτοῦ σημεῖον τοῦ μὴ ἄν βούλεσθαι τὴν γαμετὴν ἰδεῖν. τοὐναντίον γὰρ διὰ τοῦτο αὐτῷ ἐπιφαίνεται, ἵνα κρύψῃ αὐτοῦ τὴν εἴσοδον. διὸ καὶ φησὶ, Ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο Φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον, Εἰ μή μοι σὺ ἕκαστα θεὰ κατὰ μοῖραν ἔειπες (383.) οὕτως οὖν αὐτὸς ἠπείγετο ἰδεῖν τὴν γαμετήν. Q. 335. Φίλον] Νῦν ἀντὶ τοῦ ὀφέλιμον. Vulg. 340. Ἤιδε'

ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
πατροκασιγνήτῳ, ὅς τοι χόλον ἔνθετο θυμῷ,
χωόμενος, ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος·
ἥδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροειδὲς,
ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
τοῦτο δέ τοι σπέος εὐρὺ κατηρεφὲς, ἔνθα σὺ πολλὰς
ἔρδεσκες Νύμφῃσι τεληέσσας ἑκατόμβας·
τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος, καταειμένον ὕλῃ.
Ὣς εἰποῦσα θεὰ σκέδασ' ἠέρα· εἴσατο δὲ χθών·
γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς,
χαίρων ᾗ γαίῃ· κύσε δὲ ζείδωρον ἄρουραν·
αὐτίκα δὲ Νύμφῃς ἠρήσατο χεῖρας ἀνασχών·
Νύμφαι Νηϊάδες, κοῦραι Διὸς, οὔποτ' ἔγωγε
ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῇς ἀγανῇσι
χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,

342. χόλον] κότον W. 343. ϝοι. 347. 348. uncinis includit W. 347. ἠεροϝειδές. 349. εὐρὺ] ἐστὶ H. 350. ϝέρδεσκες. 351. καταϝειμένον. 352. ϝειποῦσα. ϝείσατο. 353. ϝᾶδες. 354. ϝῇ.

ἢ νοστήσεις] Ἀλλ' ἠπιστάμην ὅτι νοστήσεις, ὅτι ἐπανέλθοις (scr. -εις). B. Ὅτι νοστήσεις] Ὅτι ἐπανέλθοις. Vulg. 342. Χόλον] Γρ. κότον. Harl. 348. Ἱρὸν] Ἀποκεκομμένον ψιλοῦται. B. 349. Γρ. εὐρύ. Harl. Κατηρεφὲς] Χθαμαλὸν, κατακαλύπτον, καὶ καταστέγον. Vulg. 351. Νήριτον] Ὄρος Ἰθάκης ἀντικρὺ τῆς Ἠπείρου. Vulg. ΕΙΜΕΝΟΝ (hoc tantum). κατεσκευασμένον. Vulg. 352. Ὣς εἰποῦσα θεὰ σκέδασ' ἠέρα] Οὐκ εἶπεν, ἐσκεδάννυεν, ἀλλ' ἐσκέδασε, δεικνὺς ὅτι πρῶτον ἐσκέδασε τὴν ἀχλὺν εἰποῦσα τὸ, ἀλλ' ἄγε τοι δείξω, καὶ οὕτως αὐτῷ ἔδειξε, Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν. οὐ γὰρ ὅτι ἀορασίας οὔσης ἐφαίνετο αὐτῷ τὰ μὴ ὁρώμενα. Q. Τὸ, ὣς εἰποῦσα, νοητέον μετὰ τὸ, ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος. Q. Ὣς εἰποῦσα] Τάδε, φησὶν, ἡ Ἀθηνᾶ εἰποῦσα τῷ Ὀδυσσεῖ, ἐσκέδασε τὴν ἀορασίαν καὶ ἀγνωσίαν αὐτοῦ. καθ' ἣν οὐκ ἐγίνωσκε ποῦ ἦλθεν ὅτε ταῖς νηυσὶν εἰς Ἰθάκην αὐτὸς ἤτοι τὴν πατρίδα αὐτοῦ παρεγένετο. Q. Σκέδασ' ἠέρα] Ταῦτα ἐπιλαμβάνεται Πτολεμαῖος. ἔδει γὰρ πρῶτον σκεδάσασά, φησι, τὸν ἀέρα εἶτα δεῖξαι. εἰ μὴ ἄρα ὅμοιόν ἐστι τῷ, Τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε (μ'. 134). Q. 357. Ἀγανῇσι] Προσηγορεῖσθαι καὶ πεῖσαι δυναμέναις (ed. ant. -αῖσι--ως). Vulg. 358. Διδώσομεν] Παράσχωμεν. ἀπὸ τοῦ διδῶ περισπωμένου. δυσχεραίνει δὲ ὁ Ἀριστοφάνης τὸ, διδώ-

αἴ κεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
ἀλλ' ἄγε, χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
αὐτοὶ δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὣς εἰποῦσα θεὰ δῦνε σπέος ἠεροειδὲς,
μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
ἆσσον πάντ' ἐφόρει, χρυσὸν, καὶ ἀτειρέα χαλκὸν,
εἵματά τ' εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν·
καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δ' ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
Τὼ δὲ καθεζομένω ἱερῆς παρὰ πυθμέν' ἐλαίης,
φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
φράζευ, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσῃς,

360. ἀέξῃ] ἀέξει a m. pr., nunc est ῃ pro ει H. PORS. 361. προσέϝειπε. 363. ἀλλ', ἄγε] ἀλλὰ W. 364. σόα] σῶα sed suprasc. σόα ὑγιῆ H. 365. φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα H. 366. δῦνε σπέος] δῦν' ἐς σπέος V. ib. ϝειποῦσα. ἠεροϝειδές. 369. οἱ] τοι H. ib. ϝείματα. ϝοι. 375. διϝογενὲς Λαϝερτιάδη. 376. φράζεο νῦν μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον in text., et in marg. φράζευ ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρ' ἐφήσῃς H. Idem in text. habet V. ἐφήσῃς] ἐφήσεις W.

σομεν, γράφει παρέξομεν· καὶ τὸ ἐν Ἰλιάδι διδῶναι προέκοντες*. Q. Harl. Vind. 133. 360. Γρ. ἀέξειν. Harl. 365. Ὅπως ἔσται τάδε ἔργα text. Γρ. ὅπως ὄχ' ἄριστα γένηται. Harl. (in Vind. 133. vice versa.) 366. Σπέος ἠεροειδές] Τὸ καθαρὸν ἀέρα ἔχον. ὅμοιον τῷ, Ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν (Il. ε'. 770.). ἄτοπον γὰρ θεοῖς σκότος ἀνακεῖσθαι. ὅθεν ἐπιτίθησι καὶ λίθον. Q. Νῦν καθαρὸν ἀέρα ἔχον. Vulg. 367. Κευθμῶνας] Τὰς καταδύσεις ἢ τοὺς κοίλους τόπους (huc. Vulg.) καὶ ἀνακεχωρισμένους. Q. 369. Γρ. οἱ. Harl. 372. Τὼ δὲ καθεζομένω] Οὕτω δὲ ἡ Ἀθηνᾶ καὶ Ὀδυσσεὺς καθεζόμενοι. Ἱερὰν δέ φησι τὴν ἐλαίαν διὰ τὸ ἀνακεῖσθαι αὐτὴν τῇ Ἀθηνᾷ, ὡς ἀναδοθεῖσαν αὐτὴν τῆς γῆς εἰς τὸ ταύτης ὄνομα ὅτε οἱ θεοὶ συνεδρίαζον, καὶ εἰς ἑκάστου τὸ ὄνομα ἓν φυτὸν ἀνεδίδοτο, καθάπερ καὶ τῷ Διονύσῳ ἡ ἄμπελος ἀνεβλάστησεν. Q. 373. Φραζέσθην] Ἐβουλεύοντο. ἔστι δὲ ἡ τοῦ τρίτου προσώπου τῶν δυϊκῶν κατὰ

* Sic tres codices. Scribendum autem esse διδοῦναι ex Il. ε'. 425. certum: sed altius vox pejus etiam habita est. Scrib. vid. προέκοντες, h. e. illud διδοῦναι in aliam formam procudit perperam: forsan διδόμεν scribendo. BUTTM.

οἳ δή τοι τρίετες μέγαρον κατακοιρανέουσιν,
μνώμενοι ἀντιθέην ἄλοχον, καὶ ἕδνα διδόντες·
ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν
πάντας μέν ῥ' ἔλπει, καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὢ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
εἰ μή μοι σὺ ἕκαστα, θεὰ, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγε, μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
πὰρ δέ μοι αὐτὴ στῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
οἷον ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
αἴ κέ μοι ὧς μεμαυῖα παρασταίης, Γλαυκῶπι,
καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην,
σὺν σοὶ, πότνια θεὰ, ὅτε μοι πρόφρασσ' ἐπαρήγοις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
καὶ λίην τοι ἔγωγε παρέσσομαι, οὐδέ με λήσεις,
ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' ὀΐω
αἵματί τ' ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλ' ἄγε, σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·

377. τρίϜετες. 378. Ϝέδνα. 380. μὰν Ϝέλπει. Ϝεκάστῳ. 381. Ϝοι. 383. ἈτρεϜίδαο. 385. ἔειπες] ἔειπας V. ib. Ϝέκαστα. ἔϜειπες.

χρῆσιν τῆς Ἀττικῆς διαλέκτου. Q. 377. Οἳ δή τοι τρίετες] Κατὰ τὸν ἀπαρτίζοντα ἀριθμὸν εἶπε τρίετες, ἐνιστάντος ἤδη καὶ τετάρτου· Ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον (β΄. 89.)· ἔστι γὰρ ἀντὶ τοῦ ταχέως διελεύσεται. καὶ ἀλλαχοῦ, ὡς Τρίετες μὲν ἔληθε δόλῳ, Ἀλλ' ὅτε τέταρτον ἦλθεν ἔτος, Καὶ τότε δή τις ἔειπε γυναικῶν (β΄. 106.). Q. 380. Πάντας μέν ῥ' ἔλπει] Πάντας τοὺς μνηστῆρας ἡ σὴ ποιεῖ ἄλοχος μνηστεῦσαι αὐτὴν, ὅπως ἀπατήσῃ αὐτοὺς ἀταράχως μένειν. Q. 384. Φθίσεσθαι] Γρ. πείσεσθαι. Harl. 387. Πὰρ δέ μοι αὐτὴ στῆθι] Πῶς οὐ πρὸς Νέστορα καὶ Μενέλαον μετέρχεται στρατείαν λαβεῖν; τάχα ὅτι τοῖς λοιποῖς πολίταις οὐδὲν αἰτίοις οὖσι πόλεμον ἐπάγειν ἀδικώτατον ἔδοξε. μεμάθηκε γὰρ καὶ παρὰ τῆς μητρὸς ἐν ᾅδου τὰς δημοσίας Τηλεμάχῳ φυλασσομένας τιμάς. καὶ ὅτι τοὺς τρυφῶντας μνηστῆρας τιμωρήσεται καὶ καθ' ἑαυτόν. οἵ τε μνηστῆρες εἰ ᾔσθοντο, ἔφυγον ἂν μὴ δόντες δίκην. Q. 388. Κρήδεμνα] Μεταφορικῶς τὸ τεῖχος. Vulg. 390. Ὑπονοεῖται ὁ στίχος. PORS. ex Harl. 391. Πότνια[b]] Σεβασμία, τιμία. Vulg. 397. Ἀλλ'

[b] Ita in MS. suo non solum, sed etiam in Aldina et aliis antiquis scholiorum edd. esse Barnesius testatur. In Argent. ut in textu edito πότνια. BUTTM.

κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
ἕσσω, ὅ κεν στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα·
κνυζώσω δέ τοι ὄσσε, πάρος περικαλλέ' ἐόντε,
ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης,
σῇ τ' ἀλόχῳ, καὶ παιδὶ, τὸν ἐν μεγάροισιν ἔλειπες.
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος· ὁμῶς δέ τοι ἤπια οἶδε,
παῖδά τε σὸν φιλέει, καὶ ἐχέφρονα Πηνελόπειαν.
δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
πὰρ Κόρακος πέτρῃ, ἐπί τε κρήνῃ Ἀρεθούσῃ,

400. Fέσσω. Fιδών. 402. ἀFεικέλιος. 403. τὸν] ὃν V. 405. ὁμῶς] ὅμως V. ib. Fοῖδε.

Ὅγε σ' ἀγνώστον] Καὶ πῶς ἡ Εὐρύκλεια γινώσκει; ὅτι χρεία αὐτῆς ἐστιν ἐν τῇ μνηστηροκτονίᾳ. Q. Πάντεσσι βροτοῖσι] Πῶς οὖν ἡ Εὐρύκλεια γινώσκει; ἐπειδὴ χρεία αὐτῆς. Vulg. 398—401. ("ut videtur" addit PORS.). Ἀθετοῦνται μετὰ ἀστερίσκων ὡς (ins. ἐκ) τῶν ἑξῆς μετενηνεγμένων. Et ad 430. ὅτι οἱ ἄνω κατενηνεγμένοι (lege μετ-) εἰσίν. Harl. Κάρψω] Ξηρανῶ. ὅθεν καὶ τὰ κάρφη ἐκ τοῦ κάρφω τὸ ξηραίνω. B. Q. Μειώσω, ξηρανῶ. Vulg. 399. Λαῖφος] Ἱμάτιον παχὺ, ἤτοι χονδρὸν[c], ὡς ἄρμενον. B. 401. Κνυζώσω δέ τοι ὄσσε] Ψωριάσαι σε ποιήσω· εὐρώσω, καλύσω σου τοὺς ὀφθαλμοὺς, ἀπρεπεῖς καὶ ῥυπτοὺς ποιήσω, ὁποῖοί εἰσιν οἱ τῶν καθευδόντων. B. Q. Κνυζώσω] Ῥυσώσω, ἀπρεπεῖς καὶ ῥυσοὺς ποιήσω, ὁποῖοί εἰσιν οἱ τῶν καθευδόντων καὶ συμπλάσω[d]. καὶ κακώσω. Vulg. 402. Ἀεικέλιος] Ἠκισμένος, οἰκτρὸς, ἀπρεπὴς, εὐτελής· ὡς, Δίφρον ἀεικέλιον (υ'. 259.). B. Q. 405. Ἐπίουρος] Ἐπίσκοπος, φύλαξ. Vulg. Ὅς τοι ὑῶν ἐπίουρος] Ὁ ἐπίσκοπος. δύναται ἡ πρόθεσις εἶναι καὶ ἐν πλεονασμῷ, ἵν' ᾖ ἐφορῶν καὶ ἐπιβλέπων· ἢ παρέλκει ὡς τὸ βοῶν ἐπιβουκόλος. Τὸ δὲ, ὅμως (sic), ὁ χοιροβοσκὸς ὁμοιά σοι καὶ ὁμόφρονα οἶδεν. Q. Ὁμῶς] Ὁμοίως τῷ πρόσω χρόνῳ, ὡς ἀπαρχῆς καὶ νῦν. ἢ ὡς σὺ σαυτῷ εὐνοεῖς. B. 408. Πὰρ Κόρακος πέτρῃ] Ἀρεθούσης υἱὸς καὶ Κόραξ ἐγένετο. οὗτος οὖν ὁ Κόραξ κυνηγῶν εὑρὼν λαγὼ καὶ διώκων ἠνέχθη κατὰ κρημνοῦ, πεσὼν ἐπὶ τῆς πέτρας καὶ ἐτελεύτησεν. ἡ δὲ μήτηρ αὐτοῦ Ἀρέθουσα διὰ τὴν λύπην ἐλθοῦσα ἐπί τινα κρήνην ἑαυτὴν ἀπήγξατο. ἔνθα ἀπὸ τοῦ Κόρακος ἡ πέτρα, ἀπὸ δὲ τῆς Ἀρεθούσης ἡ κρήνη. Εἰώθαμεν δὲ σημαίνειν ἀπὸ τῶν ἐνοικούντων πολλάκις τοὺς τόπους, ὡς Ἀττικοί. λέγει οὖν τὰ συφόρβια. Ἰστέον ὅτι Ἀρέθουσαι κρῆναί εἰσι τέσσαρες, ἐν Συρακούσαις, ἐν Σμύρνῃ, ἐν Χαλκίδι, καὶ ἐν Ἰθάκῃ. B. Q. Οὗτος ὁ Κόραξ κυνηγῶν ἀπὸ τῆς πέτρας πεσὼν, ἐτελεύτησε. καὶ ἡ μήτηρ αὐτοῦ Ἀρέθουσα ἑαυτὴν ἀπήγξατο. Ἀρέθουσαι δὲ τέσσαρες, ἐν Συρακούσῃ, ἐν Σμύρνῃ, ἐν

[c] Vid. Schneid. in χονδρός. BUTTM.
[d] καὶ συμπλάσω. Corrigendum καὶ συσπάσω. Hesychius: Κνυζώσω· συσπάσω, κακώσω. HEINRICH.

ἔσθουσαι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ
πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
ἔνθα μένειν, καὶ πάντα παρήμενος ἐξερέεσθαι,
ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα,
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱὸν, Ὀδυσσεῦ·
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ᾤχετο, πευσόμενος μετὰ σὸν κλέος, εἴπου ἔτ' εἴης.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
τίπτε τ' ἄρ' οὔ οἱ ἔειπες, ἐνὶ φρεσὶ πάντ' εἰδυῖα;
ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
πόντον ἐπ' ἀτρύγετον; βίοτον δέ οἱ ἄλλοι ἔδουσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω·
αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο
κεῖσ' ἐλθών· ἀτὰρ οὔτιν' ἔχει πόνον· ἀλλὰ ἕκηλος
ἧσται ἐν Ἀτρείδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
ἦ μέν μιν λοχόωσι νέοι σὺν νηῒ μελαίνῃ,
ἱέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
ἀλλὰ τά γ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·

409. μενοϝεικέα. 413. φίλον omittit H. 414. ἐς omittit H. ib. πὰρ] πρὸς V. ib. Μενέλαϝον. 415. εἴπου] ἤν που H. W. 417. ϝοι ἔϝειπες. πάντα ϝιδυῖα. 418. που καὶ κεῖνος] που [καὶ] κἀκεῖνος, ut significet aliter scribi καὶ κεῖνος H. PORS. 419. ϝοι. 423. ϝέκηλος. 424. Ἀτρεϝΐδαο. 425. μιν a m. pr., sed μοι pro μιν ex emend., deinde ιν super οι additum H. PORS. 426. ϝιέμενοι. 428. omittit H. Uncinis includit W.

Χαλκίδι, καὶ ἐν Ἰθάκῃ. Vulg. Ἀρέθουσα κρήνη Ἰθάκης καὶ Ἄργους. Vulg.* 409. Βάλανον μενοεικέα] Ἁρμόζοντα (sic). τῇ δυνάμει αὐτῶν. βάλανον ἁρμόζουσαν καὶ οὖσαν κατάλληλον τῇ δυνάμει τῶν χοίρων. Q. 413. Καλέουσα] Καλέσαι ὀφείλουσα. Vulg. 421. Ἐνθύμιος] Ἔμφροντις, ὅ ἐστι διὰ φροντίδος. B. 427. Ἕως τοῦ οἴω ἡ στιγμή. Vind. 133. Καθέξει] Γρ. παρέξει. Harl. Vind. 133. 429. Ὣς ἄρα μιν φαμένη] Εἰπὼν τὸ κατὰ μέρος, ἐπήγαγε τὸ ὅλον ἀντὶ τοῦ συνελωτὶ (sic) εἰπεῖν, δέρμα γέροντος αὐτῷ περιέθηκεν πρότερον

* Alia quaedam ex antiquorum ad h. l. commentariis affert Steph. Byz. v. Ἀρέθουσα: Δίδυμος ὑπομνηματίζων τὴν ν τῆς Ὀδυσσείας φησίν Ἀρέθουσαι δὲ εἰσὶ πολλαί. Ἡρακλέων δὲ ὁ Γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φησίν, Ἀρῶ ἐστι τὸ ποτίζω οὗ τὸ ἄρδω παράγωγον. ἐκ τούτου ἀρέθω ὡς φλέγω φλεγέθω. ἀφ' οὗ πᾶσα κρήνη ἐπιθετικῶς οὕτω λεγέσθαι. BUTTM.

κάρψε μέν οἱ χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος·
κνύζωσεν δέ οἱ ὄσσε, πάρος περικαλλέ' ἐόντε·
ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ' ἐλάφοιο
ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Τώ γ' ὣς βουλεύσαντε διέτμαγον· ἡ μὲν ἔπειτα
εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

430. ἐνὶ] ἐπὶ sed ἐνὶ suprascr. H. ib. et 433. ϝοι. 434. κακὸν βάλεν] βάλεν κακὸν H. 436. ϝέσσ'. 437. ϝοι. ἀϝεικέα. 439. διέτμαγον] διέτμαγεῖν H. 440. δῖϝαν.

τὸν χιτῶνα, εἶθ' οὕτως τὸ ῥάκος. B. Q. 430. Vid. ad 398. 435. Μεμορυγμένα] Καὶ ἠφανισμένα. Q. Μεμολυσμένα καὶ πεφυρμένα. Vulg. 438. Πυκνὰ ῥωγαλέην] Ἤτοι συνεχεῖς ἔχουσαν ῥωγάδας, ἢ πολλῶν ῥηγμάτων πεπληρωμένην, ἢ συνεσχισμένην. Q. Vulg. Στρόφος] Συνεστραμμένος δεσμὸς, ἢ εἰς σχοινίον ἐστρεμμένος, ἢ ἐξ ἱμάντος. B. Q. Ἐκ σχοινίου ἐστρεμμένος. ἢ ἱμὰς περιεστραμμένος. Vulg. Ἀορτήρ] Νῦν ὁ τῆς πήρας δεσμὸς, σχοινίον, ὁ ἀναφορεὺς, ἐξ οὗ ἀπήρτητο (Vulg. ἀπῆρτο) ὅ ἐστι παρεκρέματο. B. Q. et ultima Vulg. Ἀορτήρ. ὅπερ λέγομεν βαστάγιον. B.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ξ.

Ξῖ δ', Ὀδυσῆα ξείνισεν Εὔμαιος ἀγρῷ ὑφορβός.

ΑΥΤΑΡ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν,
χῶρον ἀν' ὑλήεντα δι' ἄκριας· ᾗ οἱ Ἀθήνη
πέφραδε δῖον ὑφορβὸν, ὅ οἱ βιότοιο μάλιστα
κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
Τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ
ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
καλή τε, μεγάλη τε, περίδρομος· ἥν ῥα συβώτης
αὐτὸς δείμαθ' ὕεσσιν, ἀποιχομένοιο ἄνακτος,

2. 3. 5. Ϝοι. 3. δῖϜον. 4. Ϝοικήων. δῖϜος. 6. περισκέπτῳ ἐνὶ χώρῳ] κατωρυχέεσσι λίθοισι V. pro v. l. 8. Ϝάνακτος.

Ὑπόθεσις. Ξενισμὸς Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρὰ Εὐμαίῳ τῷ συβώτῃ αὐτοῦ. διηγεῖται δὲ αὐτῷ Ὀδυσσεὺς πολλὰ ἃ πέπονθε ἀγγέλλων καὶ τὴν Ὀδυσσέως ἐπάνοδον. Pal. Ξενισμὸς Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρ' Εὐμαίῳ τῷ ὑφορβῷ, καὶ ποικίλη τις (Q. ins. αὐτῷ) ὁμιλία. Ἄλλως. Ὀδυσσέως παρουσία πρὸς τὸν Εὔμαιον, καὶ λόγοι γίνονται ἀναπλάττοντος ἑαυτὸν καὶ πράξεις τινὰς ἐκτιθεμένου. Vulg. Q. 1. Ἀταρπόν] Πρὸς τὴν τραχεῖαν ἀταρπόν· ἢ ἀντὶ τοῦ διὰ τραχείας ἀταρποῦ. B. 2. Δι' ἄκριας] Ἀντὶ τοῦ, δι' ἀκρῶν. ἄκριες δέ εἰσιν αἱ ἀκρώρειαι. B. Κατὰ τὰς ἀκρωρείας. Vulg. 4. Οἰκήων] Ἀντὶ (ins. τοῦ) οἰκετῶν. λέγονται δὲ καὶ οἱ συγγενεῖς καὶ πάντες οἱ ἐν τῇ οἰκίᾳ. Q. 5. Προδόμῳ] Τῇ πρὸ τοῦ οἴκου στοᾷ. Vulg. Ἥμενον] Τὸ ἑξῆς, ἥμενον περισκέπτῳ* ἐνὶ χώρῳ. Pal. Q. Ἵνα γὰρ περισκοπῶσι τὰ πέριξ ἐν ταῖς ἀγροῖς, ἐν ὑψηλῷ τὰς ἐπαύλεις οἰκοδομοῦσιν. Q. 7. Περίδρομος] Περιοδευτὴ, γείτονας μὴ ἔχουσα τοὺς ἐμποδίζοντας τῷ βουλομένῳ περιδραμεῖν καὶ περιελθεῖν αὐτήν. B. Q. Vulg. 8. Ζη-

* Etym. M. Περισκέπτῳ ἐνὶ χώρῳ· τῷ ὑψηλῷ ὅθεν ἔστι περισκέψασθαι διὰ τὸ ὕψος καὶ ἀπιδεῖν· ἢ ὅθεν ἔστι τὰ πέριξ ἰδεῖν. ἢ περίσκεπτον ὅ τις ἂν κατανοῶν θαυμάσειεν, οἷον, ὄφρα γένηαί σοι περίσκεπτον παίγνιον Ἀρσινόη (Callim. Epigr. 5, 8.). Δίδυμος. ἐν Ὑπομνήματι ξ' Ὀδυσσείας οὕτως εὗρον ἐγώ. Conf. Schol. ε'. 426. BUTTM.

νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος,
ῥυτοῖσιν λάεσσι, καὶ ἐθρίγκωσεν ἀχέρδῳ·
σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας·
ἔντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο
θήλειαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
ἀντίθεοι μνηστῆρες· ἐπεὶ προΐαλλε συβώτης
αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων·
οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες, αἰὲν ἴαυον
τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,

9. ΛαϜέρταο. 14. Ϝεκάστῳ. 16. τοὶ] οἱ V. 21. ϜεϜοικότες. 23. Ϝεοῖς.

ηλθοτες, δείματο οἷος. Harl. 10. Ῥυτοῖσι λάεσσι] Ἑλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις διὰ χειρῶν βασταχθῆναι λίθοις. Vulg. Μεγάλοις, ἑλκυσμένοις καὶ μὴ βασταχθεῖσιν ὡς ἐλαφροῖς. οἱ γὰρ μεγάλοι λίθοι ἑλκύονται καὶ κυλίονται, οἱ δὲ μικροὶ βαστάζονται. B. Ἐθρίγκωσεν] Ἐχαράκωσε, τὴν στεφάνην ἐποίησεν. Q. Ἐχαράκωσεν. θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἴκοις στεφάνη. Vulg. Ἀχέρδῳ] Τῇ ἀγρίᾳ ἀπίῳ. ἔχουσι δὲ αὗται ἀκάνθας δι' ὧν αἱ αἱμασιαὶ γίνονται· θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἰκοδομήμασι στεφάνη. B. Q. Ἀχερδός ἐστιν ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱμασιὰς ποιοῦσιν. ἔνιοι δὲ ἀπέδοσαν τὴν ἀγρίαν ἄπιον. ἀκανθώδης γὰρ ἡ αὐτὴ εἴωθεν εἶναι. Vulg. 11. Σταυρούς] Ἐξειλκυσμένα (scr. ἐξυσμένα) ξύλα καὶ ὀρθὰ ἔπηξε πρὸς τὸ ἀντιβαίνειν τῷ τοίχῳ. Q. Τὰ ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα. Vulg. Ἐκτὸς ἔλασσε] Ἔξω διὰ τῶν τοίχων ξύλα διέλασεν ὀρθά. Vulg. 12. Τὸ μέλαν δρυός] Ἤτοι τὸ δάσος, ἢ τὴν ἐντεριώνην, τὸ ἐγκάρδιον τῆς δρυός· μελάνδρυον γὰρ λέγεται διὰ τὴν χροιάν· ὁ δὲ Ἀριστοφάνης (Vulg. omisso auctore, ἢ) τὸν φλοιὸν τῆς δρυός. B. Q. Vulg. Τὸ μελάνδρυον τὴν ἐντεριώνην φασὶν οὕτω καλουμένην· ὁ δὲ Ἀρίσταρχος τὸν φλοιόν· ὁ δὲ Κράτης τὴν τῶν δασυτάτων φυτῶν μελανδρυόν φησι· ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ, κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου. Τὸ δὲ δρυὸς δύναται νοεῖσθαι καὶ ἐπὶ παντὸς ξύλου. δρυμοὶ γὰρ αἱ ὗλαι, καὶ ἀκρόδρυα τῶν πάντων δένδρων οἱ καρποὶ, καὶ δρυπετεῖς ἐλαῖαι. B. Q. 18. Ἀντίθεοι μνηστῆρες] Νῦν οἱ ἐναντίοι τοῖς θεοῖς. Vulg. Q. 22. Τέσσαρες] Ὑπωπτεύετο παρὰ Ζηνοδότῳ. Et alia nota: Καλλίστρατος ὑπώπτευε τὸν στίχον διὰ τὴν ἐξαρίθμησιν τῶν κυνῶν, καὶ τὸ ἐπίθετον. Harl.: in quo tamen prior nota ad v. 20., posterior (in Vind. 133. quoque) ad 21. relata est, utraque, ut vere monet Porsonus, ad 22. spectante. Ὄρχαμος ἀνδρῶν] Νῦν ἔξοχος ἐπὶ τῇ εὐγενείᾳ.

τάμνων δέρμα βόειον, ἐϋχροές· οἱ δὲ δὴ ἄλλοι
ᾤχοντ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν
οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε,
σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
ὄφρ' ἱερεύσαντες κρειῶν κορεσαίατο θυμόν.
Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
οἱ μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
ἕζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
ἔνθα κεν ᾧ παρὰ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος,
ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μετασπὼν
ἔσσυτ' ἀνὰ πρόθυρον· σκῦτος δέ οἱ ἔκπεσε χειρός.
τοὺς μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλῃ
πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·
Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
ἐξαπίνης· καί κέν μοι ἐλεγχείην κατέχευας.
καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε·
ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων

24. τάμνων] τέμνων H. ib. ἐϋχροές] ἐϋχροὲς erat, sed ἐΰχροον ex emend. ejusdem manus H. PORS. 28. θυμόν] θυμῷ sed ὸν super ῷ H. 29. Ϝίδον. 31. 34. Ϝοι. 32. Ϝῷ. ἀϜεικέλιον. 35. ἄλλῃ] ἄλλῃ a m. pr. ἄλλος ex emend. manus certe antiquæ H. PORS. ἄλλον V. 36. προσέϜειπε Ϝάνακτα. 40. δὲ Ϝάνακτος.

Vulg. 24. Δέρμα βόειον εὔχροον] Εὔχροον, ἀπὸ ὑγιοῦς βοός. B. Ἐϋχροές] Γρ. εὔχροον. Vind. 133. 29. Ὑλακόμωροι] Ὁ μὲν Ἀρίσταρχος, ἐξύφωνοι. κρεῖσσον δὲ ἀποδιδόναι οἱ περὶ τοῦ ὑλακτεῖν μεμορημένοι, (Q. οἱ τὸ ὑλ. μεμορ.) ὅ ἐστι πεπονημένοι. ἴδιον γὰρ κυνῶν τὸ ὑλακτεῖν. ἐν ἄλλῳ, οἱ περὶ τὸ ὑλακτεῖν ἐσπουδακότες, ἢ ὑλακτικοί. Q. Vulg. Οἱ περὶ τὴν ὑλακὴν μεμορημένοι, ὅ ἐστιν εἱθισμένοι ἢ κακοπαθοῦντες, ἀπὸ τοῦ μόρος ἡ κακοπάθεια. οἱ ὁρῶντες πάντοτε πρὸς τὴν ὑλακήν. B. 30. Οἱ μὲν κεκληγόντες (sic)] Κεκληγῶτες καὶ κεκληγόντες (sic) διχῶς αἱ Ἀριστάρχου. ὁ μὲν διὰ τοῦ ω περισπᾶται· εἰ δὲ διὰ τοῦ ντ ὀξύνεται. Q. "Γρ. κεκληγῶτες. In alio schol. διχῶς αἱ Ἀριστάρχου." PORS. ex Harl. 31. Ἕζετο κερδοσύνῃ] Φυσικόν φασι βοήθημα πρὸς ἀποτροπὴν κυνῶν τὸ καθεσθῆναι καὶ προΐεσθαι τὴν ῥάβδον ὡς μὴ ἐπιτιθέμενον. Vulg. B. Σκῆπτρον δέ οἱ ἔκπεσε χειρός] Ἀντὶ τοῦ ἔρριψεν αὐτό. Φυσικόν——ἐπιτιθέμενον. Ἢ διὰ φόβον. B. Οὐ διὰ φόβον, ἀλλ' ἑκὼν ἔρριψεν αὐτό. Vulg. 33. Μετασπών] Ὀξυτονητέον· ἔστι γὰρ β' ἀόριστος, καὶ μετασπῶντος ἡ γενική. Harl. 34. Σκῦτος] Ὁ περιέτεμνε δέρμα, καὶ σκυτοτόμος, καὶ σκυτοδέψης, καὶ σκυτεῦσαι (scr. σκυτεύς). ὡς ἐπιπολὺ γὰρ δέρμασιν εἶλον τὴν πανοπλίαν. Q. 35. "Schol. ἄλλυδις ἄλλῃ, et ος super η. Statim: ἄλλον, οὐκ ἄλλῃ." PORS. ex Harl. 38. Καί κέν μοι] Ἀπόλυτος ἡ μοι. B.

ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε, πόλιν τε,
εἴπου ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς
σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν
εἴπῃς, ὁππόθεν ἐσσὶ, καὶ ὁππόσα κήδε' ἀνέτλης.
  Ὣς εἰπὼν, κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός·
εἷσεν δ' εἰσαγαγὼν, ῥῶπας δ' ὑπέχευε δασείας·
ἐστόρεσεν δ' ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγὸς,
αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ· χαῖρε δ' Ὀδυσσεὺς,
ὅττι μιν ὡς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
  Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
ὅ, ττι μάλιστ' ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο.
  Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε
γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν,
αἰεὶ δειδιότων, ὅτ' ἐπικρατέουσιν ἄνακτες
οἱ νέοι· ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,

42. κεῖνος] ἐκεῖνος V. ib. που] περ V. 46. ϝοίνοιο. 47. ϝείπῃς. 48. ϝειπών. ϝῖϝος. 49. ὑπέχευε] ἐπέχευεν V. 50. ϝιονθάδος. 52. ϝέπος. 54. ὑπέδεξο] ὑπεδέξω H. 56. ἔλθοι] ἔλθοι H. ἔλθῃ V. 59. γίγνεται] γίνεται H. 60. ϝάνακτες.

49. Ῥῶπας] Παρὰ τὸ ῥέπω ῥέψω ῥὼψ καὶ τροπῇ τοῦ ε εἰς ω, ῥώψ. ῥέπει ὅπου θέλει τις, ἱμαντώδεις γάρ ἐστι. B. Q. 50. Ἰονθάδος] Ἴονθους λέγουσι τὰς ῥίζας τῶν τριχῶν. σημαίνει οὖν τὴν δασεῖαν. εἰ δὲ, τὴν τελείαν (scr. ταχεῖαν) παρὰ τὸ ἄδην ἰέναι. εἰ δὲ, νέας, τῆς ἴονθους φυσάσης, αἵτινες φύουσι τοῖς ζώοις. οὐκ ἂν δὲ ἐπήνεγκε, μέγα καὶ δασὺ, εἴγε τὸ ἰονθάδος ἐδήλου τὸ δασέος. ἰονθοὶ (sic) δὲ ἐξανθήματα ἀκμάζοντος σώματος. B. Ἤτοι νέας· ἢ ταχείας, παρὰ τὸ ἰέναι ἄδην. ἢ δασείας· ἴονθοι[b] γὰρ αἱ ῥίζαι καὶ αἱ ἐκφύσεις τῶν τριχῶν. ἢ ἰονθοὺς ἐχούσης· ἴονθοι δὲ ἐξανθήματα ἀκμάζοντος σώματος. Q. Vulg. 51. Ἐνεύναιον] Εἰς τὸ κοιτάριον, ἀπὸ τοῦ εὐνάζω. B. Ἐγκοίτερον[c], ἐγκοίτιον. Vulg. 56. Κακίων σέθεν] Μᾶλλόν σου κεκακωμένος τὴν ψυχήν. Vulg. 59. Ἡ γὰρ δμώων δίκη ἐστίν] Ἀντὶ τοῦ αὕτη τῶν δούλων ἐστὶν ἡ δικαιοσύνη. B. Δίκη] δικαιο-

[b] ἴονθοι hic semel Vulg. In ceteris dedi ut inveni. BUTTM.
[c] MS. Barn. Ἐγκοιτερον. Eustath. Ἐνεύν. δέ φασι, ἐγκοίμητρον, ἐγκοίτιον. BUTTM.

ὅς κεν ἔμ' ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄπασσεν,
οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
ὅς οἱ πολλὰ κάμῃσι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ·
ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἔπι μίμνω.
τῷ κέ με πόλλ' ὤνησεν ἄναξ, εἰ αὐτόθ' ἐγήρα·
ἀλλ' ὄλεθ'· ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε·
καὶ γὰρ ἐκεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
  Ὣς εἰπὼν, ζωστῆρι θοῶς συνέεργε χιτῶνα·
βῆ δ' ἴμεν ἐς συφεοὺς, ὅθι ἔθνεα ἔρχατο χοίρων·
ἔνθεν ἑλὼν δύ' ἔνεικε, καὶ ἀμφοτέρους ἱέρευσεν·
εὗσέ τε, μίστυλλέν τε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.
ὀπτήσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆϊ,
θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν·
ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
  Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
χοίρε'· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵτ' ἐπὶ γαίης

63. Fῷ Fοικῆϊ Fάναξ. 64. Fεῖκεν. 65. ἀέξῃ] ἀέξει V. ib. Fοι. Fέργον. 66. ἔπι μίμνω] ἐπιμίμνω H. W. ib. Fέργον. 67. κέ] καί H. ib. Fάναξ. 71. FΊλιον. 72. Fειπών. συνέFεργε. 73. Fέθνεα Fέρχατο. 74. ἔνθεν] ἔνθ' V. 75. εὗσέ τε] εὗσεν H. εὗσε δὲ V. 78. μελιFηδέα Fοῖνον. 83. Fέργα. 84. Fέργ'.

σύνῃ. Vulg. 65. Εὔμορφον ἀέξῃ. οὕτως Ἀρίσταρχος. Harl. 68. Ὤλετο] Ἀπώλετο. Ὤφελεν] Ὤφειλεν. Vulg. ed. ant. Πῶς ἂν ὁ Πηνελόπης πατὴρ Ἰκάριος Λάκων εἴη τὸ γένος; ἢ πῶς ἂν ἡ Πηνελόπη τῆς Ἑλένης ὑπάρχει ἀνεψιά; οὐ γὰρ ἂν ὁ φιλοδεσπότης Εὔμαιος Τηλεμάχῳ καὶ Πηνελόπῃ κατηρᾶτο βουλόμενος διεφθάρθαι τὸ τῆς Ἑλένης γένος. Q. Cf. ad β'. 52. 72. Συνέεργε] Γρ. ἐπέεργε. Harl. 78. Κισσυβίῳ] Ἀγροικικῷ ἐκπώματι. Vulg. 81. Χοίρε'] Χοίρων μικρῶν κρέα. σιτευτὸν γὰρ φοβοῦμαι θῦσαι. Q. 82. Ὄπιδα] Τὴν εἰς τὸ μέλλον τῶν θεῶν ἐπιστροφὴν καὶ κόλασιν. B. Q. Vulg. ΦΡΟΝΕΟΝΤΕΣ. λογιζόμενοι. ΤΡΟΜΕΟΝΤΕΣ. φοβούμενοι. Vulg. Cf. ad μ'. 357. Ἐλεητύν] Ἔλεον. Αἰολικὴ ἡ διάλεκτος. Vulg. 85. Καὶ μὲν δυσμενέες] Καὶ οἱ φύσει πολέ-

ἀλλοτρίης βῶσιν, καί σφιν Ζεὺς ληΐδα δώῃ,
πλησάμενοι δέ τε νῆας ἔβαν οἶκόνδε ἕκαστος·
καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει·
οἵδε δὲ καί τι ἴσασι, θεοῦ δέ τιν' ἔκλυον αὐδὴν,
κείνου λυγρὸν ὄλεθρον, ὅτ' οὐκ ἐθέλουσι δικαίως
μνᾶσθαι, οὐδὲ νέεσθαι ἐπὶ σφέτερ'· ἀλλὰ ἕκηλοι
κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
ὅσσαι γὰρ νύκτες τε, καὶ ἡμέραι ἐκ Διός εἰσιν,
οὔποθ' ἓν ἱερεύουσ' ἱερήϊον, οὐδὲ δύ' οἴω·
οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔ τινι τόσση
ἀνδρῶν ἡρώων, οὔτ' ἠπείροιο μελαίνης,
οὔτ' αὐτῆς Ἰθάκης, οὔτε ξυνεείκοσι φωτῶν
ἔστ' ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω·
δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
βόσκουσι ξεῖνοί τε, καὶ αὐτοῦ βώτορες ἄνδρες.
ἔνθα δέ τ' αἰπόλια πλατέ' αἰγῶν ἔνδεκα πάντα
ἐσχατιῇ βόσκοντ'· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται.

86. δώῃ] δοίῃ sed ώ super οί H. δοίῃ V. δῴῃ W. 87. ἕκαστος] νέεσθαι H. W. ib. ϝοῖκόνδε ϝέκαστος. 89. οἵδε δὲ καί τι ἴσασι] οἵδε δέ τι ἴσασι H. ib. ϝίσασι. 91. ϝέκηλοι. 92. ἔπι φειδώ] ἐπιφειδώ H. 94. οἴω] οἶα H. V. 95. ϝοῖνον. 96. γάρ οἱ] γάρ του sed erat primo γὰρ τοῦ H. PORS. ib. ϝοι. 98. ξυνεϝείκοσι. 101. συβόσια] συβώσια H.

μοι λῃϊσάμενοι πόλεις ὑποχωροῦσι διὰ τὴν ἐπιστροφὴν τῶν θεῶν. B. Q. 86. Βῶσιν] Ἐπέλθωσιν ἐπὶ βόσιν. Vulg. 87. Πλησάμενοι δέ τε νῆας] Ὁ δὲ πλεονάζει. Q. 89. Οἵδε δὲ καί τι ἴσασι] Γινώσκουσί τι περὶ τῆς Ὀδυσσέως φθορᾶς, ὅτι οὐδὲν ἔσται. Q. Ὡς ἔοικε δὲ ἔμαθον τὸν τούτου ὄλεθρον ἀπὸ χρησμοῦ. B. 91. Ἀλλὰ ἕκηλοι] Ἤτοι ἡσυχάζοντες καὶ μὴ περὶ ἔργον ἀσχολούμενοι. Q. 94. ΟΙΑ. μόνα. Vulg. ed. ant. 96. Ζωή] Ἡ πρὸς τὸ ζῆν οὐσία καὶ παρασκευὴ, καὶ κτῆσις. B. Ἡ πρὸς τὴν ζωὴν παρασκευή. Vulg. cui in MS. Barn. additum: τὰ ἤια. Οὔτινι τόσση] Οὐδενὶ τῶν ἡρώων οὔτε τῆς ἠπείρου οὔτε τῶν τῆς Ἰθάκης ἐστὶν οὐσία τοσαύτη. B. Q. 97. Ἠπείροιο] Τῆς ἀντικρὺ Ἰθάκης. Ἠπείροιο μελαίνης] Τῆς κατ' ἀντικρὺ Κεφαλληνίας νῦν λέγει. μέρος δέ ἐστι τῆς πελάγης (sic ed. ant.; recentt. μελαίνης. F. τῆς πέλας) ἠπείρου. αὕτη καὶ μετ' ὀλίγον ἐπιφέρεται, δώδεκα ἐν ἠπείρῳ ἀγέλαι. Vulg. 104. Ὄρονται] Ἀντὶ τοῦ ὁρμῶσιν, ὅ ἐστιν ἐῤῥωμένως συνέχονται. ἢ ὁρῶσι, φυλάττουσι. B. Q. Ὀρώνται] Ὁρῶσι, φυλάττουσι: et mox alieno loco

τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ,
ζατρεφέων αἰγῶν, ὅστις φαίνηται ἄριστος.
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε, ῥύομαί τε,
καί σφι συῶν τὸν ἄριστον ἐΰ κρίνας ἀποπέμπω.
  Ὣς φάθ'· ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε, πῖνέ τε οἶνον
ἁρπαλέως, ἀκέων· κακὰ δὲ μνηστῆρσι φύτευεν.
αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤραρε θυμὸν ἐδωδῇ,
καί οἱ πλησάμενος δῶκε σκύφος, ᾧπερ ἔπινεν,
οἴνου ἐνίπλειον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
  Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἑοῖσιν,
ὧδε μάλ' ἀφνειὸς καὶ καρτερὸς, ὡς ἀγορεύεις;
φῂς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς.
εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ που τόγε οἶδε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
εἴ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθην.
  Τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν·
ὦ γέρον, οὔτις ἐκεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν.
ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ὃς δέ κ' ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
ἐλθὼν ἐς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
ἡ δ' εὖ δεξαμένη φιλέει, καὶ ἕκαστα μεταλλᾷ·

105. σφι ϝέκαστος. 109. ϝοῖνον. 112. σκύφος] σκύφον in textu et schol. sed in textu ex emend. quanquam fortasse ejusd. manus H. PORS. σκύφον W. ib. ϝοι. 113. ἐνίπλειον] ἐνίπλεον, in marg. γρ. ἐνίπλειω H. ib. ϝοίνου. 114. ϝέπεα. 115. σε πρίατο] σ' ἐπρίατο H. V. ib. ἑϝοῖσιν. 117. φθίσθαι] φθάσθαι sed ι suprascr. eadem manu H. PORS. 118. ϝειπέ. 119. τόγε] τόδε H. ib. ϝοῖδε. 120. κέ] καί et εν super αί H. ib. ϝιδών. 122. ἐκεῖνον] κεῖνον H. W. 128. ϝέκαστα. ἅπαντα corrigit Kidd ad Dawes. M. C. p. 253. 129. ἄπο] ἀπὸ V. ib. ϝοι.

(inter glossas ad 149 et 152.) iterum: Ὄρονται] ἐπακολουθοῦσιν. Vulg. 106. Αἰγῶν—ἄριστος] Ὅτι ἀρσενικῶς τὴν αἶγά φησι. Q. 108. ΕΥΚΡΙΝΑΣ. ἐπιλεξάμενος (MS. Barn. καταλεξάμενος). Vulg. 112. Σκύφος] Διχῶς, καὶ τὸ σκύφος καὶ τὸ (scr. τὸν) σκύφον. B. 117. Φθεῖσθαι] Φθαρῆναι, ἀποθανεῖν. Vulg. 128. Ἕκαστα μεταλλᾷ] Φύσεως ἀνθρωπίνης ἴδιον

καί οἱ ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,
ἣ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ' ὄληται.
αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο,
εἴ τίς τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματα δοίη.
τοῦ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοὶ
ῥινὸν ἀπ' ὀστεόφιν ἐρύσαι· ψυχὴ δὲ λέλοιπεν·
ἢ τόν γ' ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ' αὐτοῦ
κεῖται ἐπ' ἠπείρου, ψαμάθῳ εἰλυμένα πολλῇ.
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλε· φίλοισι δὲ κήδε' ὀπίσσω
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ' ἄλλον
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω·
οὐδ' εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
οἶκον, ὅθι πρῶτον γενόμην, καί μ' ἔτρεφον αὐτοί.
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὀφθαλμοῖσιν ἰδέσθαι, ἐὼν ἐν πατρίδι γαίῃ·
ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν
αἰδέομαι· πέρι γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
ἀλλά μιν ἠθεῖον καλέω, καὶ νόσφιν ἐόντα.

131. κε] τε V. ib. Ϝέπος. 132. uncinis includit W. ib. Ϝείματα. 134. Ϝερύσαι. 136. εἰλυμένα] ἐλιμένα H. ib. Ϝειλυμένα. 139. Ϝάνακτα. 141. Ϝοῖκον. 142. νυ] τι V. ib. ἀχνύμενός] ἱέμενος H. ἱέμενός W. 143. Ϝίδεσθαι. 146. μ' ἐφίλει] με φιλεῖ H.

μα τὸ περὶ τῶν ἀναγκαίων ἀπιστοῦντας ἡμᾶς ὅμως ἀναπυνθάνεσθαι. Q. 131. Παρατεκτήναιο] Παρατεχνήσαιο, παρὰ τὴν ἀλήθειαν κατασκευάσειας. B. Vulg. (Barn.) 132. Εἴ τίς τοι] Διχῶς ἀθετεῖ (PORS. ex Harl.). οὔτε γὰρ ἡ Πηνελόπη πάντα ἀμφιέννυσιν, οὐδ' οὗτος πάντα διὰ τοῦτο ψεύδεται, ἀλλὰ καὶ διὰ μόνην πολλάκις τροφήν. Q. 134. Ἐρύσαι] Γρ. ἐρύειν. Harl. Et Ἐρύειν Vulg. ed. ant. quanquam cum explic. ἑλκύσαι, ἀποσπάσαι. 142. Οὐδέ νυ] Γρ. οὐδ' ἄρα. Harl. Ἱέμενός περ] Γρ. ἀχνύμενός περ. Harl. Ἀχνύμενός περ] Λείπει, καίπερ ἐπιθυμῶν αὐτούς. Q. 144. Ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο] Ἀλλὰ μᾶλλον ὁ τοῦ Ὀδυσσέως πόθος μένει ἀποιχομένου, διακόπτει, λαμβάνει. Q. Λείπει ἡ περὶ καὶ ἀπό. ἀλλὰ μᾶλλον ὁ περὶ τοῦ Ὀδυσσέως ἀποιχομένου πόθος μένει. B. 145. Τὸν μὲν ἐγὼν ὦ ξεῖνε] Φησὶν, τὸν Ὀδυσσέα (B. Q. ins. δίχα) φιλοφρονηματικῆς προσηγορίας ὀνομάζειν αἰδοῦμαι· πρεσβύτερον δὲ (B. Q. ins. καὶ) ἀδελφὸν καλῶ. Vulg. B. Q. (sed in Mediol. hæc adhærent scholio sq.) 147. Ἀλλά μιν ἠθεῖον καλέω] Οὐ καλῶ αὐτὸν Ὀδυσσέα ἢ δεσπότην, ἀλλὰ ἀδελφὸν μείζονα διὰ τὴν πρὸς ἐμὲ φιλοστοργίαν. Τὸ δὲ ἠθεῖε προσφώνησίς ἐστι νεωτέρου πρὸς μείζονα. B. Q. Ἠθεῖον,

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδέ τι φῆσθα
κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
ὡς νεῖται Ὀδυσεύς· εὐαγγέλιον δέ μοι ἔστω,
αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται,
ἕσσαι με χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά,
πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔτι δεχοίμην·
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι
γίνεται, ὃς πενίῃ εἴκων ἀπατήλια βάζει.
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω·
τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο,

148. προσέϝειπε. ϝῖϝος. 149. οὐδέ τι] οὐδ' ἔτι W. ib. φῆσθα primo, sed θ erasit manus antiqua, et vocem auxit in φῄσασθαι H. PORS. 153. ϝά. 154. omittit H. Uncinis includit W. ib. ϝέσσαι. ϝείματα. 157. ὃς sed alia manus emendavit ὃ ὡς H. PORS. 159. Ὀδυσῆος] Ὀδυσῆος H. ib. ϝιστίη.

πρεσβύτερον ἀδελφὸν, θαυμαστὸν ἄγαν. Vulg. 155. Πρὶν δέ κε] Πρῶτον (scr. πρότερον) δὲ τὸ εὐαγγέλιον, ἤτοι τὸ ὑπὸ τῆς ἀγγελίας[d] δῶρον, οὔτι δεχοίμην καίπερ ἐνδεὴς ὑπάρχων. B. Q. 159. Ἱστίη τ' Ὀδυσῆος] Ὁ βωμὸς τῆς ἑστίας. Vulg. Ὁ βωμὸς Ὀδυσσέως εἰς ὃν παραγέγονα. B. Μετενήνεκται ἀπὸ τῶν ἑξῆς ἐπὶ τῶν πρὸς τὴν Πηνελόπην λόγων (τ'. 304.). οὔπω γὰρ ἀφῖκται εἰς τὴν Ὀδυσσέως οἰκίαν. Q. 160. Ἦ μέν τοι τάδε πάντα τελείεται] Γρ. ἦ μέν τοι τῇδε, ἀντὶ τοῦ οὕτως[e]. Harl. Vindob. 133. 161. Τοῦ δ' αὐτοῦ] Τοῦ δ' αὐτοῦ[f], τρεῖς τόνοι. ἀντὶ, τούτου δὲ τοῦ ἐνιαυτοῦ. τὸ γὰρ αὐτοῦ οὐ λέγει Ὅμηρος εἰ μὴ ἐπὶ εἰρημένοις τισὶν ἀναφορικοῖς (scr. -ῶς). Q. Λυκάβαντος] Ἐνιαυτοῦ, διὰ τὸ ἐξῆφθαι πρότερόν τινα τοῦ χρόνου τὸν χρόνον. πεπίστευται τοὺς λύκους βίαιον διαβαίνοντας ποταμὸν ἐνδακόντας τὴν κέρκον τῶν ἀεὶ προηγουμένων τοὺς ἑπομένους στιχηδὸν διαπηχομένους διεξιέναι τὸ ῥεῖθρον. Q. Λυκάβας εἴρηται ἀπὸ τοῦ λυγαίως βαίνειν ὅ ἐστι σκοτεινῶς πορεύεσθαι. λεληθότως γὰρ ὁ χρόνος διέρχεται. Q. Vulg. Add. schol. cod. B. ad τ'. 306. 162. Τοῦ μὲν φθίν.] Εἰς τὴν (Vulg. Vind. Περὶ) τριακάδα καὶ νουμηνίαν. Q. Vulg. it. Vind. 133. in quo ab alia manu etiam, ὅ ἐστιν εἰς τὴν ἕνην καὶ νέαν. Ὑποστεύ-

[d] Scr. ὑπὲρ τῆς ἀγγελίας. BUTTM.

[e] Si revera talis hic fuit variatio, vel metrum ignorabant qui eam admittebant, neque ratio ejus est habenda, vel scribebant τῇ. BUTTM.

[f] Scr. τοῦ δ' αὖ τοῦ, nam ita, ut ait Eustathius, οἱ ἀκριβέστεροι. BUTTM.

οἴκαδε νοστήσει, καὶ τίσεται, ὅς κεν ἐκείνου
ἐνθάδ' ἀτιμάζει ἄλοχον, καὶ φαίδιμον υἱόν.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἕκηλος
πῖνε, καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
μίμνησκ'· ἦ γὰρ θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
ἄχνυμαι, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος.
ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν· αὐτὰρ Ὀδυσσεὺς
ἔλθοι, ὅπως μιν ἔγωγ' ἐθέλω, καὶ Πηνελόπεια,
Λαέρτης θ' ὁ γέρων, καὶ Τηλέμαχος θεοειδής.
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσσεύς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοί, ἔρνεϊ ἶσον,
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔτι χερείω
πατρὸς ἑοῖο φίλοιο, φρένας καὶ εἶδος ἀγητόν·
τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας,
ἠέ τις ἀνθρώπων· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουήν,
ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται

163. νοστήσει] νοστήσας H. Ceterum errat Ernestus, cum ait, hac lectione admissa, scribendum fore ἀποτίσεται. Levior tantum distinctio ponenda erit post Ὀδυσσεύς. PORS. ib. ὅς κεν] ὅστις H. V. W. ib. Ϝοίκαδε. 167. Ϝοῖκον. Ϝέκηλος. 170. ἄχνυμαι] ἄχνῦμαι H. Quod vestigium servat Eustathianæ lectionis. PORS. ib. Ϝάνακτος. 173. ΛαϜέρτης. θεοϜειδής. 175. Ϝῖσον. 176. χερείω] χέρηα W. 177. ἑϜοῖο. Ϝεῖδος. 178. ἐϜίσας. 180. ἀγαυοὶ] primo scripserat ἀγανοὶ H. 181. Ϝοίκαδ'.

ονται οἱ τρεῖς ὡς ἀσύμφωνοι πρὸς τῶν (sic) πρὸ αὐτῶν, καὶ ὡς ὕποπτοι καὶ ὡς ἄπιστοι. πόθεν γὰρ ᾔδει εἰ καὶ ἐκ Δωδώνης ὑποστρέφων οὐ πλεύσει; Harl.[e]

171. Ὅρκον μέν] Ζηνόδοτος, κεῖνον μέν. Harl. 174. Ἄλαστον] Ἀντὶ τοῦ ἀλάστως, ἀνεπιλήστως. B. Vulg. 176. Χερείω] Χείρονα, ἐλάττονα. Vulg. Ob-

[e] Hanc notam, in imo paginæ versus 125—166. continentis scriptam, Porsonus, quo eam referret incertus, sic nude apposuit. Ego ad 162—4. referre non dubito. Nam primum absurdum videri potuit, eum qui proximum novilunium definiret annum antea memorare; deinde in persona vagantis hominis qui fundo omnia ab alio tenebat, admodum incredibilis videri debebat Eumæo hæc diem etiam definiendi fiducia; et quomodo denique, quid post consultum oraculum Dodonæum facturus esset Ulysses tam certe prædicere poterat idem? BUTTM.

νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ,
ἤ κε φύγοι, καί κέν οἱ ὑπέρσχοι χεῖρα Κρονίων.
ἀλλ' ἄγε μοι σὺ, γεραιὲ, τὰ σαυτοῦ κήδε' ἔνισπε,
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ,
ἠδὲ μέθυ γλυκερὸν, κλισίης ἔντοσθεν ἐοῦσι,

182. Ἀρκεισίου] Ἀρκισίου V. 184. φύγοι] φύγῃ H. ib. ὑπέρσχοι] ὑπέρσχῃ H. ib. Fοι. 185. σαυτοῦ] σ' αὐτοῦ W. ib. ἔνισπε] ἐνίσπες H. 186. Fειδῶ. 188. ἀφίκεο] ἀφίκεαι V. 189. εὐχετόωντο] εὐχετόωνται W. 190. ὀΐομαι] οἴ̈μαι (sic) et 214. H.

τι χέρεια, οὕτως Ἀρίσταρχος. Harl. Χερείονα χέρεια, συγκοπή. Harl. 182. Νωνύμους] Ἀνωνύμους καὶ δυσφήμους, οἷς οὐκ ἄν τις εὔφημον εἴποι[h]. Vulg. 184. Ἤ κε φύγῃ] Γρ. ἠέ τε φύγοι. Harl. 185. Ἐνίσπες (sic Harl., ἔνισπες Mediol.)] Σπὲς ἐνίσπες (hæc duo om. Q.), ὡς θὲς ἔνθες, σχὲς ἐπίσχες. ἔνισπες δὲ ἀπὸ τοῦ ἐνίσπω ὡς ἐλαύνω[i]. Harl. Q. 188. Ὁποίης δ' ἐπὶ νηὸς ἀφίκεο] Ἀστερίσκος πρόσκειται ἄχρι στίχων γ', ὅτι νῦν ὡς πρὸς ῥάκεσιν ἠμφιεσμένον ὀρθῶς λέγονται· ὡς δὲ πρὸς τὴν Ἀθηνᾶν ὁμοιωθεῖσαν Μέντῃ καὶ βασιλ-

[h] Vere observat Barnesius, pertinere hoc scholium potius ad Il. μ'. 70. (unde etiam in ed. ant. ΝΩΝΥΝΟΥΣ, nimirum ex νωνύμνους). Sed mira idem sollertia aliud in ejus locum concinnatum apposuit, ingenue addens, "Tale quid ad hunc locum "hactenus desideratum fuisse." Rectius monuisset, scholium utrique loco, sed diverso casu, aptum a socorde compilatore hic tantum et casu non mutato additum esse. Sed emendanda est posterior ejus pars ope glossæ Hesychianæ, Νώνυμνος. ἀνώνυμος, δύσφημος. ὃν οὐκ ἄν τις εὔφημον εἴποι, ἀλλὰ δυστυχῆ: quæ tamen ipsa interpolata est: nam quid hoc est "homo quem bene ominatum nemo dicat, sed miserum?" Abjicienda itaque duo ultima verba quæ absunt a scholio; contra huic ex Hesychio accusativus reddendus, οὓς scribendo pro οἷς: utroque autem loco pro εὔφημον reponendum εὐφήμους: Νωνύμνους· ἀνωνύμους, δυσφήμους, οὓς οὐκ ἄν τις εὐφήμους εἴποι. Hæc enim certe mens est antiqui enarratoris; homines ita funditus sublatos ut vel nomen eorum pronuntiare religio sit. BUTTM.

[i] Noli putare grammaticum utramque formam ἐνίσπες et ἔνισπες hic tutari. Posterior quæ est contra normam horum ἔνθες, ἐπίσχες plane non agnoscitur. Scripsit itaque scholiastes ultimo loco ἔνισπε, ut quæ forma æque sit proba quam illa ἐνίσπες; quippe deducenda ἀπὸ τοῦ ἐνίσπω ὡς ἔλαυνε ἀπὸ τοῦ ἐλαύνω. Nam sic procul dubio ultima scholii verba sunt supplenda.

δαίνυσθαί τ' ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἕποιεν,
ῥηΐδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα θυμοῦ,
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι
υἱέες ἐν μεγάροις ἠμὲν τράφεν, ἠδ' ἐγένοντο,
γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
παλλακίς, ἀλλά με ἶσον ἰθαγενέεσσιν ἐτίμα
Κάστωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι·
ὃς ποτ' ἐνὶ Κρήτεσσι, θεὸς ὥς, τίετο δήμῳ,
ὄλβῳ τε, πλούτῳ τε, καὶ υἱάσι κυδαλίμοισιν.
ἀλλ' ἤτοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι
εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρους ἐβάλοντο·
αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν, καὶ οἰκί' ἔνειμαν·
ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων,
εἵνεκ' ἐμῆς ἀρετῆς· ἐπεὶ οὐκ ἀποφώλιος ἦα,

195. τ' omittit W. ib. ἔργον] ἔργα H. ib. ϝέργον. 201. μεγάροις] μεγάρω, H. μεγάρῳ V. W. 203. ϝῖσον. 205. ποτ' et suprascr. τότε H. ib. ϝώς. 210. μάλα παῦρα δόσαν] παῦρ' ἔδοσαν sine μάλα H. ib. ϝοικί'.

κὴν ἔχουσαν στολήν, οὐ πόνον. Harl. Q. Vid. ad α'. 171. 195. Δαίνυσθαί τ' ἀκέοντ'] Ἐκ πλήρους, ἀκέοντας. ἀντὶ τοῦ ἀργοῦντας ἡμᾶς καὶ μὴ περὶ ἔργον ἀσχολουμένους. B. Q. 199. Ἐκ μὲν Κρητάων] Ἀπὸ τοῦ Κρῆται. καὶ τὰς Ἀθήνας γὰρ ποτὲ ἑνικῶς ποτὲ πληθυντικῶς ὀνομάζει. τοῦτο δὲ ζημιώσας (ζηλώσας em. Mai.) ὁ Καλλίμαχος τὸν Κολωνὸν ἑνικῶς καὶ πληθυντικῶς εἶπεν· ἐκ μὲν Κολωνάων τις ὁμέστιος ἤγαγε δήμου Τῶν ἑτέρων[j]. Q. Κρητάων. τῆς Κρήτης. εὐρειάων. ἀντὶ εὐρείας. τῶν δὲ μακρᾶς. στενὴ γὰρ ἡ Κρήτη. Ἐντεῦθεν δέ φασι εἶναι φεύγοντα τὸν Ἕλενον[k] ἐπὶ πόῤῥω τῆς Ἑλλάδος. Vulg. 201. Υἷες ἐνὶ] Γρ. υἱέες ἐν. Vindob. 133. 203. Παλλακίς] Πιστεύεσθαι βουλόμενος περὶ τῶν λοιπῶν ἐλαττοῖ τὸ γένος. Q. Ἰθαγενέεσσι] Τέκνοις γνησίοις. Vulg. Q. 204. Κάστωρ Ὑλακίδης] Καλλίστρατος ἐν τῇ ἐκ Μουσείων (nescio sit ων, an ου. PORS.) Κάστωρ φησὶ γεγράφθαι. Harl. 206. Κυδαλίμοισι] Γρ. ἠυδαλίμοισι. Harl.[l] 212. Εἵνεκ' ἐμῆς ἀρετῆς] Τοῦτο ἄλλως

[j] Sola hucusque e Suida vox Κολωνάων inter fragmenta num. 428. relata erat. In fronte ἐκ μὲ fortasse fuit, in calce ἑτέρων. Scena ut vides in Attica est; quare ad Hecalen refero. BUTTM.

[k] Sic ed. ant. Unde recentt. fecerunt Ἕλενον tacite, fabulaeque alicujus reconditae spem excitarunt. Quam ego si nunc everto, gratiam me mereri scio. Scripserat scholiastes: Ἐντεῦθεν δέ φασιν εἶναι, φεύγοντα τὸν ἔλεγχον, ἐπὶ πόῤῥω τ. Ε. BUTTM.

[l] Porsonus prius de hac varietate loquens eam manu recentissima scriptam dice-

οὐδὲ φυγοπτόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπεν·
ἀλλ' ἔμπης καλάμην γέ σ' ὀΐομαι εἰσορόωντα
γινώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη,
καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
ἄνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,
οὔποτέ μοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἕλεσκον
ἀνδρῶν δυσμενέων, ὅ, τε μοι εἴξειε πόδεσσι.
τοῖος ἔ' ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν,
οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα·
ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν,
καὶ πόλεμοι, καὶ ἄκοντες ἐΰξεστοι, καὶ ὀϊστοί,

215. γινώσκειν] γιγνώσκειν H. W. 216. ἦ μὲν] ἡμὲν V. 217. ῥηξηνορίην] ῥεξηνορίην H. 220. ἕλεσκον] ἔλεσκον H. V. 222. ἔ' ἐν] ἔην, ex emend. H. V. Primo ἔα vel ἔαν H. PORS. ib. Fέργον. 223. οὐ Fοικωφελίη. 224. ἦσαν] ἔσσαν H.

μεταβάλλων εἶπε, Περὶ μὲν πολέμῳ καρτερός ἐσσι, Καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος (Il. ι. 53.). Q. 214. Ἀλλ' ἔμπης καλάμην] Καὶ ἡ παροιμία, ἀπὸ τῆς καλάμης τὸν στάχυν. Q. Καλάμην, τὸ γῆρας, τὸ λείψανον ὥσπερ τοῦ σώματος κατὰ μεταφοράν. καὶ γὰρ τὸν εὐγενῆ πυρὸν ἐκ τῆς ὑπολειφθείσης καλάμης δυνάμεθα νοῆσαι. ἔστι δὲ καλάμη ἡ ὑποστάθμη τοῦ ὑπολειπομένου σίτου. καὶ πιθανῶς τῷ παραδείγματι κέχρηται ὡς ἂν πρὸς ἀγροῖκον (Vulg. ἄγροικον) ὄντος τοῦ λόγου. ἔστι δὲ οὐδὲν ἧττον ἐναργές. ὡς γὰρ ἀπὸ τῆς καλάμης ἔνεστι νοῆσαι τὸ κάλλος τῶν τεθερισμένων καρπῶν, οὕτως καὶ ἐκ πρεσβυτικοῦ σώματος τὴν ἀρχαίαν ἕξιν κατανοῆσαι. B. Q. Vulg. 217. Ῥηξηνορίην] Ἀνδρείαν, παρὰ τὸ ῥηγνύειν τὴν δύναμιν τῶν ἐναντίων. Pal. Q. Harl. Ῥηξηνορίην, τουτέστιν ῥήσσειν τὴν ὑπεροχὴν, ὅ ἐστι τὴν ἀνδρείαν καὶ γενναιότητα τῶν πολεμίων. Vulg. Κρίνοιμι λόχονδε] Ἐξ ἐπιλογῆς συντάττοιμι. Q. Διαχωρίζοιμι εἰς ἐνέδραν. Vulg. 220. Ἕλεσκον [m]] Ἀνῄρουν, ἐφόνευον. Vulg. 221. Ὅτε μοι εἴξειε πόδεσσι] Ὅτε κατελήφθη ὑπ' ἐμοῦ. τινὲς δὲ, ὅτε εἰς φυγὴν ἐτρέπετο. B. Q. 222. Ἔργον] Ἡ γεωργία, ἀπὸ τῆς ἔρας. τὰς γὰρ λοιπὰς πράξεις ἔργα φάσκων ὁ ποιητὴς προστίθησι διασημαίνων, ὡς ἔργον Ἄρηος. Q. 223. Οὐδ' οἰκωφελίη] Τινὲς τὸ ὀφέλλειν οἴκους ὅ ἐστιν οἰκοδομεῖν καὶ λαοξοεργεῖν, ἐπεὶ

bat, docens simul quam sollemnis in MSS. syllabarum αι et ει sit permutatio. In Postscripto autem errasse se dicit, et scripta hæc a manu si non ipsius scholiastæ Harl. certe non multo juniore. Videndum igitur an varietas illa ita scripta, ἰνδαλλόμενοι, inter antiquas lectiones referenda sit; cum εἰδάλιμοι sit vox Homerica et Ἰνδάλιμοι, εἰδώδεις reperiatur apud Hesychium, quamvis in serie vocum ab Ἰδ incipientium ideoque in recentioribus editionibus mutatum in Ἰδάλιμοι. BUTTM.

m Sic ed. ant. Unde recentt. Ὄλεσκον. Ἔκτεινε, ἔλεσκον, κ. τ. λ. Vid. not. ad γ. 159. BUTTM.

λυγρά, τά τ' ἄλλοισίν γε καταριγηλὰ πέλονται.
αὐτὰρ ἐμοὶ τὰ φίλ' ἔσκε, τά που θεὸς ἐν φρεσὶ θῆκεν·
ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν,
εἰνάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· καί μοι μάλα τύγχανε πάντα·
τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ' ὀπίσσω
λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
δεινός τ', αἰδοῖός τε, μετὰ Κρήτεσσι τετύγμην.
ἀλλ' ὅτε δὴ τήνδε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε,
δὴ τότε μ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
νήεσσ' ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.
ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
οἴκαδε σὺν νήεσσι· θεὸς δ' ἐκέδασσεν Ἀχαιούς.
αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
μῆνα γὰρ οἶον ἔμεινα τεταρπόμενος τεκέεσσι,
κουριδίῃ τ' ἀλόχῳ, καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
νῆας ἐῢ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν.
ἐννέα νῆας στεῖλα, θοῶς δ' ἐσαγείρατο λαός.

226. καταριγηλὰ] καὶ ῥιγηλὰ V. 228. ἐπιτέρπεται Fέργοις. 229. Ἀχαιϝῶν. 231. πάντα] πολλά H. V. 232. μενοϝεικέα. 233. Fοῖκος. 235. τήνδε] τήνγε W. 236. ὑπὸ] ἐπὶ V. 237. τότε μ'] τότ' ἐμ' W. ib. ἤνωγον] ἤνωγεν V. 238. FΊλιον. 240. εἰνάϝετες. Ἀχαιϝῶν. 242. Fοίκαδε. Ἀχαιϝούς. 243. μητίετα] εὐρύοπα V. 248. λαϝός.

λύεται ἐκ τοῦ, Αἶψα δὲ οἶκος ὀφέλλετο (233.) Q. 226. Ῥιγηλά] Φρικτά, φοβερά. Vulg. 230. Εἰνάκις] Ἐννεάκις. Vulg. Καὶ ἐννέα ἔτη. Ἀντὶ τοῦ ἡγεμὼν ἐπὶ λῃστείαν ἐγενόμην. οὐ γὰρ αἰσχρὸν, καὶ Θουκυδίδης φησί (v. ad γ'. 71.). B. Q. 231. Καί μοι] Ζηνόδοτος, καί σφιν. Harl. Πάντα] Γράφε, πολλά (sic Pal. in textu). λάφυρα δηλεῖ (scr. δηλονότι). Q. 232. Λάφυρα δηλονότι. Ἐξῃρεύμην, ἐξαίρετα ἐλάμβανον. Pal. 233. Λάγχανον] Κληρούμενος ἐλάγχανον ἤτοι ἀπὸ κλήρου ἐλάμβανον. B. 239. Χαλεπὴ δ' ἔχε δήμου φῆμις] Τινὲς οὕτως, τοὺς μὴ βουλομένους ἀπελθεῖν ὄνειδος κατεῖχεν. Q. Ἐβίαζεν γὰρ ὑμᾶς (ἡμᾶς em. Barn.). Vulg. 248. Νῆας στεῖλα] Εἰς πλοῦν

Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
δαίνυντ'· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον
θεοῖσίν τε ῥέζειν, αὐτοῖσί τε δαῖτα πένεσθαι.
ἑβδομάτῃ δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
ῥηϊδίως, ὡσεί τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
νηῶν πημάνθη, ἀλλ' ἀσκεθέες καὶ ἄνουσοι
ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
πεμπταῖοι δ' Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα·
στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι·
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή·
οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων,
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.

249. μὲν ἔπειτα] δ' ἤπειτα H. 254. ὡσεί τε κατὰ ῥόον] ὡς εἴτε καταρρόον H. ὡσεί τε κατὰ ῥῥόον V. 255. ἀσκεθέες] ἀσκηθέες ex emend. sed manus antiquæ H. Editor quidem ἀσκηθέες in Eustathii textu, sed contra Eustathii ipsius mentem. Vera tamen est lectio, trisyllaba nempe vox. ἀσκηθέες etiam in schol. editis. PORS. 256. κυβερνῆταί τ'] κυβερνῆται δ' H. 258. στῆσα δ' ἐν] στήσαμεν H. V. ib. ἀμφιβελίσσας. 262. σφῷ] σφῶν H. V. Sed ν a m. recent. H.

εὐτρέπισα, ὅθεν καὶ στόλος εἴρηται. B. Q. 253. Ἀνέμῳ ἀκραέϊ] Ἄκρως πνέοντι, ὅ ἐστι ἐπιτηδείως. B. Q. Ἄκρως πνέοντι. καθαρῶς. Vulg. 255. Ἀσκεθέες καὶ ἄνουσοι] Ἀντὶ τοῦ ἄνοσοι καὶ ἄνευ κακοπαθείας. Q. Ἀσκηθέες [a]] Ἀβλαβεῖς, ὑγιεῖς. Vulg. 260. Ἔρυσθαι] Ἐνεστῶτός ἐστιν ὡς πήγνυσθαι· παρακειμένου δὲ τὸ εἰρύσθαι. Q. 261. Σκοπιάς] Ὀρεινοὺς τόπους ὑψηλούς. B. Q. 262. Ὕβρει εἴξαντες] Πεισθέντες. ὅ ἐστιν, ὑβρισταὶ γενόμενοι. B. Μένεϊ σφῷ] Τῇ ἑαυτῶν ὁρμῇ καὶ ἐπιθυμίᾳ συνδραμόντες. ἔθος γὰρ ἦν αὐτοῖς λῃστεύειν. B. Q. Ἑαυτῶν. οὐ γὰρ οἱ ὀπτῆρες ἀλλ' οἱ ἐν ταῖς ναυσὶν ὄντες. B.

[a] Sic ed. ant. Recentt. interpolarunt ita: Ἀσκεθέες] Ἀσκεθέες, α. ο. BUTTM.

ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ' ἄγαγον ζωοὺς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
ποίησ'· ὡς ὄφελον θανέειν, καὶ πότμον ἐπισπεῖν
αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ' ὑπέδεκτο·
αὐτίκ' ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα,
καὶ σάκος ὤμοιϊν· δόρυ δ' ἔκβαλον ἔκτοσε χειρός·
αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων,
καὶ κύσα γούναθ' ἑλών· ὁ δ' ἐρύσατο, καί μ' ἐλέησεν·
ἐς δίφρον δέ μ' ἕσας ἄγεν οἴκαδε δακρυχέοντα.
ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
ἱέμενοι κτεῖναι· δὴ γὰρ κεχολώατο λίην·
ἀλλ' ἀπὸ κεῖνος ἔρυκε· Διὸς δ' ὠπίζετο μῆνιν
ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ' ἄγειρα
χρήματ' ἀν' Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
δὴ τότε Φοῖνιξ ἦλθεν ἀνὴρ, ἀπατήλια εἰδὼς,

272. ἄγαγον] ἄναγον, H., (et plane iterum ρ'. 441). V. W. ib. Fεργάζεσθαι. 277. ἔκτοσε] ἔκτοθι V. 278. ἵππων] ἵππῳ V. 280. Fοίκαδε. 282. Fιέμενοι. 283. δ' ὀπίζετο] δι' ὀπίζετο V. 284. Fέργα. 285. ἑπτάFετες. 287. Fέτος. 288. Fειδώς.

Pal. 272. Ἄγαγον] Ἀπέφερον [a]. Vulg. 273. Τοῦτο νόημα] Γρ. ὧδε νόημα. Vind. 56. 278. Αὐτὰρ ἐγὼ βασιλῆος] Σέθως ἐβασίλευσε τότε. B. 280. Ἐς δίφρον δέ μ' ἕσας ἄγεν] Ἐπιβιβάσας. οὐ γὰρ ἐκαθέζοντο ἐν τοῖς δίφροις. B. Ἀναγὼν, Αἰολικῶς [b]. Q. Ἡ Αἰολικὴ, ἐς δίφρον δ' ἀνέσας, ἀναγαγών. Harl. Ἕσας] καθίσας. Vulg. 286. Χρήματα] Γρ. κτήματα. Harl. 288. Δὴ τότε Φοῖνιξ ἦλθε] Πῶς πρὸς Ἀθηνᾶν διαλεγόμενος εὐλογεῖ τοὺς Φοίνικας δι' ὧν φησι, Πόλλ' ἀεκαζομένους, οὐδ' ἤθελον ἐξαπατῆσαι (ν'. 277.), ὧδε δὲ τὸ ἐναντίον; Ἐκεῖ μὲν προτρέπεται τὸν ξένον, μὴ γενέσθαι ἀλιτόξενον, ἐνθάδε δὲ οἶδεν Εὔμαιον ὑπὸ Φοινίκων πεπραμένον. Q. (Vulg. ultima tantum, sic: ἐπεὶ

[a] Hoc imperfectum indicio est, lemma quoque ex imperfecto corruptum esse, quod fuisse dixeris illud codicum Harl. Vindob. 56. it. Palat. ἄναγον; idque recepit Wolfius. Possis tamen suspicari aliam etiam lectionem affuisse, ἄπαγον, tum ex eodem illo ἀπέφερον, tum eo quod tam sollemnis est formarum ΑΠΑΓΟΝ et ΑΓΑΓΟΝ permutatio. BUTTM.

[b] Ex errore nata videtur haec notula: neque de dialecto hic cogitandum sed de varia lectione ea, quam praebet sequens nota ex editione dicta Æolica, sicut celebris illa Argolica fuit et aliae. Eandem infra ad 331. citat ita, αἱ Αἰολεῖς. Adde schol. σ'. 98. ubi dicitur ἡ Αἰολίς. BUTTM.

Τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει·
ὅς μ' ἄγε παρπεπιθὼν ᾗσιν φρεσὶν, ὄφρ' ἱκόμεσθα
Φοινίκην, ὅθι τοῦγε δόμοι καὶ κτήματ' ἔκειτο.
ἔνθα παρ' αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν·
ἀλλ' ὅτε δὴ μῆνές τε, καὶ ἡμέραι ἐξετελεῦντο,
ἂψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
ἐς Λιβύην μ' ἐπὶ νηὸς ἐέσσατο ποντοπόροιο,
ψεύδεα βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι·
κεῖθι δέ μ' ὡς περάσειε, καὶ ἄσπετον ὦνον ἄροιτο.
τῷ ἑπόμην ἐπὶ νηὸς, ὀϊόμενός περ, ἀνάγκῃ.
ἡ δ' ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφιν μήδετ' ὄλεθρον.
  Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
νηὸς ὕπερ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ κεραυνόν·
ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
ἐν δὲ θεείου πλῆτο· πέσον δ' ἐκ νηὸς ἅπαντες.
οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν

289. ἀνθρώποισιν ἐώργει sine ulla varietate H. ib. ἀνθρώπους ἐϝεϝόργει. Vid. Dawes. M. C. p. 328. 290. ᾗσιν] ᾗσι H. ib. ϝῇσιν. 294. περιτελλομένου] περιτελλομένου (ἐπὶ supra scr.) H. ib. ϝέτεος. 296. ϝοι. 300. δέ σφιν] δέ σφισι et γὰρ super δέ H. σφισι W. 305. ἄμυδις] ἄμυμις (sic) H. unde nihil extrico. Debebat esse ἄμυβις; sic Odyss. μ'. 415. αμυ ιως et supra ι scr. σ, supra asperum lenis. In hoc MS. μ est ϛ, i. e. μ, detracta cauda. PORS. ib. κεραυνόν] κεραυνῷ, H. Quæ sane notabilis lectio. PORS. 308. ϝίκελοι.

ᾔδει καὶ τὸν Ε. υ. Φ. π.) 289. Τρώκτης] Πανοῦργος, ἀπατεών. Vulg. Φιλοκερδής, ἄπληστος. B. Q. 290. Παρπεπιθών] Ὀξυτόνως ἡ μετοχὴ, δευτέρου γὰρ ἀορίστου. τὸ ἑξῆς, πείσας παρήγαγε ταῖς ἑαυτοῦ φρεσί. B. Q. 294. Ἐπήλυθον ὧραι] Ἡ ἐπὶ ἀντὶ τῆς παρά. παρῆλθον οἱ καιροὶ, ὅ ἐστιν αἱ τροπαί. B. Q. Harl. 295. Ἐς Λιβύην] Τὸ ἑξῆς ψευδέα βουλεύσας ἐπὶ νηός μ' ἐέσσατο ποντοπόροιο ἐς Λιβύην ἵνα οἱ σὺν φόρτον ἄγοιμι. Q. Ῥιανός φησιν, ἀφέσσατο. Ζηνόδοτος, ἐφείσατο. Harl. 298. Οἰόμενός περ] Ὑπονοῶν μὲν τὸ πραχθησόμενον, τῇ ἀνάγκῃ δὲ συμπλέων. Q. 300. Μέσσον ὑπὲρ Κρήτης] Μεταξὺ Κρήτης καὶ Λιβύης. ἀντικρὺ γὰρ ἀλλήλων εἰσί. B. Q. 307. Ἐκ δὲ θεείου] Θεῖον λέγει πῦρ ἐξ ὕλης ἀναπτόμενον θειώδει ὁμοιαζομένῃ. Q. Τεσφίου [*]. οὕτω τῷ ὄζει ὁ κεραυνός.

[*] Vid. not. ad μ'. 417. BUTTM.

κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀποαίνυτο νόστον.
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς, ἔχοντί περ ἄλγεα θυμῷ.
ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
τῷ ῥα περιπλεχθεὶς φερόμην ὀλοοῖς ἀνέμοισιν·
ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
ἀμφὶ δέ με χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσεν.
Ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
ξεινίσαι, ἠδὲ φιλῆσαι, ἰόντ' ἐς πατρίδα γαῖαν·
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεὺς,
χαλκόν τε, χρυσόν τε, πολύκμητόν τε σίδηρον.
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο

315. γαίῃ] ἄγῃ V. 317. Apollonius Lexico v. Ἀπριάτην. ὁ δὲ Κράτης κακῶς γράφει· ἥρως ἀπριάτης. PORS. 318. εἰς ὄγε Ϝοῖκον. 320. εἵματα ἕσσεν] εἷμα ἕεσσεν H. ib. Ϝείματα Ϝέσσεν. 323. ξυναγείρατ'] συναγείρατ' V. 325. καί νύ κεν] καὶ νῦν. Sed καὶ νύ κεν schol. marg. H. 326. τόσσα] ὅσσά H. ὅσσα V. ib. μεγάροις] μεγάροισι H. ib. Ϝοι. Ϝάνακτος.

B. 311. Ἀμαιμάκετον] Ἀντὶ τοῦ, (ins. οὗ) οὐκ ἔστι μῆκος παραβαλεῖν. B. Q. 315. Γαίῃ Θεσπρωτῶν] Πόλις περὶ τὰ ἔσχατα τῆς Θεσσαλίας. Q. Vulg. 316. Ἐκομίσσατο Φείδων] Ἀντὶ τοῦ ἀνεκτήσατο, ἐπιμελείας ἠξίωσεν ἐλεήσας. B. Q. 317. Ἀπριάτην] Ἐπίρρημα, ὡς ἄντην, μάτην, ἀντὶ τοῦ ἀπριάτως, ὅ ἐστι προῖκα. B. Q. Pal. οὐδὲ χρήματα, ὅ ἐστιν ἐλεύθερον. B. Q. Ῥιανὸς γράφει, ἀπριάδην. Harl. 318. Αἴθρῳ] Ψυχρότητι. αἴθρῳ ἀρσενικῶς. ὡς Ἐν πύλῳ ἐν νεκύεσσιν (Il. ε΄. 397.), ἀντὶ τοῦ ἐν πύλῃ. B. (Cf. Etym. M. v. αἴθρῳ). 324. Πολύκμητον] Τὸν πολυδάμαστον σφύραις καὶ ἄκμοσι. Q. 325. Καί νύ κεν ἐς δεκάτην γενεήν] Γένος. ὁ δὲ νοῦς, τὰ χρήματα βόσκοι ἂν μέχρι δεκάτης γενεᾶς ἕτερον ἐξ ἑτέρου διαδεχόμενον παρὰ πατρὸς παῖδα. B. Q. 326. Ὅσσά οἱ] Πᾶσαι, τόσσα, εἶχον. Harl. 327. Τὸν δ' ἐς Δωδώνην] Ποιμὴν νέμων πρόβατα ἐν τοῖς τῆς Δωδώνης (Vulg. Δωδῶνος) ἕλεσι τοῦ πέλας ὑφείλετο (Mediol. ὑφίστατο) νομὴν (Barn. em. ποιμὴν) καλλίστην, καὶ εἴρξας εἰς τὴν σφετέραν αὐλὴν ἐφύλασσεν. ὅθεν τὸν δεσπότην φασὶ ζητεῖν παρὰ τοῖς που-

ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,
ὅππως νοστήσῃ Ἰθάκης ἐς πίονα δῆμον,
ἤδη δὴν ἀπεὼν, ἢ ἀμφαδὸν, ἦε κρυφηδόν.
ὤμοσε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι, καὶ ἐπαρτέας ἔμμεν' ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
ἔνθ' ὅγε μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἥνδανε βουλὴ
ἀμφ' ἐμοὶ, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.

328. ἐπακούσῃ] ἐπακούσῃ, sed circumflexus additus in penultima, et αι super η H. ἐπακούσαι W. 329. νοστήσῃ] νοστήσῃ H. νοστήσει W. 331. ϝοίκῳ. 332. κατειρύσθαι] κατειρῦσθαι V. 334. ἀλλ' ἐμὲ] ἀλλά με, sed ἀλλ' ἐμὲ marg. H. 336. Ἀκάστῳ] ἑκάστῳ et α super ἑ. In marg. schol. ἑκάστῳ H. 337. ϝάνδανε.

μάσι τὰ κεκλεμμένα πρόβατα,* μὴ εὑρόντα δὲ ἐρωτῆσαι τὸν θεὸν τίς ἐστιν ὁ κλέψας. τότε πρῶτον, φασὶ, τὴν δρῦν φωνὴν ἀφεῖναι, ὅτι τῶν ἀκολουθούντων ὁ νεώτατος. ἐξετάσαντα δὲ τὸ λόγιον εὑρεῖν παρὰ τῷ ποιμένι νεωστὶ βοσκήσαντι τῷ χωρίῳ. ἀκόλουθοι δὲ λέγονται οἱ ποιμένες. ἦν δὲ τὸ ὄνομα Μαρδύλας (Mediol. Μανδύλας) ὁ κλέψας. τοῦτον λέγεται προσοργισθέντα τῇ δρυῒ θελῆσαι αὐτὴν ἐκκόψαι νύκτωρ. πελειάδα δὲ ἐκ τοῦ στελέχους ἀνακύψασαν ἐπιτάξαι μὴ τοῦτο δρᾷν. τὸν δὲ δειματωθέντα μηκέτι τοῦτο τολμῆσαι, μὴ θίγειν τοῦ ἱεροῦ τούτου δένδρου[t]. οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ τόλμημα μηνῖσαι αὐτῷ τοὺς Ἠπειρώτας. ὅθεν καὶ λαβόντας δίκην ταύτην εἰσπράξασθαι τῆς ἀπ' αὐτοῦ ὑπομονῆς (ἐπιμονῆς MS. Barn. τῆς αὐτοῦ ὑπομονῆς Vulg. ed. ant.) τὸν μάντιν προάγει. ἡ ἱστορία παρὰ τῷ Προξένῳ[u]. Q. Vulg. 328. Ἐπακούσῃ Ἀρίσταρχος. Ἀριστοφάνης ἐπακοῦσαι (sic properisp. cod. uterq.) Harl. Vind. 331. 331. Ἀποσπένδων] Οὕτως Ἀρίσταρχος. οἱ δὲ Αἰολεῖς[x], ἐπισπένδων. Harl. Vind. 133. 334. Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε] Ἀλλὰ ἐμὲ πρότερον πλεῦσαι ἐποίησεν. νοητέον δὲ ὅτι ὕστερον μετὰ τὸ ἀποστρέψαι τὸν Ὀδυσσέα ἐκ τῆς Δωδώνης μέλλει αὐτὸν ἐκπέμψαι ὁ Φείδων μετὰ νηὸς καὶ ἀνδρῶν ἰδὼν (ἰδίων em. Mai.) Q. 335. Πολύπυρον] Γρ. πολύμηλον. Harl. Vind. 56. et 133. 336. Βασιλῆϊ Ἀκάστῳ] Καὶ πῶς ἐν Ἰλιάδι Μέγητά φησιν εἶναι βασιλέα Δουλιχίου; βασιλέας οὖν τοὺς δυνάστας φησί. Q.[y] 338. Πάγχυ δύης] Λείπει ἡ ἐξ, ἵν' ᾖ, ἐκ τῆς δύης ἐπὶ βλά-

[t] Sic Q. et Vulg. ed. ant. In recentt. autem verba hæc ita, λέγουσιν, μὴ θίγειν τοῦ ἱεροῦ τούτου δένδρου, rejiciuntur post illa μὴ τοῦτο δρᾷν, satis probabiliter. BUTTM.

[u] Ultima cum ipso verbo προάγει desunt in Mediol. Proxenum scripsisse Epirotica constat. Cum illis quæ hic de Dodona narrantur componatur historia de Hercule aliquas e Geryonis bubus Iovi Dodonæo donante, ex Apostole in Λαρινοὶ βόες. BUTTM.

[x] Editio. Vid. not. ad 280. BUTTM.

[y] Porson. e schol. Harl., forsitan ex hujus nostri lemmate, affert ἑκάστῳ pro Ἀκάστῳ. BUTTM.

ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο·
ἐκ μέν με χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἔδυσαν,
ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον, ἠδὲ χιτῶνα,
ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι.
ἑσπέριοι δ' Ἰθάκης εὐδειέλου ἔργ' ἀφίκοντο·
ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηῒ
ὅπλῳ ἐϋστρεφέϊ στερεῶς· αὐτοὶ δ' ἀποβάντες
ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
ξεστὸν ἐφόλκαιον καταβὰς, ἐπέλασσα θαλάσσῃ
στῆθος· ἔπειτα δὲ χερσὶ διήρεσα ἀμφοτέρῃσι
νηχόμενος, μάλα δ' ὦκα θύρηφ' ἔα ἀμφὶς ἐκείνων.

341. μέν με] μέν γε m. pr. ὲ supra μέν m. sec. H. PORS. ib. Ϝεἵματ'. 342. μοι] μευ (με supra) H. 344. Ϝεσπέριοι. εὐδείελα Ϝέργ'. 346. ὅπλῳ] ὅπλοι, et supra σχοίνῳ H. 348. ἀνέγναμψαν] ἀνέγναψαν, μ additum ex recens. H. PORS. 351. διήρεσα] διήρεσσ' W. 352. θύρηφ'] θύρηθ', quod plene θύρηθεν scribit schol. marg. H. θύρηθ' ἔα Apollonius. θύρηθ' ἔα in Hesychio corrigendum pro θύρηθεν ne dubitassent quidem viri docti, si meminissent, quomodo α et ν permutari possint. Generalis est regula, ut linea supra literam, si ea litera sit consonans, significat α, si vocalis, ν. ἐστῑ e. g. pro ἐστιν et π̄αραιμῶνται pro παραιμῶνται. Sed, cum duæ vocales concurrunt, hujus regulæ nonnunquam obliviscuntur librarii, ut facillime alter potuerit θύρηθε̄ pro θύρηθεα dare, alter pro θύρηθεν accipere. Eustathius ad Od. α'. p. 1406, 58=41, 40. καὶ πάμα πρότερος ἔγωγε μολέχης. Vox ista πάμα adeo sollicitos habuit editores, ut asteriscum apposuerint. Notum est τοῦ μ et τῶν λι ductus esse simillimos. Cum igitur prior librarius scripsisset πάλῑ (i. e. πάλιν) alter legebat πάμ et scribebat πάμα. PORS. θύρηθ' W.

βην ἔλθοιμι, ἢ ἐπὶ ταῖς συμβεβηκυίαις τιμωρίαις ἄλλην βλάβην ὑπομείναιμι. B. et poster. explic. Vulg. Ἀριστοφάνης, δύη ἀεὶ πῆμα γίνηται. Harl. 343. Ῥικνὰς, ῥωγαλέων. Harl. 348. Δεσμὸν ἀνέγναμψαν[1]] Ἀνέλυσαν. τῇ γὰρ συνδέσει κεκαμμένα ἦσαν τὰ σχοινία. B. 349. Ἀριστοφάνης, κεφαλῆφι. Harl. 350. Ξεστὸν ἐφόλκαιον] Τὸ ἐπακολουθοῦν τῇ μεγάλῃ νηῒ σανδάλιον, παρὰ τὸ ἐφέλκεσθαι τῇ νηΐ. ἢ τὸ πηδάλιον. B. Ἐφόλκιον[2]] Πηδάλιον, ἀπὸ τοῦ ἐφέλκυσθαι τὴν ναῦν, ἢ ἐφέλκεσθαι ὑπὸ τῆς νεώς. Vulg. 352. Θύρηφ'] Τὸ πλῆρες· μάλα φησὶ μετὰ τὸ πλοῦν (sic) ἐγενόμην ἔξωθεν τῆς θαλάσσης. ὁ γὰρ θύρηθεν σημαίνει τὸ ἔξωθεν. ὅπερ θύρηθεν Ἀττικοὶ θύρησι (θύρηφι em.

[1] Pors. in scholio Harl. (an hoc nostro ?) diserte ἀνέγναψαν esse ait. BUTTM.
[2] Sic Pal. quoque in text. et in schol. BUTTM.

ἔνθ᾽ ἀναβὰς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
κείμην πεπτηώς· οἱ δὲ μεγάλα στενάχοντες
φοίτων· ἀλλ᾽ οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
μαίεσθαι προτέρω, τοὶ μὲν πάλιν αὖτις ἔβαινον
νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ᾽ ἔκρυψαν θεοὶ αὐτοὶ
ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας,
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες, ἠδ᾽ ὅσ᾽ ἀλήθης.
ἀλλὰ τάδ᾽ οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις,
εἰπὼν ἀμφ᾽ Ὀδυσῆϊ· τί σε χρὴ τοῖον ἐόντα
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ᾽ εὖ οἶδα καὶ αὐτὸς
νόστον ἐμοῖο ἄνακτος, ὅτ᾽ ἤχθετο πᾶσι θεοῖσι
πάγχυ μάλ᾽, ὅττι μιν οὔτι μετὰ Τρώεσσι δάμασσαν,
ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε.
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ᾽ ὀπίσσω·
νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
αὐτὰρ ἐγὼ παρ᾽ ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
ἐλθέμεν ὀτρύνησιν, ὅτ᾽ ἀγγελίη ποθὲν ἔλθῃ.
ἀλλ᾽ οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,

353. δρίος, sed υ super ι H. 354. μεγάλα] μάλα H. 355. ἐφαίνετο] ἐφαίνετο (sic) H. 356. αὖτις] αὖθις H. V. 361. ἆ] ὦ H. ἆ V. 362. Ϝέκαστα. 363. τάδ᾽] τάγ᾽ H. 364. Ϝειπών. 365. Ϝοῖδα. 366. Ϝάνακτος. 369. Ϝοι. ΠαναχαιϜοί. 370. Ϝῷ. 374. ἔλθῃ] ἔλθῃ H. ἔλθοι V. W. 375. Ϝέκαστα.

Mai.) λέγουσι. Q. Deque eodem in Harl. scholio loquitur PORS. Θύρηφι] Ἔξω εἰσφερομένους. Vulg. Pro eo Barnes. reposuit ἔξω ἀγόμενος, ita aperte præferre scribens MS. suum. 353. Δρίος] Σύνδενδρον χωρίον, δρυώδης καὶ σύσκιος τόπος. Q. 361. Γρ. ἆ. In altero marginis loco: ἆ δειλέ. τὸ ἆ θαυμαστικόν. Harl. et Vind. 133. qui addit: ἀντὶ τοῦ, τί ὦ δειλὲ καὶ ἄθλιε πλέον τῶν ἄλλων ξένων. 368. Τολύπευσεν] Μετὰ κακοπαθείας ἤνυσεν. Q. 369. Τῷ κέν οἱ τύμβον] Εἰ γὰρ ἐν Τρωσὶν ἐκεῖνος ἀπέθανεν, ἐποίησαν ἂν αὐτῷ καὶ τύμβον οἱ Ἕλληνες. Q. 372. Ἀπότροπος] Κεχωρισμένος, ἔκτοθεν τῆς πόλεως σὺν τοῖς ἐμοῖς τέκνοις τετραμμένος. B. Q. 375. Ἐξερέουσιν] Ἀλλ᾽ οἱ μὲν ἐν τῇ πόλει διατρίβοντες ζητοῦσι περὶ τοῦ Ὀδυσσέως, καὶ ὅσοι λυποῦνται

ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες.
ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι, καὶ ἔρεσθαι,
ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
ὅς τ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθεὶς,
ἤλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·
καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐς θέρος, ἢ ἐς ὀπώρην,
πολλὰ χρήματ' ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισι.
καὶ σὺ, γέρον πολυπενθὲς, ἐπεί σέ μοι ἤγαγε δαίμων,
μήτε τί μοι ψεύδεσσι χαρίζεο, μήτε τι θέλγε·
οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι, οὐδὲ φιλήσω,
ἀλλὰ Δία ξένιον δείσας, αὐτόν τ' ἐλεήσας.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
οἷόν σ' οὐδ' ὀμόσας περ ἐπήγαγον, οὐδέ σε πείθω.
ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ'· αὐτὰρ ὄπισθεν
μάρτυροι ἀμφοτέροισι θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν·
εἰ μέν κεν νοστήσῃ ἄναξ τεὸς ἐς τόδε δῶμα,
ἕσσας με χλαῖνάν τε, χιτῶνά τε, εἵματα, πέμψαι

376. ϝάνακτος. 380. ἐς τ'] ἐς ῥ' H. V. 381. ἤλυθ' ἐμὸν πρὸς σταθμόν] ἦλθεν ἐμὰ πρὸς δόματ' sine varia lectione H. ἤλυθ' ἐμὰ πρὸς δόματ' W. 382. ϝιδέσθαι. 383. ἀκειόμενον primo, ut videtur, sed statim mutavit in ἀκεόμενον H. PORS. ib. ϝοι συνέϝαξαν. 387. μήτε τι] μήτι τέ V. 388. αἰδέσσομαι] αἰδήσομαι erat, sed nunc αἰδέσσομαι, hoc solum in marg. H. 389. ἐλεήσας] ἐλεαίρων H. V. W. 391. τοι] σοι V. 393. ὄπισθεν] ὄπισθε H. 394. τοὶ et οἳ suprascr. H. 395. νοστήσῃ κε ϝάναξ. 396. με] μὲν, suprascr. ἐνδύσας με H. ib. ϝέσσας. ϝείματα.

ἀπελθόντος αὐτοῦ καὶ ὅσοι χαίρουσιν, οἱ μὲν ὡς ἐπιθυμοῦντες μαθεῖν εἰ ζῇ, οἱ δὲ εἰ ἀπέθανεν ὡς χαίροντες ἐπὶ τούτῳ. B. Q. 381. Ἐμὰ πρὸς δόματ'] Γράφεται καὶ, ἐμὸν πρὸς σταθμόν. B. 383. Ἀκειόμενον] Θεραπεύοντα, ἀνορθοῦντα, φιλοκαλούμενον (B. -οῦντα). τινὲς δὲ ῥάπτοντα, καὶ ἀκεστρίας τὰς ῥαπτηγύας[b] (B. ἰατρείας). B. Q. 384. Ὀπώρῃ] Νῦν τὸ μετόπωρον. Vulg. 389. Λείπει τὸ, ξενίου. Vind. 133. 392. Οἷον] Ἀντὶ τοῦ, οἷος οὐδὲ ὀμόσας ἐφελκυσάμην σε εἰς πειθώ. B. 393. Ἀλλ' ἄγε δὴ ῥήτρην] Τὴν ἐπὶ ῥητοῖς καὶ ὡμολογημένοις πράγμασι συνθήκην. Vulg. Q. Ὕπερθεν text. Γρ. ὄπισθεν. Vind. 133. 396. Πέμ-

[b] Scr. ῥαπτρίας: nisi ῥαπτηρίας etiam forte dicebant recentiores. BUTTM.

Δουλίχιόνδ' ἰέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεός, ὡς ἀγορεύω,
δμῶας ἐπισσεύας, βαλέειν μεγάλης κατὰ πέτρης,
ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν.
Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
ξεῖν', οὕτω γάρ κέν μοι ἐϋκλείη τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα, καὶ μετέπειτα,
ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον, καὶ ξείνια δῶκα,
αὖτις δὲ κτείναιμι, φίλον δ' ἀπὸ θυμὸν ἑλοίμην·
πρόφρων δή κεν ἔπειτα Δία Κρονίωνα λιτοίμην.
νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
εἶεν, ἵν' ἐν κλισίῃ λαρὸν τετυκοίμεθα δόρπον.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί·
τὰς μὲν ἄρα ἔρξαν κατὰ ἤθεα κοιμηθῆναι·
κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.
αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·

398. ϝάναξ. 401. δῖϝος. 402. μοι] μοῖ H. 405. κτείναιμι] κτέναιμι H. 406. δή κεν ἔπειτα] κεν δ' ἤπειτα H. ib. λιτοίμην] ἀλιτοίμην H. 408. δόρπου et supra δεῖπνον H. 411. ϝέρξαν. ϝήθεα. 413. ϝοῖς. δῖϝος.

ψαι] Ἀντὶ τοῦ πέμψαι. B. 397. Δουλίχιον] Πόλις τῆς Κεφαλληνίας. Vulg. Εἰς Κεφαλλην(ίαν). Vind. 50. 398. Εἰ δὲ καὶ μὴ ἔλθῃσιν ἄναξ] Εἰ δὲ μὴ ἔλθοι ὁ σὸς ἄναξ ἤτοι ὁ Ὀδυσσεὺς ὡς ἀγορεύω, τοὺς σοὺς δμῶας καὶ δούλους ἐπισπεύσας* αὐτοῖς καὶ κελεύσας βαλέειν ἐπὶ πέτρας ἐμὲ θέλησον ἤτοι κατακρημνίσαι, ὅπως καὶ ἄλλος πτωχὸς φυλάσσηται μὴ τὰ ψευδῆ λέγειν τοῖς ὑπερέχουσιν. Q. 399. Ἐπισσεύσας (sic)] Ἀντὶ τοῦ ἐπίσσευον (sic), ἐπίταξον. B. Ἐπισσεύας] Κελεύσας, ἐφορμήσας. Vulg. PORS. de Harl. referens: "ἐπισσεύας marg." 402. Εὐκλείη] Εἰρωνικῶς. Q. 406. Λιτοίμην] Ἱκετεύσαιμι. Vulg. PORS. ex Harl. "interpr. ἁμαρτήσαιμι. "Sed schol. marg. λιτοίμην expli- "cat." Αὐθαιρέτως καὶ ἑκουσίως ἁμάρτοιμι εἰς τὸ θεῖον. ἢ μετ' εἰρωνείας φησὶ λιτανεύσαιμι ἂν καὶ εὐξαίμην ποτὲ (B. τότε) εὐπροσώπως τὸν Δία ἐάν σε ἀδικήσω. B. Q. 410. Ἀγχίμολον] Τοπικὸν ἐπίῤῥημα ἢ χρονικὸν ὡς τὸ ἔναγχος. B. 411. Ἔρξαν] Συνέκλεισαν, κατέκλεισαν. Ψιλωτέον δὲ τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλεισαν. τὸ γὰρ δασυνόμενον ἀντὶ τοῦ ἔθυσαν. ἐτυμολογεῖται δὲ τὸ ἔρξαν ἀντὶ τοῦ ἔκλεισαν ἀπὸ τοῦ εἴργω τὸ κωλύω, τὸ δὲ ἔρξαν ἀντὶ τοῦ ἔθυσαν ἀπὸ τοῦ ἔρδω τὸ θύω. B. Q.

* Nimis lubrica fides in his litterarum apicibus exscriptoris Mediolanensis, et nimis parva in codd. differentia inter σν et σω, quam ut veram hanc esse lectionis varietatem pro certo credere possim. BUTTM.

Ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω
τηλεδαπῷ· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵπερ ὀϊζὺν
δὴν ἔχομεν, πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσιν.
Ὣς ἄρα φωνήσας κέασε ξύλα νηλέϊ χαλκῷ·
οἱ δ' ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον·
τὸν μὲν ἔπειτ' ἔστησαν ἐπ' ἐσχάρῃ· οὐδὲ συβώτης
λήθετ' ἄρ' ἀθανάτων, φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν,
ἀλλ' ὅγ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
ἀργιόδοντος ὑὸς, καὶ ἐπεύχετο πᾶσι θεοῖσι,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
κόψε δ' ἀνασχόμενος σχίζῃ δρυὸς, ἣν λίπε κείων·
τὸν δ' ἔλιπε ψυχή· τοὶ δ' ἔσφαξάν τε καὶ εὗσαν·
αἶψα δέ μιν διέχευαν· ὁ δ' ὠμοθετεῖτο συβώτης,
πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν·
καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,
μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα·

419. πενταϝέτηρον. 424. ϝόνδε. 430. ἔπειραν] ἔπειρον H. 431. ϝερύσαντο.

415. Ὀϊζύν] Ὀϊζύς ἐστιν (scr. Οἴ ἐστιν) ἐπίφθεγμα σχετλιαστικὸν καὶ σημαίνει τὴν κακοπάθειαν. καὶ ἐξ αὐτοῦ γίνεται ῥῆμα οἴζω καὶ κατὰ διάλυσιν ὀΐζω, καὶ πλεονασμῷ τοῦ υ ὀϊζύω, καὶ ἐξ αὐτοῦ ὀϊζύς. Q. 417. Νήποινον] Ἀνεκδίκητως, ὑπὲρ οὗ ποινὴν οὐδεὶς εἰσπράσσεται. B. 425. Ἣν λίπε κείων] Ἀπὸ τοῦ καίω (scr. κείω) τοῦ σημαίνοντος τὸ κλῶ. κλῶν γὰρ τὰ ξύλα ταύτην εἴασε τὴν σχίζαν ὡς ἐπιτηδείαν εἰς τὸ κρούειν τὰ ἱερεῖα. ἢ κείων ἀντὶ τοῦ καίων, ὅθεν καὶ τὸ, Κῆα μὲν (scr. κηάμενοι) πυρὰ πολλά (Il. ι. 234.). καίων οὖν τὰ ἄλλα ξύλα ταύτην κατέλιπεν καὶ οὐκ ἐνέκαυσεν, ὡς ἐπιτηδείαν πρὸς τὸ τύπτειν τὰ ἱερὰ τῆς σφαγῆς. B. Q. Κείων] σχίζων, ἢ καίων. Vulg. 427. Αἶψα δέ μιν διέχευαν] Εἰ κατέτεμε, πῶς πάλιν ἐμίστυλλεν; ἀλλὰ τὸ μὲν διέχευαν, ἐμέλισαν· τὸ δὲ μίστυλλον εἰς μικρὰ τὰ κρέατα ἔνεμον. τινὲς δὲ τὸ διέχευαν, εἰς τὸ πλάτος διέθηκαν. B. Q. Ὠμοθετεῖτο] Οὐχ ὡς τινὲς δὲ (del. δὲ), τὴν ὠμοπλάτην τοῖς θεοῖς ἐπετίθει, ἀλλὰ πάντοθεν ἀρχόμενος. B. Q. Ὠμῶν ὄντων τῶν κρεῶν ἀπήρχετο τοῖς θεοῖς. Vulg. 428. Πάντοθεν ἀρχόμενος] Ἀρίσταρχος, πάντων, αἱ δὲ εἰκαιότεραι, πάντοθεν. Harl. 429. Παλύνας] Καταπάσας αὐτά. οἱ δὲ, μάζας ποιήσας καὶ συμπλάσας αὐτὰ τῷ ἀλεύρῳ, καὶ καταπάσας αὐτὰ τῷ δόρπῳ (h. e. τῇ ἀκτῇ) ἤτοι τῷ σίτῳ ἵνα καὶ ἐκ τοῦ ἄρτου ἀπάρχωνται. B. Q. Ἐπιπάσας, ἵνα καὶ τοῦ ἄρτου ἀπάρχωνται. ἢ ὅτι πρὸ τῆς τοῦ λιβανωτοῦ εὑρέσεως ἀλφίτοις πρὸς τὸ θυμιᾶν ἐκέχρηντο. εἰς μνήμην οὖν τῆς παλαιᾶς διαίτης καὶ οἱ μεταγενέστεροι ἄλφιτα ἐθυμίων μετὰ τῶν

βάλλον δ' εἰν ἐλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
ἵστατο δαιτρεύσων· πέρι γὰρ φρεσὶν αἴσιμα ᾔδη·
καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαΐζων·
τὴν μὲν ἴαν Νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἷϊ,
θῆκεν ἐπευξάμενος, τὰς δ' ἄλλας νεῖμεν ἑκάστῳ·
νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
ἀργιόδοντος ὑός· κύδαινε δὲ θυμὸν ἄνακτος.
καί μιν φωνήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διῒ πατρὶ γένοιο,
ὡς ἐμοί, ὅττι με τοῖον ἐόντ' ἀγαθοῖσι γεραίρεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
ὅ, ττι κεν ᾧ θυμῷ ἐθέλει, δύναται γὰρ ἅπαντα.
Ἦ ῥα, καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσι·
σπείσας δ' αἴθοπα οἶνον, Ὀδυσσῆϊ πτολιπόρθῳ
ἐν χείρεσσιν ἔθηκεν, ὁ δ' ἕζετο ᾗ παρὰ μοίρῃ.
σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὅν ῥα συβώτης
αὐτὸς κτήσατο οἶος, ἀποιχομένοιο ἄνακτος,
νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος·

433. ϝῄδη. 435. υἷϊ] υἱεῖ H. 436. ϝεκάστῳ. 438. θυμὸν δ' εὔφρηνε ϝάνακτος emendat PORS. Vid. Kidd. annot. ad Dawes. M. C. p. 258. 445. ἐθέλει] ἐθέλῃ H. ἐθέλῃ V. W. ib. ϝῷ. 447. ϝοῖνον. 448. ϝῇ. 450. ϝάνακτος. 451. Λαϝέρταο.

ἀπαρχῶν. Q. Ἀνατρίψας καὶ μαζονομήσας. Vulg. 432. Ἐλεοῖσιν] Μαγειρικαῖς τραπέζαις. B. 433. Δαιτρεύσων] Κατακόψων αὐτά. B. Κατακόπτων αὐτὰ, μαγειρεύων. Q. Δαιτρεύων (sic ed. ant.)] Μερίσων. Vulg. 435. Τὴν μὲν ἴαν νύμφῃσι] Ὡς ποιμενικοῖς προστάταις. B. Q. Καὶ Σιμωνίδης θύειν αὐτούς φησι νύμφαις καὶ Μαιάδος τόκῳ[d], οὗτοι γὰρ ἀνδρῶν αἷμα ἔχουσι ποιμένων (Mediol. ποιμενικῶν). B. Q. Vulg. 436. Θῆκεν] Ἐν μέρει ἔθηκε. B. 437. Νώτοισιν διηνεκέεσσι] Συνεχέσι νωτιαίοις κρέασι κατεξαιρετὸν αὐτὸν ἐτίμα δίχα τῶν μερίδων. B. Q. 438. Κύδαινε] Εὔφραινε. Harl. 443. Δαιμόνιε] Ὦ κακοδαιμονέστατε. τοῦτο δέ φησιν οἰκτείρων καὶ συμπαθῶν. B. Q. 446. Ἄργματα θῦσε] Τὰς ἀπαρχὰς τῶν μερίδων, ἢ τὰ ἀπομερισθέντα τοῖς θεοῖς. Θῦσε, δὲ, ἐθυμίασεν. οὐδέποτε γὰρ θῦσαι ἐπὶ τοῦ σφάξαι ἱερεῖον φησι. B. Q. 449. Μεσαύλιος] Ὄνομα κύριον. Vulg. Ἀπὸ τῆς μεσαύλου, τῆς κατ' ἀγροὺς ἐπαυλίας τὸ ὄνομα. ὁ νοῦς, τὸν Μεσαύλιον δοῦλον ὄντα ἐξωνήσατο ὁ συβώτης, καὶ αὐτὸς ἐκτήσατο μόνος τοῦ Ὀδυσσέως ὑποχωρήσαντος. Q.

[d] Θύουσι νύμφαις τῷ τε Μαιάδος τόκῳ: sic priorem hunc versum constituit Barnesius. BUTTM.

πὰρ δ' ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος· οἱ δ' ἐπὶ κοῖτον,
σίτου καὶ κρειῶν κεκορημένοι ἐσσεύοντο.
Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ, σκοτομήνιος, ὗε δ' ἄρα Ζεὺς
πάννυχος· αὐτὰρ ἄη Ζέφυρος μέγας, αἰὲν ἔφυδρος.
τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
εἴπως οἱ ἐκδὺς χλαῖναν πόροι, ἤ τιν' ἑταίρων
ἄλλον ἐποτρύνειεν· ἐπεὶ ἕο κήδετο λίην·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι,
εὐξάμενός τι ἔπος ἐρέω, οἶνος γὰρ ἀνώγει
ἠλεὸς, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε,
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον.
ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον ἀνέκραγον, οὐκ ἐπικεύσω·
εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὅθ' ὑπὸ Τροίῃ λόχον ἤγομεν ἀρτύναντες·
ἡγείσθην δ' Ὀδυσεύς τε, καὶ Ἀτρείδης Μενέλαος,

452. ἑϝοῖσιν. 457. δ' ἄρ'] γὰρ H. 459. μετέϝειπε. 460. ϝοι. 461. ϝέο. 463. ϝέπος ϝερέω, ϝοῖνος. 466. ἄῤῥητον ἄμεινον] ἄῤῥητον καὶ ἄμεινον V. ib. ϝέπος. 468. τε] δέ H. 469. Τροίῃ] Τροίην H. 470. Ἀτρεϝΐδης Μενέλαϝος.

457. Σκοτομήνιος] Ἀσέληνος, σκοτεινή· ἡ καθ' ἣν ἡ σελήνη ἀποσκότωται τῇ πρὸς τὸν ἥλιον συνόδῳ. μήνη γὰρ ἡ σελήνη. Vulg. Καθ' ὃν καιρὸν οὐκ ἔστι σελήνη. Pal. 458. Ζέφυρος μέγας αἰὲν ἔφυδρος] Ὕδωρ ἐπάγων. Vulg. Ὑετὸν ἐπαγόμενος. οὐκ ἀεὶ, ἀλλ' ἐν χειμῶνι. B. Q. 463. Εὐξάμενος] Μάρτυρα τὸν θεὸν ἐπικαλούμενος ὅτι ἀληθεύω. ἢ καυχησάμενος (cf. ad 468.). B. Q. 464. Ἠλεός] Ἡ λιθοποιός *, μάταιος. Vulg. 466. Προέηκεν] Οὕτως αἱ Ἀριστάρχου. ὁ δὲ Ἀριστοφάνης, παρέθηκεν, ὃ καὶ ἄμεινον. Harl. Q. Vind. 133. Ἄῤῥητόν τ' ἄμεινον] Ὅπερ τὸ λέγειν κρεῖττον ἦν μεῖναι ἄλεκτον. B. Q. 467. Ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον] Ἀλλ' ἐπεὶ κατὰ πρώτην ἐπιβουλὴν λέγειν ἠρξάμην, οὐ μὴ ἐπικεύσω ἤτοι κρύψω ὅπερ εἰπεῖν ὑπεσχόμην. Q. 468. Εἴθ' ὡς ἡβώοιμι]

* Per negligentiam meam mendosa Argentinensis scriptura ὁ λιθοποιὸς locum occupavit ejus quae dudum in recentt. legitur ἠλιθιοποιός. In lexica tamen haec vox non recepta est, quippe ficta a grammaticis ut cognationem vocis ἠλεὸς cum adverbio ἤλιθα, ubi latinum *frustra* hoc exprimit, ostenderent. Quanquam valde similes illi sunt formae ἠλιθιοεργὸς et ἠλιθιουργὸς, quas sine auctoritate praebent lexica. Sed hae, nisi fallor, nonnisi corruptione natae sunt ex illo ἠλιτοεργὸς quod recte sine dubio legitur in Antipatri Sidonii Epigr. 63. BUTTM.

τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγώ· αὐτοὶ γὰρ ἄνωγον.
ἀλλ' ὅτε δή ῥ' ἱκόμεσθα ποτὶ πτόλιν, αἰπύ τε τεῖχος,
ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνὰ,
ἂν δόνακας καὶ ἕλος ὑπὸ τεύχεσι πεπτηῶτες,
κείμεθα· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ, Βορέαο πεσόντος,
πηγυλὶς, αὐτὰρ ἔπειτα χιὼν γένετ', ἠΰτε πάχνη,
ψυχρὴ, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον, ἠδὲ χιτῶνας,
εὗδον δ' εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
ἀφραδέως, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης·
ἀλλ' ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα,
ἀγκῶνι νύξας· ὁ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε·

471. ἐγώ] ἐγὼν H. 473. περὶ] ποτὶ, ρ eraso, H. ib. ϝάστυ. 475. δ' ἄρ'] γαρ V. 477. περιτρέφετο] περιστρέφετο H. 478. ἄλλοι πάντες] ἄλλοι μὲν πάντες V. 479. ϝειλυμένοι. 480. ἐγὼ χλαῖναν μὲν ἰὼν] ἰὼν χλαῖναν μὲν ἐγὼν V. ib. ἔλειπον] ἔλιπον H. 481. ἀφραδέως] ἀφραδέης V.

"Ενθεν δηλονότι τὸ εὐξάμενος ἀντὶ τοῦ καυχησάμενος. Q. 474. Γρ. οὐ τείχεσσιν: sed οὐ superimpositum. Voluit nempe τεύχεσι γραπτέον, οὐ τείχεσι. PORS. ex Harl. 476. Πηγυλίς] Ὀξυτόνως τὸ πηγυλίς, ἀντὶ τοῦ παγετώδης. B. Q. (vid. ad 477.). Πηγυλίς] Παγετὸς, ψυχρά. Πάχνη] Πυκνότης ἀέρος ψυχρά. Vulg.[f] Χιών] Χιὼν δροσῶδές ἐστιν ὕδωρ καταφερόμενον. ἔπειτα πηγνύμενον διὰ τὸ ψῦχος καλεῖται πάχνη· εἰ δ' ἐπὶ πολὺ, κρύσταλλος. πάχνη οὖν ἐστιν ἡ πεπηγυῖα πάχνη (immo χιών). δηλοῖ δὲ διὰ τῶν λεγομένων τὴν προσθήκην τῆς ψύξεως. ἡ γὰρ χιὼν λεπτὴ, ἡ πάχνη παχυτέρα, ἡ κρύσταλλος παχυτάτη. B. Q. 477. Περιτρέφετο] Ἐπήγνυτο. ὅθεν καὶ τροφὴ ἡ πηγνύουσα τὸ σῶμα. Harl. B. Q. (Sed in Mediol. verba ὅθεν—σῶμα prave adhærent scholio ad 476. πηγυλίς.) 481. Γρ. ἀμαθία. Γρ. ἀφραδίῃ[g]. Harl. 482. Ζῶμα] Νῦν τὸν χιτῶνα. Vulg. 485. Ἐμμαπέως] Ταχέως, προθύμως. Vulg. Ταχέως, ἅμα τῷ λόγῳ. οὕτω δὲ Φιλόξενος σχηματίζει τὴν λέξιν ἐν δευτέρῳ Περὶ μονοσυλλάβων ῥημάτων· Παρὰ τὸ ἔπος γράφουσι σύνθετον τὸ ἀμεπής[h], ὡς ψευδὴς ἀψευδής. εἶτα ἐξ αὐτοῦ γράφουσι μεσότητος ἐκβ-

[f] In priori harum glossarum vox πηγυλὶς substantive excepta est. Eustath. Πηγυλὶς ἤγουν παχνὸς, κατὰ τοὺς παλαιοὺς, ὁ παγετώδης. Hinc apparet pro ψυχρὰ legendum esse aut cum Barnesio, ὁ ψυχρὸς; aut substantive, ψῦχος: vid. not. ad ε'. 467. Certius autem pronuntio in altera glossa scribendum esse ψῦχος: nam πυκνότης ψυχρὰ nihili est: sed τὸ ψῦχος recte definitur πυκνότης ἀέρος. BUTTM.

[g] Sunt dativi (—ᾳ, —ῃ). Prius e glossa natum. BUTTM.

[h] Nimirum ab ἅμα, sed cum leni ut in ἄμυδις. BUTTM.

Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὔτοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων,
οἰοχίτων' ἔμεναι· νῦν δ' οὐκ ἔτι φυκτὰ πέλονται.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ,
οἷος ἐκεῖνος ἔην βουλευέμεν, ἠδὲ μάχεσθαι·
φθεγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·
Σίγα νῦν, μή τίς σευ Ἀχαιῶν ἄλλος ἀκούσῃ.
ἦ, καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν, εἶπέ τε μῦθον·
Κλῦτε, φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος·
λίην γὰρ νηῶν ἑκὰς ἤλθομεν· ἀλλά τις εἴη
εἰπεῖν Ἀτρείδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα Θόας, Ἀνδραίμονος υἱὸς,
καρπαλίμως, ἀπὸ δὲ χλαῖναν βάλε φοινικόεσσαν,
βῆ δ' ἰέναι ἐπὶ νῆας· ἐγὼ δ' ἐνὶ εἵματι κείνου
κείμην ἀσπασίως· φάε δὲ χρυσόθρονος ἠώς.
Ὣς νῦν ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη·
δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος·
νῦν δέ μ' ἀτιμάζουσι κακὰ χροῒ εἵματ' ἔχοντα.

486. διϝογενὲς Λαϝερτιάδη. 487. οὔτοι] οὔτοι H. 489. ἔμεναι] ἔμμεναι V. ἴμεναι W. 491. βουλευέμεν] βουλεύσεμεν ex recens. H. 492. ϝοι. ἔϝειπε. 493. Ἀχαιϝῶν. 494. σχέθεν] θέτο H. ib. ϝεῖπε. 496. ϝεκάς. 497. ϝειπεῖν Ἀτρεϝίδῃ. λαϝῶν. 501. δ' ἰέναι] δὲ θέειν V. W. ib. ϝείματι. 504. τις χλαῖναν] τίς μοι χλαῖναν H. 506. ϝείματ'.

ῥῆμα ἀμεσῶς, ὡς ἀψευδῶς καὶ ἐν Ἰωνικῇ διαλέκτῳ ἀμεσέως ὡς ἀψευδέως. καὶ ἐπεὶ τρεῖς βραχεῖαι ἀλληλάλληλοι οὐ συνίστανται, τῷ διπλασιασμῷ τοῦ μ καὶ ἀντιπαραχωρήσει (B. ὑπερθέσει) τοῦ α καὶ ε, γίνεται ἐμμανέως. B. Q. Vind. 133. 488. Καλλίστρατος, παρά μ' ἤλασε. Harl. Vind. 133. 489. Ἔμεναι] Καλλίστρατος, ἴμεναι. Vind. 133. Harl. 490. Ὁ δ' ἔπειτα νόον σχέθε] Ὁ δὲ Ὀδυσσεὺς ἀκούων (ins. ἃ) εἶπον αὐτῷ, τὸν νοῦν ἐκράτησεν οὕτως, καθὼς πέφυκεν εἶναι αὐτὸς περί τε τὰς βουλὰς καὶ τὴν μάχην. Vind. 133. 491. Οἷος ἐκεῖνος] Ποταπὸς ἦν ἐκεῖνος. θαυμαστικόν. B. 495. Κλῦτε φίλοι, θεῖός μοι] Ἀθετεῖται ὡς ἐκ τῆς Ἰλιάδος (β. 56.) μετωνηνεγμένος. Harl. 496. Εἴη] Περιέσται. Vulg. 500. Γρ. θέτο. Harl. 504. Hunc et duo sequentes ἀθέτει Ἀθηνοκλῆς, ut colligo e schol. marg. PORS. ex Harl. Obelo configuntur iidem versus in codice Q. 505. Ἀμφότερον] Ἀντὶ

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
τῷ οὔτ' ἐσθῆτος δευήσεαι, οὔτε τευ ἄλλου,
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
νῦν· ἀτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δνοπαλίξεις·
οὐ γὰρ πολλαὶ χλαῖναι, ἐπημοιβοί τε χιτῶνες
ἐνθάδε ἕννυσθαι, μία δ' οἴη φωτὶ ἑκάστῳ.
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός,
αὐτός τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματα δώσει,
πέμψει δ', ὅππῃ σε κραδίη θυμός τε κελεύει.
Ὣς εἰπὼν ἀνόρουσε· τίθει δ' ἄρα οἱ πυρὸς ἐγγὺς
εὐνήν, ἐν δ' ὀΐων τε καὶ αἰγῶν δέρματ' ἔβαλλεν.
ἔνθ' Ὀδυσεὺς κατέλεκτ'· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ
πυκνὴν καὶ μαλακὴν, ἥ οἱ παρεχέσκετ' ἀμοιβὰς,

509. Ϝέπος. ἔϜειπες. 510. οὐ Ϝεσθῆτος. 511. ἐπέϜοιχ'. 512. δνοπαλίξεις et ζ supra ξ, sed ξ etiam in schol. marg. H. 514. Ϝέννυσθαι. Ϝεκάστῳ. 515—517. omittunt H. et V. Uncinis includit W. 516. Ϝείματα. 518. Ϝειπών. Ϝοι. 519. ὀϜίων. 521. παρεχέσκετ'] παρεκέσκετ', a m. pr. H. Idem habet V. et παρέσχετ' ἀμοιβὴν pro v. l. ib. Ϝοι.

τρόπους, φιλότητί τε καὶ ἀνδρὸς ἀγαθοῦ αἰδοῖ. Q. 508. Αἶνος μέντοι] Αἰνιγματώδης ὁ λόγος ὃν εἶπες. B. Αἶνος] Ἔπαινος, ὁ εἰς προτροπῆς περιπέτειαν παραινετικός. καὶ Ἀρχίλοχος δὲ λέγει, αἶνός τις ἀνθρώπων, ὡς ἄρα ἀλώπηξ καὶ αἰετὸς ξυνωνίαν ἔμιξαν[i]. αἶνος δέ ἐστι καὶ ὁ ὑποβεβλημένος λόγος. Vulg. 509. Παρὰ μοῖραν ἔπος] Ἀσύμφορον, ἀνόητον. B. 511. Ταλαπείριον] Τὸν τλῶντα (f. τλάντα) πείρας πολλῶν πραγμάτων. Q. 512. Δνοπαλίξεις] Ἀμφιέσεις, συρράψεις (Barn. ex Eust. em. συῤῥάψεις). Vulg. Διὰ χειρῶν ἕξεις. οἱ γὰρ ῥακοφοροῦντες συνεχῶς ἐφέλκονται αὐτὰ εἰς τοὺς γυμνοὺς τόπους τοῦ σώματος. παρὰ τὸ δονεῖν ταῖς παλάμαις τὸ ληφθέν. Καὶ ἄλλως. Ῥάπτεις (scr. hic et mox ῥάψεις) τὰ σὰ ῥάκη διεσχισμένα ὄντα. τὸ δὲ ῥάπτεις ἀντὶ τοῦ ῥάπτε. B. Q. 513. Αὐτὰρ (sic, pro οὐ γὰρ) πολλαὶ χλαῖναι] Χλαῖναι τὰ ἔξωθεν περιβλήματα καὶ αἱ χλανίδες[k]. B. Q. Ἐπημοιβοί τε] Ἤτοι ἃς ἀμείψασθαί τις δύναται, ἢ καταλαμβάνειν (Vulg. μεταλ.) εἴ ποτε χειμὼν εἴη, ἢ ἄλλην ἀλλάσσειν ἀντὶ ἄλλης. Χιτῶνες δὲ τὰ ἔσωθεν ἀνδρῶν (Vulg. ἀνδρεῖα) ἱμάτια. B. Q. Vulg. 515—17. omittunt Harl. Pal. et tres Vindob. 521. Παρεχέσκετ' ἀμοιβάς] Διὰ τοῦ χ. ἵν' ᾖ, ἥτις παρεῖχεν αὐτῷ τὰς ἀμείψεις εἰς τὸ μεταμφιέσχεσθαι. ἄκυρον δέ. οὐ γὰρ ἡ χλαῖνα παρεῖχε τὰς ἀμοιβάς, ἀλλ' αὐτὴ παρέκειτο εἰς τὸ ἀμείβεσθαι. καὶ ἐπὶ τῶν

[i] Vid. Archilochi fragm. 38. ap. Brunck. cum nota Jacobsii. Liebel fr. 67. Add. Apollon. de Adv. p. 490. BUTTM.

[k] Vulg. Χλαῖναι] Χλαμύδες, τὰ ε. π. BUTTM.

ἕννυσθαι, ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
Ὣς ὁ μὲν ἔνθ' Ὀδυσεὺς κοιμήσατο, τοὶ δὲ παρ' αὐτὸν
ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
ἥνδανεν αὐτόθι κοῖτος, ὑῶν ἄπο κοιμηθῆναι·
ἀλλ' ὅγ' ἄρ' ἔξω ἰὼν ὁπλίζετο· χαῖρε δ' Ὀδυσσεὺς,
ὅττι ῥά οἱ βιότου περικήδετο, νόσφιν ἐόντος.
πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις,
ἀμφὶ δὲ χλαῖναν ἑέσσατ' ἀλεξάνεμον μάλα πυκνὴν,
ἂν δὲ νάκην ἕλετ' αἰγὸς ἐϋτρεφέος, μεγάλοιο·
εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.
βῆ δ' ἴμεναι κείων, ὅθι περ σύες ἀργιόδοντες
πέτρῃ ὕπο γλαφυρῇ εὗδον, Βορέω ὑπ' ἰωγῇ.

522. ὄροιτο] ὄρηται V. ib. Fέννυσθαι. 525. Fάνδανεν. 527. Fοι. 529. ἐFέσσατ'.

Φαιάκων, Εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί (θ'. 249.). Q. Παρεχέσκετ' (scr. παρεκέσκετ') ἀμοιβάς] Παρέκειτο ἡ χλαῖνα ἀμοιβὰς οὖσα, ὅ ἐστιν ἐπ' ἀμοιβῇ κειμένη[1]. τοῦτο δὲ εἶπε (ἐπεὶ em. Mai.) τοῖς ἥρωσιν ἅτε δὴ ἀνδρείαν ἐπιδεικνυμένοις ἀπρεπὲς ἐλογίζετο δύο χλαίνας ἀμπέχεσθαι. διὸ ἔφη αὐτὴν ἀμοιβάδα. ὡς γὰρ στερεωτέραν ἐκείνην τὴν χλαῖναν παρέθηκεν, ἵνα τέως μὲν τῇ ἐλαφροτέρᾳ καλύπτοιτο, εἰ δὲ χειμάσει ἀμείψας ταύτῃ χρήσαιτο. B. Q. Παρεῖχε τὰς ἀμοιβὰς καὶ ἐναλλαγάς. ἢ παρεκέσκετο, παρέκειτο ἀμοιβὰς εἶδος (f. ἐσθὴς) ἐναλλασσομένη. Vulg. 522. Ἀριστοφάνης καὶ Ῥιανὸς, εἴνυσθαι, ὡς τὸ, Θριξὶ δὲ πάντα νέκυν καταείνυον (Il. ψ'. 135.). Harl. 526. Χαῖρε δ' Ὀδυσσεύς] Ἔχαιρεν ὁ Ὀδυσσεὺς, ὅτι ὁ συβώτης χωρὶς ὢν αὐτοῦ οὐκ ἐπαύετο φροντίζων τοῦ Ὀδυσσέως τῆς ζωῆς καὶ τοῦ βίου. Q. 529. Ἀλεξάνεμον μάλα πυκνήν] Παρὰ τῶν ἀγροικοτέρων λεγομένην κάσα. Q. Vind. 133. Ἀλεξάνεμον, βοηθὸν ψύχους, δυναμένην ἀντιπράττειν ἀνέμῳ, ἢ ἀπείργουσαν τοὺς ἀνέμους. Vind. 133. 530. Ἂν δὲ νάκην] Γρ. ἐν. Harl. Vind. 133. Νάκην] Δέρμα αἰγὸς δασύμαλλον. Vulg. Γράφεται νάκος παρὰ Θεοκρίτῳ. Vind. 133. 531. Ἀλκτῆρα] Ἀποσοβητῆρα. B. 533. Βορέω ὑπ' ἰωγῆς] Σύνθετόν ἐστι τὸ ὄνομα ἀντὶ τοῦ, ἐν τῷ σκέποντι καὶ ἀπείργοντι τὸν βορρᾶν τόπῳ[m]. τῆς δὲ πέτρας τοῦ βορρᾶ ὑπ' ἰωγὴν εἶπε παρόσον οὐ διαβαίνει αὐτὴν ὁ ἄνεμος ἀλλ' αὐτόσε ἄγνυται αὐτοῦ κλών. B. Ὑπ' ἰωγῆς] Ἀπανεμίας, ἡσυχίας. B. Ἰωγῇ] Τῇ σκέπῃ. Vulg. ΠΕΤΡΗ Υ. Γ. Ε. ΒΟΡΕΩ ΥΠΙΩΓΗ. Ἐρεχθεὺς ὁ τῶν Ἀθηναίων βασιλεὺς ἴσχει θυγατέρα τοὔνομα Ὠρείθυιαν κάλλει διαπρεπεστάτην. κοσμήσας δὲ ταύτην ποτὲ πέμπει κανηφόρον θύσουσαν εἰς τὴν ἀκρόπολιν τῇ Πο-

[1] PORS. ex Harl. "παρεκέσκετο duo scholiastæ explicant παρέκειτο ἐπ' ἀμοιβῇ: "ἀμοιβὰς scilicet pro recto capientes." BUTTM.

[m] Apparet in lemmate hujusquidem scholii legendum esse ὑπωγῇ, sic dativo casu, et composite: et mox, τὸν δὲ πέτρας—ὑπωγήν—. Cf. Schneid. in vv. ἰωγὴ et ὑπωγή. Scriptura ὑπ' ἰωγῆς, quam revera spectat alterum codicis B. scholium, est in cod. Vind. 50. Conf. supra schol. ζ'. 404. BUTTM.

λιάδι Ἀθηνᾷ. ταύτης δὲ ὁ Βορέας ἄνεμος ἐρασθεὶς λαθὼν τοὺς βλέποντας καὶ φυλάσσοντας τὴν κόρην ἥρπασεν. καὶ διακομίσας εἰς Θρᾴκην ποιεῖται γυναῖκα. γίνονται δὲ αὐτῷ παῖδες ἐξ αὐτῆς, Ζήτης καὶ Κάλαϊς, οἳ καὶ δι' ἀρετὴν μετὰ τῶν ἡμιθέων[o] εἰς Κόλχους ἐπὶ τὸ νάκος[p] ἔπλευσαν ἐν τῇ Ἀργοῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ (Sturz. num. 18.) Vulg.[q]

[o] Sturzius vult ἠϊθέων; cf. supra schol. μ'. 69. BUTTM.

[p] Ed. Schrevel. corrupte ἄκος. BUTTM.

[q] Vere monet Barnesius hanc fabulam hic sine causa appositam esse, cum Boreæ venti nomen tantum in textu compareat. BUTTM.

THE

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ο.

Οὖ, ἐπέβη Ἰθάκης Λακεδαίμονος ἐξ Ὀδυσείδης.

Ἡ δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
ᾤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
νόστου ὑπομνήσουσα, καὶ ὀτρυνέουσα νέεσθαι.
εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο·
ἤτοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς, ἀλλ' ἐνὶ θυμῷ
νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν.
ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·

3. ὑπομνήσουσα] ἐπιμνήσασα H. ib. ὀτρυνέουσα] ὀτρύνουσα V. 5. ΜενελάFου.

Ὑπόθεσις. Τηλέμαχον Ἀθηνᾶ ὄναρ ἐπιστᾶσα εἰς Ἰθάκην ἐπανελθεῖν προτρέπεται· ὃς δῶρα παρὰ Μενελάου λαβὼν πέμπεται. καὶ ἐμβαίνειν μέλλων εἰς τὴν ναῦν Θεοκλύμενόν τινα Ἀργεῖον μάντιν ἀναλαμβάνει ἐπὶ φόνῳ φεύγοντα. Καὶ Εὔμαιος Ὀδυσσεῖ διηγεῖται ὡς Φοίνικες αὐτὸν λῃσάμενοι ἐκ Συρίας νήσου ἀπέδοντο Λαέρτῃ. Καὶ ἡ Τηλεμάχου ναῦς κατάγεται εἰς Ἰθάκην. καὶ ταύτην εἰς ἄστυ ἀποπέμψας αὐτὸς πρὸς Εὔμαιον ἔρχεται. Vulg. Ἀθηνᾶς Τηλεμάχῳ κατ' ὄναρ παρακελευσαμένης αὐτὸν καὶ Πεισίστρατον παρὰ Μενελάῳ δῶρα λαβόντας ἀπιέναι, Πεισίστρατος μὲν μετὰ τῶν ἁρμάτων ἄπεισι πρὸς τὸν πατέρα. Τηλέμαχος δὲ Θεοκλύμενον τὸν μάντιν ἀναλαβὼν εἰς τὴν ναῦν ἀποπλεῖ. Γίνεται δὲ ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία καθ' ἣν Εὔμαιος ἀπαγγέλλει, ὡς ἀπὸ τῆς ἠπείρου διά τινων ἐμπόρων ἐδουλαγωγήθη, καὶ ὡς ἦλθεν εἰς τὴν Ἰθάκην καὶ Λαέρτου πειρᾶται δεσπότου. Pal. Q. 1. Ἡ δ' εἰς εὐρύχορον] Οὐ νῦν, ἀλλ' ὅτε τῇ νυμφαίῳ τὴν πατρίδα ἐγνώρισεν ὁ Ὀδυσσεύς. λέγει οὖν ἐκεῖ, Τώ γ' ὡς βουλεύσαντε διέτμαγεν, ἡ μὲν ἔπειτα εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος (v. extr.) Q. 5. Εὕδοντε] Καθεύδοντε, δυϊκῶς. Vulg. 8. Νύκτα δι' ἀμβροσίην] Ἀμβροσίαν λέγει τὴν νύκτα ὡς ἄφθαρτον. οὐ γὰρ πέφυκεν αὕτη ὑπὸ τῶν βροτῶν ἡττᾶσθαι, ἀλλὰ μᾶλλον νικᾷν ἔοικε καθάπερ ἀνάσσειν τὸν ὕπνον λέγεται θεῶν καὶ ἀνθρώπων (Il. ξ. 233.). Q. 9. Ἀγχοῦ δ' ἱστα-

Τηλέμαχ', οὐκ ἔτι καλὰ δόμων ἄπο δὴν ἀλάλησαι,
κτήματά τε προλιπὼν, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι,
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον
πεμπέμεν, ὄφρ' ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμῃς·
ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας
μνηστῆρας δώροισι, καὶ ἐξώφελλεν ἔεδνα·
μή νύ τι, σεῦ ἀέκητι, δόμων ἐκ κτῆμα φέρηται.
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι,

10. δὴν] τῆλ' H., cum interpr. πόρρω. V. W. οὐ μὲν καλὰ et τῆλ' Apollonius v. καλά. PORS. 13. κτήματα] χρήματα H. 14. Μενέλαϝον. 15. ϝοίκοι. 18. ἔϝεδνα. 19. ἀϝέκητι. 20. ϝοῖσθα. 21. βώλετο ϝοῖκον.

μένῃ] Οὐκ ἀναγκαῖον ἐμφανίζεσθαι ἀνθρώπῳ τὴν Ἀθηνᾶν ἅτε μὴ φαινομένην νυκτὸς οὔσης. Q. 13. Χρήματα δασσάμενοι, σὺ δὲ τηϋσίην] Ματαίαν. γίνεται δὲ ἀπὸ τοῦ αὔτως ἀντὶ τοῦ μάτην. B. Q. Τηϋσίην] Ματαίαν. τηϋσίην ὁδὸν ἔλθῃς. τινὲς ἀρχαίαν, ἄλλοι βλαβεράν, ἢ περιβόητον[b]. Vulg. 16. Ἤδη γάρ ῥα πατήρ τε] Ἰκάριος ὁ Οἰβάλου γαμεῖ Δωροδόχην τὴν Ὀρτιλόχου, ἢ κατὰ Φερεκύδην Ἀστεροδίαν τὴν Εὐρυπύλου τοῦ Τελέστορος. πυθόμενος δὲ Λαέρτης περὶ τῆς Πηνελόπης ὅτι καὶ τῷ κάλλει καὶ ταῖς φρεσὶ διαφέρει πασῶν τῶν καθ' ἑαυτὴν γυναικῶν ἄγεται αὐτὴν τῷ παιδὶ Ὀδυσσεῖ πρὸς γάμον. ἣ τοσαύτην εἶχεν ἀρετὴν ὥστε καὶ τὴν Ἑλένην τὴν ἐκ Διὸς οὖσαν τῷ τῆς ἀρετῆς ὑπερβάλλειν κάλλει. ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ καὶ Φερεκύδῃ[c] (Q. om. καὶ Φερ.). Q. Vulg. Cf. Barn. 17. Ὁ γὰρ περιβάλλει] Ὅμοιόν ἐστι τῷ, Ἴστε γὰρ ὅσσον ἐμαὶ ἀρετῇ περιβάλλετον ἵπποι (Il. ψ'. 276.). Q. 18. Ἐξώφελλεν ἔεδνα] Ἐξόχως ηὔξησε τὰ διδόμενα ταῖς νύμφαις δῶρα. B. Q. 19. Ἀβετεῖ Ἀριστοφάνης. ἔνιοι τοὺς γ' νοθεύ-

[b] Eadem hæc apud Hesychium leguntur. Male autem Barnesius verba τηϋσίην ὁδὸν ἔλθῃς e scholio expungebat, e quibus solis cognoscitur hanc glossam non e commentariis in lexica sed e glossario potius in scholia transiisse. Pro ἀρχαίαν autem idem reponebat ἀργὴν, quoniam ap. Hesych. est ἀργίαν. Sed in codice ejus teste Schowio est ἀρχίαν. Quare de hoc adhuc videndum. Atque illud etiam memorabile videtur, in eodem Hesychiano codice verba Homerica sic proferri: σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς; unde editores fecerunt σὺ δὲ τηϋσίην: neque ego illos reprehendo: at pungit me comparatio ineptæ illius sed pervulgatæ olim etymologiæ, qua τηϋσίη foret idem quod ἀυσίη; vid. supra schol. γ'. 316. Aliam e lexico glossam translatam supra vidimus ad θ'. 365. BUTTM.

[c] Vid. Sturz. num. 56. et cf. supra schol. δ'. 797. Recte autem Barnesius ante illa πυθόμενος δὲ desiderat mentionem Penelopes; sed lepida idem audacia scholium ipsum interpolat non hanc tantum sed fratres etiam et sororem addens. Ceterum in ed. ant. scholiastæ vulg. hoc scholium cum duobus aliis mythici argumenti ad finem libri rejectum est. BUTTM.

παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνηότος, οὐδὲ μεταλλᾷ.
ἀλλὰ σύγ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
δμωάων, ἥτις τοι ἀρίστη φαίνεται εἶναι,
εἰσόκε τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
ἄλλο δέ τοί γε ἔπος ἐρέω, σὺ δὲ σύνθεο θυμῷ·
μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
ἐν πορθμῷ Ἰθάκης τε, Σάμοιό τε παιπαλοέσσης,
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
ἀλλὰ τά γ' οὐκ ὀΐω· πρὶν καί τινα γαῖα καθέξει
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
ἀθανάτων, ὅστις σε φυλάσσει τε ῥύεταί τε.
αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,
νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους·
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
ὅς τοι ὑῶν ἐπίουρος· ὁμῶς δέ τοι ἤπια οἶδεν.
ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
οὕνεκά οἱ σῶς ἐσσι, καὶ ἐκ Πύλου εἰλήλουθας.

23. οὐκέτι] οὐκ ἔτι V. ib. τεθνηότος] τεθνειῶτος a m. pr. Postea η super ει additum, et ο in ω mutatum H. PORS. 24. Ϝέκαστα. 26. φήνωσι] δῶωσι V. ib. κυδρὴν] κυδνὴν ex emend. certe antiqua H. PORS. 27. γε omittit H. ib. δὲ σύνθεο θυμῷ] δ' ἐνὶ φρεσὶ βάλλεο θυμῷ V. ib. Ϝέπος Ϝερέω. 30. Ϝιέμενοι. 33. Ϝεκὰς. εὐϜεργέα. 37. ὀτρῦναι] ὄτρυναι V. 39. ὅς τοι] ὅς θ' H. ib. Ϝοῖδεν. 41. Ϝερέοντα. 42. Ϝοι.

οισιν. Harl. 24. Ἐπιτρέψειας] Πίστευσον. εὐκτικὸν ἀντὶ προστακτικοῦ. B. 29. Ἐν πορθμῷ] Πορθμὸς, στενὴ θάλασσα ὑπὸ γῆς περιεχομένη, ἰσθμὸς δὲ γῆ στενὴ ὑπὸ θαλάσσης περιεχομένη. Vulg. Q. Ἡ στενὴ θάλασσα μεταξὺ Ἰθάκης. B. Σάμοιο] Τὴν Σάμην εἴρηκε Σάμον διὰ τὸ μέτρον, καὶ τὴν δείλην δίελον (sic pro δείελον MS. Barn.; in edd. δῆλον) ἐν ἄλλοις. Vulg. 31. Ἀλλὰ τάγ' οὐκ ὀΐω] Ἀντὶ τοῦ πέπεισμαι, ὡς τὸ, Ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν (Il. α'. 78.). B. Q. Τυραννίων Διονύσιος (nimirum 31, 32.), ἐπεὶ τὸ μὲν διασταγμοῦ τὸ δὲ ἀποφάσεως μετέχει. Q. Harl. 33. Ἀλλὰ ἑκὰς] Δι' ἄλλης ὁδοῦ πλέε. οὐ γὰρ λέγει ὅτι, μέσον πλέων τῶν νήσων μηδεμιᾷ ἔγγιζε. Q. 37. Γρ. ὄτρυνε. Harl. 39. Ὁμῶς δέ τοι ἤπια οἶδεν] Ὁμοίως δὲ σὺ (scr. σοὶ, vel ὡς σὺ) ἤπια καὶ πραεῖα (scr. πραέα) ὁ συβώτης οἶδεν. ἤτοι φροντίζων τῆς σωτη-

Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
αὐτὰρ ὁ Νεστορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν,
λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Τηλέμαχ', οὔπως ἐστὶν, ἐπειγομένους περ ὁδοῖο,
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται ἠώς.
ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείη
ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ·
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν ἠώς.
ἀγχίμολον δέ σφ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
ἀνστὰς ἐξ εὐνῆς, Ἑλένης πάρα καλλικόμοιο.
τὸν δ' ὡς οὖν ἐνόησεν Ὀδυσσῆος φίλος υἱὸς,
σπερχόμενός ῥα χιτῶνα περὶ χροῒ σιγαλόεντα
δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ' ὤμοις
ἥρως· βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα,
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Ἀτρείδη, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
ἤδη νῦν μ' ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·

43. πρὸς μακρὸν Ὄλυμπον] γλαυκῶπις Ἀθήνη V. ib. ϝειποῦσ'. 44. ϝηδέος. 45. uncinis includit W. ib. ἔϝειπεν. 52. δουρικλειτὸς] δουρικλυτὸς H. ib. Ἀτρεϝίδης. Μενέλαϝος. 57. Μενέλαϝος. 58. πάρα] παρὰ V. 62. δὲ προσηύδα, et ἔπος ηὔδα suprascrip. H. 63. omittit H. Uncinis includit W. 64. Ἀτρεϝίδη Μενέλαϝε. λαϝῶν.

ρίας σοῦ. Q. 45. Λὰξ ποδὶ κινήσας] Πρεπόντως ὁ μὲν ὑπὸ ἐκπλήξεως ἐπειγόμενος οὔτε τὸν καιρὸν οὔτε τὸ πρέπον θεωρεῖ. ἀφίστησι δὲ αὐτὸν εἰς ταῦτα ὁ Πεισίστρατος. Q. Νοθεύονται ὡς διαπεπλασμένοι ἐξ ἡμιστιχίου τῆς κ' Ἰλιάδος (158.) (h. PORS. ex Harl.). ἐκεῖ γὰρ προσηκόντως Νέστωρ κοιμώμενον Διομήδην ἀνίστησι, κύψαι κατοκνήσας διὰ τὸ γῆρας. Vind. 133. 47. Πρήσσωμεν] Περάσωμεν. Vulg. 49. Οὔπως ἐστὶν] Φησὶν ὁ Πεισίστρατος, κατὰ τὴν νύκτα ὦ Τηλέμαχε οὐ δυνατὸν ἐλαύνειν καὶ δι' ἅρματος περᾶν τὸν δρόμον. ἀλλὰ μείνωμεν ἕως ἂν ὁ Μενέλαος ἔλθῃ καὶ δῶρα θήσει ἐν τῷ ἅρματι. Q. 51. Ἐπιδίφρια] Ἐπὶ τὰ ἅρματα κομισθησόμενα. B. Ἐπὶ τὸν δίφρον τιθέμενα ἢ τὸ ἅρμα. Vulg. 62. Παριστάμενος δὲ προσηύδα. In Harl. suprascriptum ἔπος

ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Τηλέμαχ', οὔτι σ' ἔγωγε πολὺν χρόνον ἐνθάδ' ἐρύξω
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνῃ, καὶ ὃς ἐσσύμενον κατερύκῃ.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείω
καλά, σὺ δ' ὀφθαλμοῖσιν ἴδῃς· εἴπω δὲ γυναιξὶ
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνειαρ,
δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν.
εἰ δ' ἐθέλεις τρεφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,

66. ϝοίκαδ'. 67. Μενέλαϝος. 69. ϝιέμενον. 72. τοι] τι V. ib. ϝῖσον. 73. ἐποτρύνῃ] ἐποτρύνει H. ἐποτρύνει, (et εποτρυνοι pro v. l.) V. W. ib. κατερύκῃ] κατερύκει H. κατερύκει W. 74. uncinis includit W. 76. ϝίδῃς· ϝείπω. 77. ϝάλις. 80. τρεφθῆναι] τραφθῆναι text. et schol. sed supra τρα in textu scriptum ταρ H. τερφθῆναι V. τραφθῆναι W.

ῆθα. 71. Ἀμείνω δ' αἴσιμα πάντα] Τὰ δίκαια, οἷον εἰρημένα καὶ προσήκοντα. μέτρον γὰρ πάντων ἄριστον. Q. 73. Ξεῖνον ἐποτρύνει] Εὐπρεπῶς μετὰ προφάσεως ὀτρύνει (B. ἐπείγει) ἀπελθεῖν. B. Q. 74.[d] Ἐν πολλαῖς οὐκ ἐφέρετο. καὶ ἔστιν Ἡσιόδειος τῆς φράσεως ὁ χαρακτήρ. εἰ δὲ δεχοίμεθα αὐτὸν, πρὸ τῶν πρὸ ἑαυτοῦ δύο στίχων ὀφείλει γράφεσθαι. Harl. Vind. 133. Q. Τοῦτο τὸ σχῆμα καλεῖται γνωμικόν. Vulg. 78. Ἀμφότερον] Οἱ ϛ' ἠθετοῦντο. Συγκέχυται δὲ τὸ δυϊκὸν τοῦ, ἀμφότερον. Harl. Κῦδος καὶ ἀγλαΐα ἕν ἐστι· διὸ καὶ τὸ ἀμφότερον ἐπήγαγε (h. PORS. ex Harl.; ubi est ἐπήνεγκεν). κῦδος καὶ ἀγλαΐα τῷ ξενοδόχῳ, ὠφέλεια δὲ τῷ ξενωθέντι. Q. Κατ' ἀμφότερόν ἐστι καλὸν καρτερῆσαί σε· κῦδός τέ σοι γενήσεται καὶ λαμπρότης, καὶ ὄφελος. Q. 80. Τραφθῆναι] Ὁρμηθῆναι. Γράφεται καί, τερφθῆναι.[e] Vulg. Ὁρμηθῆναι, ὁρμῆσαι. B. Ἀντὶ τοῦ τραπῆναι. Q. Ἀττικῶς δὲ καὶ τό, ἀν' Ἑλλάδα. κοινὴν[f] γὰρ

[d] In Mediol. hoc scholium absurde relatum est ad 75. et quidem lemmate etiam posito Ἀλλὰ μέν. BUTTM.
[e] Sic ed. ant. Nam Schreveliana τερφθῆναι habet etiam pro lemmate, per sphalma haud dubie pro τρεφθῆναι quae ante Wolfium erat vulgata textus scriptura. Barn. in lemmate quidem habet τραφθῆναι, in scholio autem pro τερφθῆναι corrigebat idem τρεφθῆναι. Harl. et Vind. 133. verbo τραφθῆναι in textu adscriptam habent varietatem τερφθῆναι. Ambrosianum utrumque scholium in lemmate habet τραφθῆναι. BUTTM.
[f] Fortasse legendum μόνην. PORS. Vid. ad λ'. 495. BUTTM.

ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας
αὔτως ἀποπέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
ἠέ τινα τριπόδων εὐχάλκων, ἠὲ λεβήτων,
ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀτρείδη, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· οὐ γὰρ ὄπισθεν
οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσι·
μὴ πατέρ' ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι,
ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
αὐτίκ' ἄρ' ᾗ ἀλόχῳ ἠδὲ δμωῇσι κέλευσε
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοΐδης Ἐτεωνεὺς,
ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ·
τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος,
ὀπτῆσαί τε κρεῶν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
αὐτὸς δ' ἐς θάλαμον κατεβήσατο κηώεντα,
οὐκ οἶος, ἅμα τῷγ' Ἑλένη κίε καὶ Μεγαπένθης.
ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθ' οἱ κειμήλια κεῖτο,
Ἀτρείδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,

82. ἡμέας] ὑμέας V. ib. ϝάστεα. 83. ἀποπέμψει] ἀμπέμψει ex emend. manus ejusdem H. ἀπέμψει W. ib. τι ἕν γε] τε ἔργα V. 87. Ἀτρεϝίδη, Μενέλαϝε. λαϝῶν. 89. ἐμοῖσι] ἐοῖσι V. 92. 97. Μενέλαϝος. 93. δμωῇσι] δμώεσσι V. ib. αὐτίκα ϝῇ. 94. ϝάλις. 95. ϝοι. 96. ἀπ'] ὑπ' V. 97. κῆαι] κεῖαι H. κεῖα V. κῆαι W. 99. κηώεντα] κιόεντα V. 101. ὅθ' οἱ] ὅθι H. ib. ϝοι. 102. Ἀτρεϝίδης.

τὴν ὑπὸ Ἀχιλλεῖ Ἑλλάδα καλεῖ Ὅμηρος. Q. Harl. 83. Ἀμπέμψει διὰ τοῦ μ, ἔστι γὰρ ἀποπέμψει. Harl. Ἀμπέμψει text. Γρ. ἀποπέμψει. Vind. 133. 88. Ὄπισθεν] Παρὰ τὴν ὄψιν. τὸν ἐξ ὑποστροφῆς φυλάττοντα. Vulg. 91. PORS. ex Harl. referens: "Videtur Aristophanes spurium "censuisse." 93. Αὐτίκ' ἄρ' ᾗ ἀλόχῳ] Οὐχ ἵνα αὐτουργήσῃ, ἀλλ' ἵνα κελεύσῃ. καὶ διδάσκει μὴ δίχα γυναικὸς κελεύειν τι κατὰ οἶκον. Q. 95. Ἀγχίμολον] Οὐκ ἀναγκαῖον ἀθετεῖν. οὐ γὰρ δῆλον οἱ θεράποντες ὥστε ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκεῖν. Q. Harl. 98. Ὀπτῆσαί τε κρεῶν] Τῶν ἀπολελειμμένων ἔτι ἀπαρασκευάσ-

υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε᾽ ἄνωγεν
ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
τῶν ἕν᾽ ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
ὃς κάλλιστος ἔην ποικίλμασιν, ἠδὲ μέγιστος·
ἀστὴρ δ᾽ ὣς ἀπέλαμπεν, ἔκειτο δὲ νείατος ἄλλων.
βὰν δ᾽ ἰέναι προτέρω διὰ δώματος, ἕως ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
Τηλέμαχ᾽, ἤτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
δώρων δ᾽, ὅσσ᾽ ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
δώσω, ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστι·
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
ἐστὶν ἅπας, χρυσῷ δ᾽ ἐπὶ χείλεα κεκράανται·
ἔργον δ᾽ Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ᾽ ἑὸς δόμος ἀμφεκάλυψε
κεῖσέ με νοστήσαντα· τεῒν δ᾽ ἐθέλω τόδ᾽ ὀπάσσαι.
Ὣς εἰπών, ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον
ἥρως Ἀτρείδης· ὁ δ᾽ ἄρα κρητῆρα φαεινὸν
θῆκ᾽ αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος,
πέπλον ἔχουσ᾽ ἐν χερσίν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζε·
Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι.
μνῆμ᾽ Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
σῇ ἀλόχῳ φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ

105. Fοι. Legi possit ἔνθα δ᾽ ἔσαν π. Vid. Heyn. Obss. ad Il. ζ. 289. 106. ἕFα. 109. ἕως primo scriptum, sed ι insertum ab eadem manu in recens. hic et 153. H. 110. ΜενέλαFος. 112. ὥς] ὣς V. 113. δώρων] δῶρα H. δῶρων V. ib. Fοίκῳ. 114. omittit H. 117. δέ ἑ] δέ οἱ pro v. l. V. ib. Fέργον. Fε. 118. ἑFός. 119. κεῖσέ] κεῖθι pro v. l. V. 120. Fειπών. 121. ἈτρεFίδης. 124. χερσὶν] χειρὶ H. ib. Fέπος. 126. πολυηράτου] πολυκράτου et σ additum m. antiqua H. PORS.

τον. B. Vulg. Ἀττικὴ ἡ φράσις. Q. 104. Φωριαμοῖσι] Ταῖς κιβωτίοις διὰ τὸ αὐτόθι τὰ φάρη ἀμεῖσθαι ἢ διὰ τὸ τοὺς φώρας ἀπείργειν. Vulg. edd. recentt. Ἀπὸ τοῦ τοὺς φῶρας ἀμύνειν. B. Q. 105. Οὓς κάμεν αὐτή] Αἰτιῶνται ὡς οὐκ ἐσχηκυίας καιρὸν τῆς Ἑλένης ἐργάσασθαι. νῦν γὰρ ἧκε. δύναται γὰρ μέντοι καὶ πρὸ τοῦ ἀπάραι ἐργάσασθαι· καὶ ἐξ Ἰλίου κεκομικέναι. Q. Vind. 133. 120. Γρ. χειρί, ἐνικῶς. Harl. 126. Μνῆμ᾽ Ἑλένης] Οὐ μόνον δεδω-

κείσθω ἐνὶ μεγάρῳ· σὺ δέ μοι χαίρων ἀφίκοιο
οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς εἰποῦσ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.
καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.
τοὺς δ' ἦγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος·
ἑζέσθην δ' ἄρ' ἔπειτα κατὰ κλισμούς τε, θρόνους τε.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο, καὶ νέμε μοίρας·
ᾠνοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο·
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
καὶ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
ἵππους τε ζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
τοὺς δὲ μετ', Ἀτρείδης ἔκιε ξανθὸς Μενέλαος,
οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,

129. ϝοῖκον. 130. ϝειποῦσ'. 132. ϝεῷ. 133. Μενέλαϝος. 137. παρὰ] παρα H. 139. omittit H. Aliena manu adscriptum habet V. Uncinis includit W. 141. ϝοινοχόει. Μενελάϝου. 144. καὶ τότε] δὴ τότε W. 145. τε ζεύγνυντ'] τ' ἐζεύγνυντ', hic et 190. H. 147. Ἀτρεϝίδης. Μενέλαϝος. 148. ϝοῖνον.

κνίσης ἀλλὰ καὶ ἐργασαμένης. Vulg. 128. Ἀρίσταρχος, κεῖσθαι. Harl. Ἀφικοῖο] Γρ. ἀφίκοιο. Vind. 56. 130. Γρ. χειρί. Harl. 131. Ἐς πείρινθα] Εἰς τὸ ἐνέθημα τοῦ δίφρου, ὅ ἐστι τὸ πλινθίον ἤτοι ἡ στρῶσις τοῦ ἅρματος. γίνεται δὲ ἀπὸ τοῦ πείρας. B. Κιβώτιον τῆς ἀμάξης ἐφ' οὗ κατέθηκε (Barn. ins. τὶ) ὁ δεξάμενος. Vulg. edd. rec. 138. Σῖτον δ' αἰδοίη ταμίη] Τοῖς δὲ μνηστῆρσι δι' ἀπληστίαν καὶ ἀσωτίαν, Σῖτον δὲ δμωαὶ παρενήνεον (α'. 147.) Q. 141. Οἰνοχόει] Οὕτω διὰ τοῦ ει. Harl. 146. Αἰθούσης ἐριδούπου] Τὴν καταφρυάδα τῆς θύρας λέγει αἴθουσαν, ἀπὸ τῆς πρώτης (f. τοῦ πρώτου) εἴσω τῆς οἰκίας ἐκεῖθεν προβάλλειν τὸν ἥλιον ἐπανίσχοντα εἰς ὕψος οὐράν (scr. οὐρανοῦ). Q. Ἐριδούπου] Μεγαλοήχου. μεγαλόηχον δὲ λέγει τὸ πρόθυρον ἐκεῖνο ὡς ἦχε διὰ τὸ τὸν ἄνεμον ἐκεῖθεν μετὰ ἤχου σφοδροτέρου εἰσιέναι· ἢ διὰ τὸ τὴν θύραν μὴ εὔστροφον εἶναι ὡς ἐνίοτε συμπτύσσεσθαι, ἀλλ' ἦχον ἀποτελοῦσαν μέ-

χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
στῆ δ' ἵππων προπάροιθε· δειδισκόμενος δὲ προσηύδα·
Χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
εἰπεῖν· ἦ γὰρ ἔμοιγε, πατὴρ ὣς, ἤπιος ἦεν,
εἵως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
καὶ λίην κείνῳ γε, διοτρεφὲς, ὡς ἀγορεύεις,
πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἲ γὰρ ἐγὼν ὣς
νοστήσας Ἰθάκηνδε, κιχὼν Ὀδυσῆ' ἐνὶ οἴκῳ
εἴποιμ', ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
ἔρχομαι· αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
ἥμερον ἐξ αὐλῆς· οἱ δ' ἰΰζοντες ἕποντο
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
δεξιὸς ἤϊξε πρόσθ' ἵππων, οἱ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
Φράζεο δὴ, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
εἰ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας, ἦε σοὶ αὐτῷ.
Ὣς φάτο· μερμήριξε δ' ἀρηΐφιλος Μενέλαος,
ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.

151. λαϝῶν. 152. ϝειπεῖν. ϝώς. 153. ἐν] ἐνὶ H., vide ad 109. ib. Ἀχαιϝῶν. 157. κιχὼν] κιὼν V. W. ib. Ὀδυσῆ] Ὀδυσῆϊ H. ib. ϝοίκῳ. 158. ϝείποιμ'. 160. ϝοι ϝειπόντι. 164. ϝιδόντες. 167. Μενέλαϝε. λαϝῶν. 168. εἰ] ἦ, et εἰ adscriptum H. ἢ W. 169. Μενέλαϝος. 170. ϝοι.

γων τε καὶ ἀπαιτῶν. Q. 149. Λείψαντε[h]] Σπείσαντες. Harl. Vulg. 150. Δειδισκόμενος] Διαφιλοφρονούμενος. B. 152. Εἰπεῖν] Χαίρειν δηλονότι. Q. Οὕτως, εἰπεῖν εἶπε, εἴπετον. Harl. 157. Ἀττικόν ἐστιν, ὡς, Ἥρωι Λαομέδοντι[i] πολίσσαμεν (Il. η. 453.). Harl. 159. Αὐτὰρ ἐγὼ (sic) κειμήλια] Δεῖξω. Q. 162. Οἱ δ' ἰΰζοντες] Πρὸς τὴν στῆσιν ἔτρεχον πολὺν φωνὴν ἀφιέντες ἵνα ῥίψῃ τὴν χῆνα. B. Q. 168. "Ἦ, et εἰ adscr. in text. initio "versus. Schol. τὸ δεύτερον περισπαστέον ὡς ἐρωτηματικόν." PORS. ex Harl. 170. Ὑποκρίναιτο] Διακρίνοιτο. Q. Ἀποκριθείη. Vulg.

[h] Vulg. ed. ant. λείψαντες. σπ. mendose geminato σ. Nam statim subjectum: κιοίτην] ἀπέλθοιεν. Alias dixeris fuisse λείψαντες ἰόντων. BUTTM.
[i] Conf. schol. γ'. 35. BUTTM.

τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη φάτο μῦθον·
Κλῦτέ μευ, αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω.
ὡς ὅδε χῆν' ἥρπαξ', ἀτιταλλομένην ἐνὶ οἴκῳ,
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε, τόκος τε·
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν, καὶ πόλλ' ἐπαληθεὶς,
οἴκαδε νοστήσει, καὶ τίσεται· ἠὲ καὶ ἤδη
οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης,
τῷ κέν τοι καὶ κεῖθι, θεῷ ὣς, εὐχετοῴμην.
Ἦ, καὶ ἐφ' ἵπποιϊν μάστιν βάλεν· οἱ δὲ μάλ' ὦκα
ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος ποτὶ δῶμα,
υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,
ἵππους τε ζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
αἶψα δ' ἔπειθ' ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·
καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας

174. ἥρπαξ'] ἥρπαξεν H. ib. Ϝοίκῳ. 175. Ϝοι. 177. Ϝοίκαδε. 178. Ϝοίκοι. 181. Ϝώς. 187. Ὀρσιλόχοιο] ὀρτιλόχοιο H. 192. ἄκοντε] ἄκοντι V.

172. Μαντεύσομαι] Ἔνιοι, μαθήσομαι. Harl. 174. Ἀτιταλλομένην] Κυρίως μὲν ἐκ νηπίου, νῦν δὲ μετ' ἐπιμελείας τρεφομένην. B. Q. 177. Ἠὲ καὶ ἤδη οἴκοι] Ὑπακουστέον τὸ ἐστίν. Vulg. 180. Ἐρίγδουπος] Ἡ μεγαλόψοφος ἀκτή. Vulg. Cum neutiquam huc quadret hæc explicatio Barnesius ejus loco aliam ex Hesychio reposuit. Nostrum erat glossam ut erat restituere, simulque monere eam in edd. ant. rejectam esse inter glossas ad vv. 214. et 218. 184. Ζυγὸν ἀμφὶς ἔχοντες] Τὸν ζυγὸν ἑκατέρωθεν βαστάζοντες. B. Q. Ἀπὸ κοινοῦ τοῦ παρακολουθοῦντος τὸ ἔτρεχον. B. 186. Ἐς Φηράς] Διὰ τοῦ η τὴν πόλιν τὴν Λακωνικήν. Harl. Ἀπὸ Λακεδαιμονίας (scr. -νος] ἕως Φηρᾶς ἡμέρας ὁδὸς, ἀπὸ δὲ τῆς Φηρᾶς ἄχρι καὶ Πύλου

μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
ἐκ πατέρων φιλότητος· ἀτὰρ καὶ ὁμήλικές ἐσμεν·
ἥδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
μή με παρὲξ ἄγε νῆα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ,
μή με γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ,
ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼν θᾶσσον ἱκέσθαι.
Ὣς φάτο· Νεστορίδης δ' ἄρ' ἑῷ συμφράσσατο θυμῷ,
ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
στρέψ' ἵππους ἐπὶ νῆα θοὴν, καὶ θῖνα θαλάσσης·
νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
ἐσθῆτα, χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκε·
καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Σπουδῇ νῦν ἀνάβαινε, κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι, ἀπαγγεῖλαί τε γέροντι·
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
οἷος ἐκείνου θυμὸς ὑπέρβιος· οὔ σε μεθήσει·
ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται· οὐδέ σέ φημι
ἂψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.
Ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους
ἂψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανε.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσεν·
Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνῃ·

197. ἔσμεν] εἰμὲν H. εἶμεν W. 200. με] μ' ὁ H. W. ib. ἀϝέκοντα. ϝῷ. ϝοίκῳ. 201. χρεὼν] χρεὼ H. W. ib. ϝιέμενος. 202. ἐϝῷ. 203. 204. ϝοι. 207. ϝεσθῆτα. ϝοι Μενέλαϝος. 208. ϝέπεα. 209. νῦν omittit H. ib. τε] δὲ H. 210. ϝοίκαδ'. 211. ϝοῖδα. 213. οὐδέ σε] οὐδέ ἑ, ex emend. H. W. 215. ἔλασεν] ἔλασσε H. 216. ϝάστυ.

ἄλλῃ ἡμέρᾳ. B. 198. Ὁμοφροσύνῃσιν] Φιλίαις γνησιωτέραις. B. Q. Vulg. 199. Μή με παρὲξ ἄγε νῆα] Ἀντὶ τοῦ, παρὲξ ἄγε νηός. B. Μή με παρὰ τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν ναῦν, ἄλλην ἀγάγῃς. B. Vulg. Μή με παρὲξ ἄγε νῆα] Εἰς τὴν πόλιν πρὸς τὸν Νέστορα. ἀλλ' ἐντεῦθεν αὐτὸς μὲν εἰ βούλοιο ἀπελθεῖν εἰς τὴν πόλιν, ἐμὲ δὲ λίπε ἐντεῦθεν ἐπὶ τὴν ναῦν βαδίσας (scr. βαδίσαι). Q. 200. Μή με γέρων ἀέκοντα] Μέμνηται τοῦ, Χρὴ ξεῖνον παρεόντα φιλεῖν ἐθέλοντα δὲ πέμπειν (74.). Q. 206. Νηῒ δ' ἐνὶ πρύμνῃ] Στὰς ἐπὶ τῆς πρύμνης ἐδέχετο δῶρα. τὸ δὲ, ἐξαίνυτο, σημαίνει τὸ ἐξῃρεῖτο. ὅθεν ἡ τοὺς ἰχθύας αἰνυμένη τοὺς γόμφους (scr. τοῖς γόμφοις) τρίαινα. B. Q. 212. Ὑπέρβιος] Ὑπερφυὴς, μεγαλοφυὴς, μεγαλόφρων. B. Ὑπὲρ δύναμιν. Vulg. 218. Ἐγκοσμεῖτε τὰ

αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν [illegible].
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
αἶψα δ' ἄρ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.
ἤτοι ὁ μὲν τὰ πονεῖτο, καὶ εὔχετο· θῦε δ' Ἀθήνῃ
νηὶ πάρα πρύμνῃ· σχεδόθεν δέ οἱ ἤλυθεν ἀνὴρ
τηλεδαπὸς, φεύγων ἐξ Ἄργεος, ἄνδρα κατακτὰς,
μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,
ὃς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
δὴ τότε γ' ἄλλων δῆμον ἀφίκετο, πατρίδα φεύγων,
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν

220. ἐπίθοντο] ἐπάκουον V. 222. θῦε] θύε V. 223. 230. fin. 225. γενεήν γε] γενεὴν δὲ V. 228. ἄλλων] ἄλλον H. W.

τεύχεα] Κατὰ κόσμον καὶ ἐν τάξει ποιεῖτε τὰ τῆς νεὼς ἐργαλεῖα. B. 223. Σχεδόθεν δέ οἱ ἤλασεν[k] ἀνήρ] Πολυφείδης ὁ Μαντίου (Mediol. ὁ μάντις) Σαριοῦσαν γήμας γίνονται αὐτῷ παῖδες Ἁρμονίδης καὶ Θεοκλύμενος. ὃς κτείνας ἐμφύλιον ἄνδρα φεύγει εἰς τὴν Πύλον. συντυχὼν δὲ θύοντι Τηλεμάχῳ δεῖται αὐτοῦ σῶσαι αὐτὸν εἰς τὴν Ἰθάκην. ὁ δὲ αἰδεσθεὶς τὴν τοῦ ἀνδρὸς φυγὴν καὶ κατελεήσας τὸν ὁμήλικα σὺν ἑαυτῷ τοῦτον ἄγεται εἰς τὴν Ἰθάκην. εἰπόντα δὲ αὐτὸν τὰ περὶ τοῦ πατρὸς ἀληθῆ μαντεῖα πολὺ μᾶλλον ἐτίμησεν. ὅθεν καὶ Θεοκλύμενος φιλοφρονούμενος ὑπὸ τῶν περὶ τὸν Ὀδυσσέα δεῦρο τὸν βίον καταστρέφει. ἡ ἱστορία παρὰ Φερεκύδῃ (Sturz. num. 77.). Vulg. Q. 224. Τηλεδαπός] Τηλόθεν ὑπερορικός. Ἄργεος δὲ, οὐ τῆς πόλεως ἀλλὰ τῆς χώρας. B. 225. Μελάμποδος ἔκγονος ἦεν] Μελάμπους ὁ Ἀμυθάονος παῖς πολλὰ μὲν καὶ ἄλλα διὰ τῆς μαντικῆς τεράστια ἐποίησεν, οὐχ ἥκιστα δὲ αὐτῶν καὶ οὗτος ἐνδοξότατος ἆθλος ἐγένετο. τῶν γὰρ Προίτου θυγατέρων τοῦ βασιλέως τῶν Ἀργείων Λυσίππης καὶ Ἰφιανάσσης διὰ τὴν ἐκ νεότητος (Vulg. τὴν ἀκμαιότητος) ἀπειλογιστίαν ἁμαρτουσῶν εἰς Ἥραν· παραγενόμεναι γὰρ εἰς τὸν τῆς θεοῦ ναὸν ἔσκωπτον αὐτὸν λέγουσαι πλουσιώτερον μᾶλλον εἶναι τὸν τοῦ πατρὸς οἶκον· καὶ διὰ τοῦτο μάντις ὢν (sic uterq. lib. scr. μανεισῶν) παραγενόμενος ὁ Μελάμπους ὑπέσχετο πάσας (Q. πάντας. scr. πάντως) θεραπεύειν εἰ λάβοι κατάξιον τῆς θεραπείας μισθόν. ἤδη γὰρ ἡ νόσος δεκαετὴς καὶ ἀηδόνην φέρουσα οὐ μόνον αὐταῖς κόραις ἀλλὰ καὶ τοῖς γεγεννηκόσι. ἐπαγγειλαμένου δὲ τοῦ Προίτου τῷ Μελάμποδι καὶ μέρος τῆς βασιλείας καὶ μίαν τῶν θυγατέρων ἣν ἂν ἐθέλοι εἰς γάμον δοῦναι, ἰάσατο τὴν νόσον Μελάμπους διά τε ἱκεσιῶν καὶ θυσιῶν τὴν Ἥραν μειλιξάμενος. καὶ λαμβάνει πρὸς γάμον Ἰφιάνασσαν ἕδνον αὐτὴν τῶν ἰατρειῶν καρπωσάμενος. ἡ ἱστορία παρὰ Φερεκύδῃ (Sturz. num. 26. p. 131.). Q. Vulg. 226. Ὃς πρὶν μέν ποτ' ἔναιε] Ὁ Μελάμπους. Vulg. 227. Πυλίοισι μέγ' ἔξοχα] Ἡ γραφὴ, μετὰ, ἀντὶ τοῦ ἐν. Harl. 230. Ὅς οἱ χρήματα] Οἱ

[k] Sic ed. ant. textus editus, ἤλυθεν. BUTTM.

εἶχε βίῃ· ὁ δὲ τέως μὲν ἐνὶ μεγάροις Φυλάκοιο
δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων,
εἵνεκα Νηλῆος κούρης, ἄτης τε βαρείης,
τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐριννύς.
ἀλλ' ὁ μὲν ἔκφυγε κῆρα, καὶ ἤλασε βοῦς ἐριμύκους
ἐς Πύλον ἐκ Φυλάκης, καὶ ἐτίσατο ἔργον ἀεικὲς
ἀντίθεον Νηλῆα, κασιγνήτῳ τε γυναῖκα
ἠγάγετο πρὸς δώμαθ'· ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
ναιέμεναι πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν·
ἔνθα δ' ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα,
γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Ὀϊκλῆα μεγάθυμον·
αὐτὰρ Ὀϊκλείης λαοσσόον Ἀμφιάρηον,
ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος, καὶ Ἀπόλλων,

234. 239. Fει. 236. Fέργον ἀFεικές. 237. τε] δὲ H. W. 240. πολλοῖσιν ἀνάσσοντ'] πολλοῖσι τ' ἀνάσσων H. ib. Fανάσσοντ' ἈργείFοισιν. 241. ὑψερεφὲς] ὑψηρεφὲς hic et 423. 431. H. 244. λαFοσσόον.

(scr. οἱ), ἀντὶ τοῦ αὐτοῦ. ὡς ἐκείνου ὑποσχομένου φέρειν τὰς βοῦς ἀντὶ ἕδνων. τῆς κόρης γὰρ τὴν οὐσίαν ἀπέσπασεν. B. Q. Βιασθέντες ὑπὸ τῶν Ἰφίκλου βασιλέων ἀπήνεγκε τὰ χρήματα καταφρονήσας ὡς οὐ γενναίων αὐτῶν[1]. Vulg. 231. Τέως μέν] Ἕως τοῦ τελειωθῆναι τὸν ἐνιαυτόν. Pal. Vulg. Φυλάκοιο] Γράφεται, Ἰφίκλοιο. B. 233. Ἄτης τε βαρείης] Φρενοβλαβείας (scr. -βλαβίας, vel -βείας). Vulg. 234. Δασπλῆτις Ἐριννύς] Δυσπροσπέλαστος καὶ μεγάλως ἐμπελάζουσα. δυσχερὴς ᾗ ἂν προσπελασθῇ. Vulg. Δασπλῆτίς τις οὖσα, ὅ ἐστι δυσπέλαστος, ἀντὶ τοῦ καταπληκτική. Ἡ Ἐριννύς, φησὶν, ἔθηκεν εἰς νοῦν τῷ Μελάμποδι τὸ τὰς βοῦς Ἰφίκλου ὑποσχέσθαι τῷ Νηλεῖ. B. Q. 236. Καὶ ἐτίσατο ἔργον ἀεικές] Καὶ ἐτιμωρήσατο τὸν Νηλέα ὑπομείνας ἔργον χαλεπόν. Vulg. Ἀντὶ τοῦ ἐξέτισε τῷ Νηλεῖ τὸ ἐπιταχθὲν ἔργον, ὃ ἦν ἀεικὲς, ὅ ἐστι σκληρὸν καὶ μὴ εἶκον ἀλλὰ δυσκατόρθωτον. ἢ τὰ ἴδια χρήματα ἀναλαβὼν τὸν κατέχοντα ἐτιμωρήσατο. τιμωρία γὰρ ἦν ἀφαιρήσασθαι (scr. -σεσθαι) χρημάτων τὸν περὶ χρήματα ἄπληστον. B. Q. Μετὰ τὸ ἐνεχθῆναι τὰς βοῦς Νηλεὺς οὐ παρεῖχε τὴν κόρην ἕως ὅτου μάχῃ νικήσηται ὑπὸ τῶν Ἀμυθαονιδῶν. B. Q. 239. Τόθι] Γρ. ἔθι. Harl. 242. Μάντιον] Ὡς Φήμιον[m]. Harl. 244. Ἀμφιάρηον] Ἀρίσταρχος διὰ τοῦ α, Ζηνόδοτος διὰ τοῦ η. Harl. 245. Καὶ

[1] Cod. Q. habet tantum verba 'Τοῦ—χρήματα. Unde patere puto, vocem Βιασθέντες ad sequentia non pertinentem corruptam esse e nomine Βίαντος, ad vocem textus χρήματα relato a grammatico, cui dativus οἱ non, ut superiori illi, esset pro genitivo. In ceteris lux adhuc expectanda est hisce scholiis perinde ut ipsi poetae narrationi. Conf. supra schol. λ'. 287. et 290. BUTTM.

[m] i. e. hae voces eundem accentum habent. Hinc nata est varia lectio a Clarkio memorata, Φήμιον. PORS.

παντοίῃ φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν,
ἀλλ' ὄλετ' ἐν Θήβῃσι, γυναίων εἵνεκα δώρων.
τοῦ δ' υἱέες ἐγένοντ' Ἀλκμαίων, Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδεά τε, Κλεῖτόν τε·
ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς,
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάρηος·
ὅς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο, πατρὶ χολωθεὶς,
ἔνθ' ὅγε ναιετάων μαντεύετο πᾶσι βροτοῖσι.
Τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐκίχανε
σπένδοντ', εὐχόμενόν τε, θοῇ παρὰ νηῒ μελαίνῃ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
σῆς τ' αὐτοῦ κεφαλῆς, καὶ ἑταίρων, οἵ τοι ἕπονται,
εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς·
τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

249. ϝοῖο. 253. Ἀμφιάρηος] ἀμφιάρ"ος H. 259. ϝέπεα. 263. ϝειπέ.

Ἀθήνη text. Γρ. καὶ Ἀπόλλων. Vind. 5. 246. Οὐδ' ἵκετο γήραος οὐδόν] Ὁ δὲ παρὰ σύνταξιν κεῖται. λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν οὐκ ἐγήρασε. τὸ οὖν ἑξῆς, γήραος δὲ οὐδὸν οὐχ ἵκετο. ὅμοιον δέ ἐστι τῷ, Οὐδ' Ἀγαμέμνων λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ (Il. α'. 318.). τὸ γὰρ ἑξῆς, Ἀγαμέμνων δ' οὐ λῆγ' ἔριδος. Τοῦτο Μένανδρος[a] οὐ προσεσχηκὼς εἶπεν, ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος. Q. Ἢ σύμβολον τῆς θεοφιλίας τὸ μὴ καταγηράσαι, ἢ παρὰ σύνταξιν κεῖται. λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν οὐκ ἐγήρασε. τὸ οὖν ἑξῆς, γήραος δὲ οὐδόν. B. Θεὸς γὰρ πεπρωμένης οὐκ ἀπολύει, ζῶντι δὲ ἀγαθῶν αἴτιος γίνεται. ἢ τὸ Μενάνδρειον, ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος. Vulg. 247. Γυναίων εἵνεκα δώρων] Τὸν ὅρμον ἐπὶ τῷ Ἀμφιαράῳ ἀκουστέον. Vulg. 248. Οὐκ οἶδεν Ὅμηρος τὸν Ἀλκμαίωνα μητροκτόνον. Vind. 133. 254. Ὑπερησίην] Πόλις Ἄργους ἡ Ὑπερησία. εἶπε γὰρ ὅτι ἐξ Ἄργους ἦλθεν ὁ Θεοκλύμενος. B. Q. 261. Λίσσομ' ὑπὲρ θυέων] Ὑπὲρ ταύτης τῆς θυσίας καὶ τοῦ δαίμονος ᾧ θύεις. ἀντὶ τοῦ, τῆς θυσίας τοῦ δαίμονος (Mediol. ἀντὶ τοῦ, κατὰ τῆς θ. καὶ τοῦ δ.) Vulg. B. Q. Ἠδὲ τοκῆων text. Γρ. αὐτὰρ ἔπειτα. Vind. 133.

[a] Post Μένανδρος ins. (Δὶς ἐξαπ. fr. 1.) BUTTM.

τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
ἐξ Ἰθάκης γένος εἰμὶ, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεὺς,
εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν
ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε, ἔται τε,
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιοί·
τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν
φεύγω· ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης·
ἀλλ' ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν.
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
καὶ τό γ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσατο ποντοπόροιο.
ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο· πὰρ δέ οἱ αὐτῷ
εἷσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
στῆσαν ἀείραντες· κατὰ δὲ προτόνοισιν ἔδησαν·
ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.

271. προσέϝειπε. θεοϝειδής. 272. τοι] τοι (δὲ) H. 273. ϝέται. 274. Ἀχαιοί] ἀχαιῶν H. V. W. ib. Ἀχαιϝοί. 277. ἔφεσσαι] ἐφέσσαι V. 280. ἐϝίσης. 282. 285. ϝοι. 283. τόδ'] τόγ' H. W. ib. νεὸς] νηὸς H. ib. ἀμφιϝελίσσης. 284. ἐβήσατο] ἐβήσετο H. 287. ἐποτρύνας] ἐποτρύνων V.

266. Ἀγορεύσω] Γρ. καταλέξω. Harl. Vind. 133. 272. Οὕτω τοι καὶ ἐγών] Ὡς ὁρᾷς, μόνος φεύγω. Vulg. 276. Γρ. κατὰ χρόνους. Harl. 277. Ἔφεσσαι] Ἀντὶ τοῦ, ἔφεσον, ἐπιβίβασον. B. 282. Οἱ ἐδέξατο χάλκεον ἔγχος] Κάτω ὃν ἐκτείνας τὴν χεῖρα ἔδωκεν εἰς τὸ πλοῖον τὸ δόρυ, μετὰ δὲ τὸ δοῦναι δόρυ εἶτα ἀνέβη. B. Λείπει ἡ παρὰ, ἵν' ᾖ παρ' αὐτοῦ. Q. 283. Ἐπ' ἰκριόφιν] Ἐπὶ τὸ

τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡ δὲ Φερὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ,
ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
ὁρμαίνων, ἤ κεν θάνατον φύγοι, ἤ κεν ἁλώῃ.
Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
εἴ μιν ἔτ' ἐνδυκέως φιλέοι, μεῖναί τε κελεύοι
αὐτοῦ ἐνὶ σταθμῷ, ἦ ὀτρύνειε πόλινδε·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
ἀλλά μοι εὖ θ' ὑπόθευ, καὶ ἅμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον,
ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.

294. Post hunc versum uncinis inclusum habet W. βῆν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καλλιρέεθρον. 296. Φερὰς] Φεὰς W. 297. δῖϝαν. 299. ἤ] εἴ bis, H., ex emend. V. 300. κλισίῃ] κλισίης H. κλισίῃς V. ib. δῖϝος. 303. τοῖς] τοῖς δ' H. W. ib. μετέϝειπε. 304. εἴ μιν ἔτ'] εἴ μ' ἔτ', sed in marg. εἴ μιν H. ib. φιλέοι] φιλέει H. 306. νῦν Εὔμαιε] νῦν εὔμαιε H. 307. ϝάστυ.

κατάρκτιον[p]. Q. 293. Ἐπαιγίζοντα] Ἀριστοφάνης, ἐπαΐσσοντα. Αἰγίδας ἔλεγον τὰς ὑφ' ἡμῶν καταιγίδας καὶ σφοδρὰς πνοὰς τῶν θυελλῶν (ἀελλῶν Vind.). Q. Vind. 133. 296. Τὰς Φηρὰς λέγει. εἶπε δὲ διὰ τὸ μέτρον, Φεράς. Γρ. καὶ, Φεάς. περὶ ἧς φησι, Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα (Il. η'. 135.). Vind. 133. Harl. Ἐπέβαλλεν] Προῄει (προσῄει em. Barn.), ἀντὶ τοῦ παρῄει. Vulg. 298. Νήσοισιν ἐ. θοῇσιν] Ταῖς ὀξείαις λεγομέναις, μεταληπτικῶς. B. Q. Vulg. ἐκ τοῦ κατὰ κίνησιν ὀξέος ἐπὶ τὸ κατὰ σχῆμα. Vulg. 309. Γρ. καὶ μ' ἡγεμόνα. Harl. 311. Κοτύλην] Ἐκπώματος ἤτοι ποτηρίου εἶδος τοσούτου καὶ μέτρου (Vulg. μέτρον). B. Vulg. Ἤτοι

[p] Sensus flagitat κατάστρωμα: sed fieri potest ut scholiastes confuderit τὸ κατάρκτιον, quod alias est malus. Vid. Schneid. Cf. schol. γ'. 353. ubi ἰκρίον explicatur ὁ ἱστός. BUTTM.

καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο
ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ·
καί κεν μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην,
εἴ μοι δεῖπνον δοῖεν, ὀνείατα μυρί' ἔχοντες.
αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅ, ττι θέλοιεν·
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
Ἑρμείαο ἕκητι διακτόρου, ὅς ῥά τε πάντων
ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος,
πῦρ τ' εὖ νῆσαι, διά τε ξύλα δανὰ κεάσσαι,
δαιτρεῦσαί τε, καὶ ὀπτῆσαι, καὶ οἰνοχοῆσαι·
οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει.
οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι, ἠδὲ χιτῶνας,

313. Ϝείποιμι. 314. κεν] κε W. 316. ὅ, ττι θέλοιεν] ὅττ' ἰθέλοιεν (sic) H. Voluit ὅττ' ἐθέλοιεν. PORS. ὅττ' ἐθέλοιεν V. W. 317. Ϝερέω. 318. Ϝέκητι. 319. Ϝέργοισι. 320. ἐρίσσειεν] ἐρύσσειε H. 322. ὀπτῆσαι] ὀπτῆσαί τε H. ib. Ϝοινοχοῆσαι. 326. ἦ] ἢ V. 330. Ϝειμένοι.

ὕδωρ κοτύλης ἤτοι ποτηρίου. Q. Πύρνον] Τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ. Πύρνος ἐστὶ πύρινος ψωμὸς ἀπὸ τοῦ πυρὸς, ὁ σῖτος. B. Q. 316. Δρώοιμι] Διακονοίην, δουλεύοιμι. Τὴν δὲ, σφίσιν, ὀρθοτονητέον καίπερ ἀπόλυτον οὖσαν. Q. Τὸ δὲ, ἐθέλοιεν, οὕτως αἱ Ἀριστάρχου φασὶ, τρισυλλάβως τὸ ἐθέλω. Harl. 318. Ἑρμείαο ἕκητι] Ὅτι κῆρυξ. καὶ γὰρ παρ' Ὁμήρῳ τὰ πολλὰ οὗτοι ποιοῦσι· Κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες οἱ μὲν ἄρ' οἶνον ἔμισγον (α'. 109.). καὶ παρὰ τοῖς ἥρωσι δὲ κήρυκες οἱ ταῦτα ὑπουργοῦντες. Q. Ἐπειδὴ κῆρυξ. καὶ παρὰ τοῖς ἥρωσι etc. Vulg. Ἐπειδὴ τὸν Ἑρμῆν τοῦ λόγου λέγουσιν ἔφορον καὶ τῶν τεχνῶν ἐπιστήμονα λέγει Ὀδυσσεὺς ὅτι, τῇ τούτου βουλῇ ἐν πάσαις ὑπηρεσίαις δοκιμώτερος τῶν ἄλλων φανήσομαι. Q. 320. Δρηστοσύνῃ] Τέχνῃ μαγειρικῇ. Pal. (sed confudit glossator δαιτροσύνην [q]). 321. Πῦρ τ' εὖ νῆσαι [r]] Ξύλα σωρεῦσαι ἕνεκεν τοῦ πῦρ ποιῆσαι. Vulg. B. Καταστρέφει δὲ εἰς τὸ φυλάξαι πῦρ. B. Κεάσσαι] Καῦσαι· ἢ σχίσαι. Vulg. 323. Δρώω-

[q] Sed cf. schol. ε'. 75. BUTTM.
[r] Falsum in Mediol. lemma præpositum ξύλα πολλὰ κεάσσαι: πολλὰ, nota varietate pro δανά. BUTTM.

αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
οἵ σφιν ὑποδρώωσιν· εὔξεστοι δὲ τράπεζαι
σίτου καὶ κρειῶν, ἠδ᾽ οἴνου, βεβρίθασιν.
ἀλλὰ μέν᾽· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
οὔτ᾽ ἐγὼ, οὔτε τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν.
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱὸς,
κεῖνός σε χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσει,
πέμψει δ᾽, ὅππῃ σε κραδίη, θυμός τε, κελεύει.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
αἴθ᾽ οὕτως, Εὔμαιε, φίλος Διῒ πατρὶ γένοιο,
ὡς ἐμοὶ, ὅττι μ᾽ ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς·
πλαγκτοσύνης δ᾽ οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν·
ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς κακὰ κήδε᾽ ἔχουσιν
ἀνέρες, ὅν κεν ἵκηται ἄλη, καὶ πῆμα, καὶ ἄλγος.
νῦν δ᾽ ἐπεὶ ἰσχανάας, μεῖναί τέ με κεῖνον ἄνωγας,
εἴπ᾽ ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο,
πατρός θ᾽, ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
εἴ που ἔτι ζώουσιν ὑπ᾽ αὐγὰς ἠελίοιο,
ἦ ἤδη τεθνᾶσι, καὶ εἰν Ἀΐδαο δόμοισι.
Τὸν δ᾽ αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω·
Λαέρτης μὲν ἔτι ζώει, Διῒ δ᾽ εὔχεται αἰεὶ
θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο,
κουριδίης τ᾽ ἀλόχοιο, δαΐφρονος, ἥ ἑ μάλιστα
ἤκαχ᾽ ἀποφθιμένη, καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.

333. καὶ Ϝοίνου. 337. Ϝείματα Ϝέσσει. 339. δῖϜος. 343. κήδε᾽] μήδε᾽ H. 344. ἀνέρες] ἀνέρος V. ib. ὅν κεν] ὅν τιν᾽ et ὃν super ὅν H. ὅντιν᾽ V. 346. Ϝείπ᾽. 348. ζώουσιν] ζώωσιν V. 350. προσέϜειπε. 352. ΛαϜέρτης. 353. ἀπὸ] ἀπὲκ V. ib. φθίσθαι] φθεῖσθαι H. ib. οἷς ἐν μεγάροισιν] μεγάροισιν ἑοῖσιν V. ib. Ϝοῖς. 355. δαϜίφρονος. Ϝε.

σι] Διακονοῦσιν. Vulg. 332. Οἵ σφιν ὑποδρώωσιν] Ἐχρῆν ἀναστρέφεσθαι τὴν ὑπο, ἵνα ᾖ ὑπό σφιν. Τὸ δὲ εὔξεστοι ἀντὶ τοῦ καλῶς ἐξεσμέναι ἤτοι εἰργασμέναι. Q. 333. Σίτου] Δισυλλάβως μετρητέον καὶ τοῦτον τὸν στίχον. Vind. 133. 344. Ἀνέρες] Τὸ ἑξῆς, ὃν ἐφάψεται ἡ ἄλη, ἤτοι ἡ πλάνη, τὸ πῆμα καὶ τὸ ἄλγος. Q. 346. Μητρὸς Ὀδυσσῆος] Περὶ τοῦ πατρὸς βουλόμενος μαθεῖν, ὑποκρίνεται τὸν μὴ εἰδότα περὶ Ἀντικλείας. Vulg. Q. 356. Ὠμῷ γή-

ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
λευγαλέῳ θανάτῳ· ὡς μὴ θάνοι, ὅστις ἔμοιγε
ἐνθάδε ναιετάων φίλος εἴη, καὶ φίλα ἔρδοι.
ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
θυγατέρ' ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
αὐτὰρ ἐπεὶ ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,
τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν, καὶ μυρί' ἕλοντο.
αὐτὰρ ἐμὲ χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐκείνη
καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δοῦσα,
ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
ἔργον ἀέξουσιν μάκαρες θεοί, ᾧ ἔπι μίμνω·
τῶν δ' ἔφαγόν τ' ἔπιόν τε, καὶ αἰδοίοισιν ἔδωκα.
ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχόν ἐστιν ἀκοῦσαι
οὔτ' ἔπος, οὔτε τι ἔργον· ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν.

357. Ϝοῦ. 358. θάνοι] θάνῃ V. 359. Ϝέρδοι. 362. οὕνεκά μ' αὐτὴ θρέψεν] οὕνεκ' αὐτή μ' ἔθρεψεν H. 367. εἵματ' ἐκείνη] εἵματα κείνη V. ib. Ϝείματ'. 368. ἀμφιϜέσασα. 370. ἐπιδεύομαι] ἔτι δεύομαι H. 371. ἔπι μίμνω] ἐπιμίμνω W. ib. Ϝέργον. 372. δ' omittit W. 374. οὐ Ϝέπος. Ϝέργον. Ϝοίκῳ.

μαι] Πρὸ ὥρας γηρᾶσαι ἐποίησεν διὰ τὴν ἐν αὐτῇ λύπην. Vulg. B. Q. ἀπαραμύθητον γὰρ αὐτὴν[*] ἀφῆκεν τὸ πρὸ ὥρας καὶ θᾶττον τοῦ προσήκοντος. B. Q. 360. Ὄφρα μὲν οὖν δὴ κείνη] Τούτου ἡ ἀπόδοσις ἐν τῷ, ἐκ δ' ἄρα δεσποίνης, ἵν' ᾖ, ὅτε μὲν ἔζη ἡ Ἀντίκλεια τότε καὶ ἠρώτων περὶ Ὀδυσσέως καὶ ἐπεζήτουν τὰ κατὰ τὸν οἶκον, φιλοδμωος γὰρ ὑπ' αὐτῆς ὡς ἂν υἱὸς αὐτῆς. νῦν δὲ οὐδὲ ἀποκρίσεως ἡμᾶς τυχεῖν περὶ τῆς Πηνελόπης[1]· τοῦ γὰρ κακοῦ τῶν μνηστήρων ἐμπεσόντος οὐδὲ λαλῆσαί τινι βούλεται. Q. 362. Κτιμένῃ] Κτιμένη κυρίως ἐκαλεῖτο ἡ Ὀδυσσέως ἀδελφὴ, ἧς ὁ Εὐρύλοχος ὑπονοεῖται ἀνήρ. λέγει γὰρ, Καὶ πηῷ περ ἐόντι μάλα σχεδὸν (κ'. 441.) B. Q. 363. Ὁπλοτάτην τέκε παίδων] Θηλειῶν γοῦν. Μοῦνον δ' αὖτ' Ὀδυσσῆα πατὴρ τέκε (π'. 119.). καὶ πλείους οὖν αἱ Ὀδυσσέως (ἀδελφαὶ add. Mai.). Q. 364. Ὁμοῦ] Ἐν τῷ αὐτῷ τόπῳ. Vulg. 370. Τούτων ἐπιδεύομαι (B. ἔτι δεύομαι)] Ὧν ἡ Ἀντίκλεια ἐχαρίζετο τούτων ἐνδεής εἰμι. B. Q. Vulg. 371. Ἔργον ἀέξουσι] Τὴν κακοπάθειαν. Q. 372. Καὶ

[*] Pro αὐτὴν scr. αὐτόν. BUTTM.
[1] Leg. vid.—οὐδὲ ἀποκρίσεως ἡμᾶς τυχεῖν ἔστι παρὰ τῆς Πηνελόπης. BUTTM.

ἀντία δεσποίνης φάσθαι, καὶ ἕκαστα πυθέσθαι·
καὶ φαγέμεν, πιέμεν τε· ἔπειτα δὲ καί τι φέρεσθαι
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὢ πόποι, ὡς ἄρα τυτθὸς ἐὼν, Εὔμαιε συβῶτα,
πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
ᾗ ἔνι ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ·
ἦ σέ γε μουνωθέντα παρ' οἴεσιν, ἢ παρὰ βουσὶν,
ἄνδρες δυσμενέες νηυσὶν λάβον, ἠδ' ἐπέρασσαν
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὁ δ' ἄξιον ὦνον ἔδωκε.
Τὸν δ' αὖτε προσέειπε συβώτης ὄρχαμος ἀνδρῶν·
ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
ἥμενος· αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
ἔστι δὲ τερπομένοισιν ἀκουέμεν· οὐδέ τί σε χρὴ,
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
εὑδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφι
δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε, δαινυμένω τε,
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι,
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,
ὅστις δὴ μάλα πολλὰ πάθῃ, καὶ πόλλ' ἐπαληθῇ.
τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς·

376. φάσθαι] φᾶσθαι H. ib. ϝέκαστα. ἄπαντα corrigit Kidd ad Dawes. M. C. p. 253. 382. ϝειπέ. 384. ᾗ] ἧ V. 385. ἦ σε] ᾗ pro v. l. V. ib. οἴεσιν] ὄεσσι V. 386. ἠδ' ἐπέρασσαν] ἠδὲ πέρασσαν V. 388. προσέϝειπε. 390. ϝοῖνον. 394. ὅτινα] ὅντινα H. 401. ϝερέω.

αἰδοίοισιν ἔδωκα] Οὕτω τοὺς ἱκέτας ἔλεγον. Q. 378. Ἐνὶ στήθεσσιν text. Γρ. ἀεὶ δμώεσσιν. Vind. 133. 392. Ἀκουέμεν] Ἀρίσταρχος, ἀκούειν, ὡς εὕδειν. Harl. 393. Πρὶν ὥρην sic in lemmate ed. ant. et tamen schol. Ἐλλείπει, γένηται. Vulg. 396. Ἀνακτορίῃσιν] Ὁ μὲν Ἀρίσταρχος, ταῖς δεσποτικαῖς. ὁ δὲ Ἀριστοφάνης, ὧν ἕκαστος ἄρχει, ὅθεν καὶ ὁ χειρόναξ. B. Vind. 133. 398. Κήδεσιν ἀλλήλων τερπώμεθα] Καὶ ἐν ταῖς δειναῖς διηγήσεσι τέρπεται ἀνὴρ ὢν ἐν θλίψεσι καὶ ἀκούων ἑτέρου λέγοντος τὰ ἑαυτοῦ ἄλγεα.

Νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
οὔτι περιπληθὴς λίην τόσον· ἀλλ' ἀγαθὴ μὲν,
εὔβοτος, εὔμηλος, οἰνοπληθὴς, πολύπυρος·
πείνη δ' οὔποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν,
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
τῇσιν δ' ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε,
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἤλυθον ἄνδρες,
τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνῃ.
ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ,
καλή τε, μεγάλη τε, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα·
τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον·
πλυνούσῃ τις πρῶτα μίγη, κοίλῃ παρὰ νηῒ,
εὐνῇ καὶ φιλότητι· τά τε φρένας ἠπεροπεύει
θηλυτέρῃσι γυναιξὶ, καὶ εἴ κ' εὐεργὸς ἔῃσιν.

405. ϝοινοπληθής. 410. ϝοῖς. 412. ἐμβασίλευε] ἐβασίλευε H. 413. ἐπιϝείκελος. 416. ϝοίκῳ. 417. ϝέργα ϝειδυῖα. 418. τὴν δ' ἄρα] τῇ δ' ἄρα V. 421. εἰ] ἢ H., ex emend. V. W. ib. εὐϝεργός.

B. Q. 402. Συρίη] Μία τῶν Κυκλάδων νήσων καλεῖται. Vulg. B. Q. ἡ παρ' ἡμῖν λεγομένη Σύρα[*]. B. Q. 403. Ὅθι τροπαὶ ἠελίου] Ἔνθα φασὶν εἶναι ἡλίου (Vulg. τὸ ἡλίου) σπήλαιον, δι' οὗ σημειοῦνται τὰς τοῦ ἡλίου τροπάς. Q. Vulg. Οἷον ὡς πρὸς τὰς τροπὰς ἡλίου, ὅ ἐστιν ἐπὶ τὰ δυτικὰ μέρη ὑπεράνωθεν τῆς Δήλου. B. Q. 406. Οὐδέ τις ἄλλη νοῦσος] Τῷ λιμῷ τὴν νοῦσον συνέζευξεν ἐπεὶ τῷ λιμῷ καὶ λοιμὸς παρακολουθεῖ. Λιμὸν ὁμοῦ καὶ λοιμὸν ἀποφθινύθουσι δὲ λαοί (Hes. Ἔ. 241.). Q. 409. Ἔστιν ἐν χρήσει οὗτος ὁ στίχος. Pal. 415. Τρῶκται] Ἀπατεῶνες, κλέπται. Q. Φιλάργυροι, πανοῦργοι. Vulg. 416. Γυνὴ Φοίνισσ'] Κυρίως γυναῖκα εἶπεν ὡς καὶ ἄνδρα τὸν ἄνθρωπον. B. Q. Ταῦτα δὲ οἱ Φοίνικες ἴσως Λαέρτῃ διηγήσαντο πολλοῦ ἄξιον αὐτὸν ὑποφαίνοντες (huc. Vulg.) Λαέρτης δὲ Εὐμαίῳ διηγήσατο. οὐ γὰρ οἷόν τε εἰδέναι τὸ ἀληθὲς νήπιον ἡρπαγμένον. B. Q. (Vid. ad 484.) 419. Πλυνούσῃ τις] Voci τις in Harl. superscriptum γρ. ῇ. (Vindobb. aliquot in textu habent τῇ.) 421. Εἴ

[*] Immo Σύρα, ut vocatur apud Diog. Laert., Hesych. Miles. et Suidam. Vid. Menag. ad Diog. 1, 119. BUTTM.

εἰρώτα δὴ ἔπειτα, τίς εἴη, καὶ πόθεν ἔλθοι·
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
Ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι·
κούρη δ' εἰμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
ἀλλά μ' ἀνήρπαξαν Τάφιοι, ληΐστορες ἄνδρες,
ἀγρόθεν ἐρχομένην· πέρασαν δέ με δεῦρ' ἀγαγόντες
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκε.
Τὴν δ' αὖτε προσέειπεν ἀνὴρ, ὃς ἐμίσγετο λάθρη·
ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο,
ὄφρα ἴδῃς πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ,
αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ, καὶ ἀφνειοὶ καλέονται.
Τὸν δ' αὖτε προσέειπε γυνὴ, καὶ ἀμείβετο μύθῳ·
εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
ὅρκῳ πιστωθῆναι, ἀπήμονά μ' οἴκαδ' ἀπάξειν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν.
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
τοῖς δ' αὖτις μετέειπε γυνὴ, καὶ ἀμείβετο μύθῳ·
Σιγῇ νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
ὑμετέρων ἑτάρων, συμβλήμενος ἢ ἐν ἀγυιῇ,
ἤ που ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
ἐλθὼν ἐξείπῃ· ὁ δ' ὀϊσσάμενος καταδήσῃ
δεσμῷ ἐν ἀργαλέῳ, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον.

422. εἰρώτα δὴ ἔπειτα] ἠρώτα δ' ἤπειτα H. ἠρώτα etiam W. 423. ὑψερεφὲς] ὑψιρεφὲς V. 429. προσέϝειπεν. 430. ϝοίκαδ'. 431. ἴδῃς] ἴδῃ, H. ἴδῃ W. ib. ϝίδῃς. 433. ἀμείβετο] ἀμείβετο, [ψατο] et 438. H. ib. προσέϝειπε. 435. ἀπήμονα ϝοίκαδ'. 436. ἀπώμνυον] ἐπώμνυον H. W. ἐπώμνυον V. 438. ἀμείβετο] ἀμείψατο V. ib. μετέϝειπε. 439. ϝεπέεσσιν. 440. ὑμετέρων] ἡμετέρων V. ib. συμβλήμενος] ξυμβλήμενος H. 441. μή τις] μή τις με V. ib. ποτὶ] πρὸς H. 442. ὀϊσσάμενος] ὀϊσάμενος, hic et ubique, W. ib. ἐκϝείπῃ. 443. ὑμῖν] ἡμῖν, et 451. V.

κ' [a] εὔεργος ἔῃσιν] Κἂν γὰρ καλοεργὸς ἡ γυνὴ καὶ ἐνάρετος πλανᾶται φιλότητι καὶ εὐνῇ. Q. 424. Σιδῶνος πολυχάλκου] Ἤτοι στεῤῥᾶς. ἐν αὐτῇ γὰρ χαλκὸς εὖ γίνεται. ἢ πλουσίας, ὡς τῆς πορφύρας ἐν αὐτῇ γινομένης. Vulg. Q. 425. Ῥυδὸν ἀφνειοῖο] Ῥύδην τὸν πλοῦτον ἔχοντος, τουτέστι τῷ πλούτῳ χύδην πλουτοῦντος. ἢ ἐπίῤῥοιαν ἔχοντος πλούτου. Vulg. 431. Γρ. ὄφρ' εἴδῃς. Harl. 434. Εἴη κεν καὶ τοῦτ'] Γένοιτο καὶ τοῦτο ἐπανελθεῖν με εἰς τὴν πατρίδα μου. B. Q. 436. Ἐπώμνυον, οὐκ ἀπώμνυον. ἀπομόσαι γὰρ τὸ μὴ ποιῆσαι. Harl.

[a] Schol. Harl. (an hoc nostrum?) teste Porsono habet ἢ κ'. BUTTM.

ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ' ἱκέσθω·
οἴσω γὰρ καὶ χρυσὸν, ὅτις χ' ὑποχείριος ἔλθῃ·
καὶ δέ κεν ἄλλ' ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην·
παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
κερδαλέον δὴ τοῖον, ἀματροχόωντα θύραζε,
τόν κεν ἄγοιμ' ἐπὶ νηός· ὁ δ' ὑμῖν μυρίον ὦνον
ἄλφοι, ὅπῃ περάσητε πρὸς ἀλλοθρόους ἀνθρώπους.
  Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς δώματα καλά.
οἱ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἡμῖν αὖθι μένοντες
ἐν νηῒ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο·
ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί·
ἤλυθ' ἀνὴρ πολυΐδρις ἐμοῦ πρὸς δώματα πατρὸς,
χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο·
τὸν μὲν ἄρ' ἐν μεγάρῳ δμωαὶ καὶ πότνια μήτηρ
χείρεσσιν ἀμφαφόωντο, καὶ ὀφθαλμοῖσιν ὁρῶντο,

446. ἐς] πρὸς H. 447. ὅτις] ὅστις pro v. l. V. ib. ἔλθῃ] εἴη, et hunc versum sequenti subjungit H. 451. ὑμῖν] ἡμῖν V. 452. πρὸς] κατ' Apollonius v. Ἄλφοι. PORS. κατ' W. 453 ϝειποῦσ'. 455. ἐμπολόωντο] ἐμπόλεοντο H. 458. πολυϝίδρις. 459. ἔερτο, sed κ insertum ex recens. Schol. deducit ἀπὸ τοῦ εἴρω H. ἔερκτο V. ἔερτο schol. Ven. ad Il. α'. 486. PORS. ib. ϝέϝερτο. 461. χείρεσσιν] χερσὶ τ' H. χείρεσί τ' V. χερσίν τ' W.

444. Ἐπείγετε δ' ὦνον ὁδαίων] Σπουδάζετέ φησι περὶ τὸν ἀγορασμὸν (Q. τὴν ἀγορασίαν) τῶν φορτίων. B. Q. Vulg. Ὁδαίων, τῶν εἰς ἐκδημίαν ἐπιτηδείων. B. Q. 445. Ἀλλ' ὅτε κεν δὴ νηῦς] Ἀλλ' ὅτε ἡ ναῦς πληρωθῇ τοῦ βίου ἡμῶν ἐλθέτω μοι ταχέως ἀγγελία πρὸς τὰ δώματα ὅτι ἀπελθεῖν μέλλετε. Q. 448. Ἐπίβαθρον] Τὸν ναῦλον τῆς ἐπιβάσεως τῶν νηῶν καταχρηστικῶς ἐπίβαθρον εἶπε. B. Q. 450. Κερδαλέον] Πανοῦργον καὶ ἤδη συνεκτροχάζειν μοι δυνάμενον. σύνθετον δὲ τὸ ἀμματροχόωντα. Τὸ δὴ τοῖον, τοιοῦτον ὡς καὶ ἕπεσθαι συντρέχοντα, καὶ ἀκολουθεῖν δυνάμενον. B. Q. ΑΜΑΤΡΟΧΩΝΤΑ (sic) ΘΥΡΑΖΕ. ἤτοι ἤδη δυνάμενον τρέχειν ἔξω. ἢ δυνατὸν ὄντα ἐπακολουθεῖν. Γράφεται καὶ, ἅμα τροχόωντα. Vulg. 455. Ἐμπολόωντο] Ἐπραγματεύοντο πωλοῦντες καὶ ἀγοράζοντες. B. Q. 457. Voci ἧκαν in Harl. superscriptum εἶκον. 458. Πολυΐδρις] Οὐκ ἐπὶ καλοῦ ἀλλ' ἐπὶ κακούργου καὶ ἀπατεῶνος. B. Q. 459. Χρύσεον ὅρμον] Περιδέῤῥαιον κόσμον. ἀπὸ τοῦ συνδεδέσθαι. Τὸ δὲ, ἔερκτο, σημαίνει τὸ συνδέδετο, ἀπὸ τοῦ εἴρω, τὸ συμπλέκω. B. Μετὰ δ' ἠλέκτροισιν] Ἠλέκτροις δὲ συνείληπτο. Ἔερτο] Συνεκέκλειστο. εἰργασμένος ἦν. Vulg. Γρ. ἠλέκτορσιν. Harl. 461. Χερσί

ὦνον ὑποσχόμεναι· ὁ δὲ τῇ κατένευσε σιωπῇ.
ἤτοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει·
ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε
εὗρε δ' ἐνὶ προδόμῳ ἠμὲν δέπα ἠδὲ τραπέζας
ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο.
οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν·
ἡ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπῳ
ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσι.
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,
ἔνθ' ἄρα Φοινίκων ἦν ἀνδρῶν ὠκύαλος νηῦς.
οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
ἀλλ' ὅτ' ἄρ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα·
ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ', ὡς εἰναλίη κήξ·
καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.
τοὺς δ' Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ·
ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν.
Τὸν δ' αὖ διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
Εὔμαι', ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας,

465. δέπα] δέπας H. 472. ἦν ἀνδρῶν] ἀνδρῶν ἦν H. W. 474. ἀναβησάμενοι] ἀναβησάμενω, et α super ε ex recens. H. 476. ὅτ' ἄρ'] ὅτε δὴ H. W. 482. Λαϝέρτης. ϝἑοῖσιν. 483. ϝίδον. 484. διϝογενής.

τ' text. Γρ. χείρεσσιν. Harl. 465. Δέπα] Ποτήρια. Vulg. Ἐκτατέον τὸ δέπας (scr. δέπα. PORS.), ποτήρια. Harl. 467. ΕΙΣ ΘΩΚΟΝ. εἰς βουλήν. ΦΗΜΗΝ. ἐκκλησίαν, συνέδριον. Vulg. 469. Ἀεσιφροσύνῃσι] Ματαιότησι, ἀφροσύναις, ἢ μωρίαις, ἀπὸ τοῦ ἄω τὸ πνέω. B. Q. 472. Ὠκύαλος] Ὠκεῖα, ταχεῖα, ταχύαλος. παραγώγως. Vulg. 478. Κήξ] Κῆξ (scr. κήϊξ), ὁ λάρος, καὶ συγκοπῇ, κήξ. Φαίνεται δὲ πεσοῦσα ἐπὶ κεφαλήν. καὶ γὰρ ἐκεῖνος οὕτως καταδύεται. B. Q. Ὄρνεον θαλάσσιον παραπλήσιον χελιδόνι. ἔνιοι δὲ λάρον αὐτὸν λέγουσιν, οἱ δὲ αἴθυιαν. Vulg. Q. 483. Οὕτω τήνδε γαῖαν ἐγὼν ἴδον (sic ed. ant.)] Εἰκὸς αὐτὸν ἀκηκοέναι παρὰ τοῦ Λαέρτου, ἢ

ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυμῷ.
ἀλλ' ἤτοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε
Ζεὺς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο πολλὰ μογήσας
ἠπίου, ὃς δή τοι παρέχει βρῶσίν τε πόσιν τε
ἐνδυκέως· ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἔγωγε
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος ἐνθάδ' ἱκάνω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
καδδραθέτην δ' οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
αἶψα γὰρ ἠὼς ἦλθεν ἐΰθρονος. Οἱ δ' ἐπὶ χέρσου
Τηλεμάχου ἕταροι λύον ἱστία· κὰδ δ' ἕλον ἱστὸν
καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
δεῖπνόν τ' ἐντύνοντο, κερῶντό τε αἴθοπα οἶνον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
Ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν·
αὐτὰρ ἐγὼν ἀγρόνδ' ἐπελεύσομαι, ἠδὲ βοτῆρας·
ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι·
ἠῶθεν δέ κεν ὕμμιν ὁδοιπόριον παραθείμην,
δαῖτ' ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
πῆ γὰρ ἐγὼ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ' ἵκωμαι
ἀνδρῶν, οἳ κραναὴν Ἰθάκην κατακοιρανέουσιν;
ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο;

486. ὅσα δὴ] ἅσσ' ὅσ' V. ib. Ϝέκαστα. 491. Ϝάστε'. 496. προϜέρυσσαν. 499. Ϝοῖνον. 502. Ϝάστυδ'. 503. ἀγρόνδ' ἐπελεύσομαι] ἀγροὺς ἀπελεύσομαι H. W. ἀπελεύσομαι V. 504. Ϝεσπέριος. Ϝάστυ Ϝιδὼν. Ϝέργα. 505. ὕμμιν] ὑμῖν V. ib. παραθείμην] παραθείτην V. 506. κρειῶν καὶ Ϝοίνου Ϝηδυπότοιο. 507. προσέϜειπε. θεοϜειδής. 508. τεῦ] τὰ V. 510. ἰθὺς] ἰχθὺς V.

ὡρμήσαντο οἱ Φαίακες. Vulg. (Vid. ad 417.) 487. Ἀλλ' ἤτοι σοι] Ἀλλὰ σοὶ μὲν ὁ Ζεὺς οὐ κακῶν μόνον παρέθηκεν ἀλλὰ καὶ ἀγαθῶν. Q. In Harl. verbo ἔθηκε superscriptum δῶκε. 496. Προέρεσσαν, διχῶς. Harl. 503. Verbo ἀπελεύσομαι in Harl. superscriptum ἐπελεύσομαι (vid. schol. π'. 130.). 505. Ὁδοιπόριον] Τὸν διὰ τὸν πλοῦν δεῖπνον (ἢ ἀμοιβὴν add. Vulg.). B. Q.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἄλλως μέν σ' ἂν ἔγωγε καὶ ἡμέτερόνδε κελοίμην
ἔρχεσθ'· οὐ γάρ τοι ξενίων ποθή· ἀλλά σοι αὐτῷ
χεῖρον· ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ' ἐνὶ οἴκῳ
φαίνεται, ἀλλ' ἀπὸ τῶν ὑπερωΐῳ ἱστὸν ὑφαίνει.
ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι, ὅν κεν ἵκηαι,
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱὸν,
τὸν νῦν ἶσα θεῷ Ἰθακήσιοι εἰσορόωσι·
καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ, μέμονέν τε μάλιστα
μητέρ' ἐμὴν γαμέειν, καὶ Ὀδυσσῆος γέρας ἕξειν.
ἀλλὰ τά γε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
εἴ κέ σφιν πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος· ἐν δὲ πόδεσσι
τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ χεῦεν ἔραζε,
μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.
τὸν δὲ Θεοκλύμενος ἑτάρων ἀπονόσφι καλέσσας
ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τηλέμαχ', οὔ τοι ἄνευ θεοῦ ἔπτατο δεξιὸς ὄρνις·
ἔγνων γάρ μιν ἐσάντα ἰδὼν, οἰωνὸν ἐόντα.
ὑμετέρου δ' οὐκ ἔστι γένευς βασιλεύτερον ἄλλο
ἐν δήμῳ Ἰθάκης, ἀλλ' ὑμεῖς καρτεροὶ αἰεί.

512. ἡμετερόνδε] ἡμέτερόν γε V. 513. τοι] τι H. 515. ϝοίκῳ. 517. ἵκηαι] ἵκοιο H. 518. δαϊϝφρονος. 519. ϝῖσα. 522. ϝεῖδεν. 523. εἴ κε] εἰκε (sic) H. ib. σφιν] σφι W. 524. ϝοι ϝειπόντι. 529. ϝοι. ϝέπος. 531. ϝιδών. 532. ὑμετέρου] ἡμετέρου V. ib. γένευς] γένος ex emend. H. γένεος V. 533. ὑμεῖς] ἡμεῖς V.

Vulg. Τὴν ὑπὲρ τοῦ συνδειπνῆσαι ἤτοι συμπλεῦσαι ἑστίασιν. B. Q. 513. Ξενίων ποθή] Τῶν πρὸς ξένων ὑποδοχὴν (Q. δοχὴν) ἐπιτηδείων. Vulg. B. Q. sed Q. addit φειδὼ ad explic. v. ποθή. 518. Εὐρύμαχον] Νῦν μὲν τοῦτόν φησι· μεταβουλευσάμενος δὲ τῷ Πειραίῳ δέδωκεν. B. Δαΐφρων ὁ συνετὸς, ἀπὸ τοῦ δαῶ δαήσω, ὡς παρὰ τὸ αὐδῶ Οἰδίπους, ἁμαρτῶ ἁμαρτίνοος. B. Q. 523. Τελευτήσει] Ἀντὶ τοῦ τελευτηθήσεται. B. 528. Ἑτάρων ἀπονόσφι] Ἵνα μήτις τὴν μαντείαν εἰς τοὺς μνηστῆρας ἐξαγορεύσῃ. Q. 530. Ἔπτατο] Γρ. ἦλθε. Harl. 533. Καρτεροὶ αἰεί] Ἐγκρατεῖς, τὸ κράτος ἔχοντες. καὶ Ἀρχίλοχος, ὁ Ἀσίης

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῶ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ἦ, καὶ Πείραιον προσεφώνεε πιστὸν ἑταῖρον·
Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
πείθῃ ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ' ἕποντο·
καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω.
Τὸν δ' αὖ Πείραιος δουρικλυτὸς ἀντίον ηὔδα·
Τηλέμαχ', εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
τόνδε δ' ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.
Ὣς εἰπὼν, ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ' ἑταίρους
αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
οἱ δ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῗσι κάθιζον.
Τηλέμαχος δ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
νηὸς ἀπ' ἰκριόφιν· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
οἱ μὲν ἀνώσαντες πλέον ἐς πόλιν, ὡς ἐκέλευσε
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
τὸν δ' ὦκα προβιβῶντα πόδες φέρον, ὄφρ' ἵκετ' αὐλὴν,

535. Ϝέπος. 545. τόνδε δ'] τὸν δέ τ' H. τόνδε τ' W. τόνδ' ἔτ' V. ib. Ϝοι. 546. Ϝειπών. 547. τ' omittit H. 548. εἴσβαινον, sed ἔσβαινον in marg. H.

κρατερὸς μηλοτρόφου [y]. Q. Δεσπόζοντες, ἐγκρατεῖς. ἐλλείπει δὲ τὸ ἔσεσθε. Vulg. 539. Οὕτως Ἀρίσταρχος [z]. Harl. 544. Ἐνθάδε] Ἀντὶ τοῦ ἐπὶ τῶν ἀγρῶν. Vulg. 552. Ἀνώσαντες] Ἀνωθήσαντες τὴν ναῦν. B. Q. Εἰς τὸ ἄνω τὴν

[y] Liebel. fr. 93. Eust. (587, 24.) Ἀσίης καρτερὸς μηλοτρόφου. Schol. Eurip. Med. 703. (708.) ὁ δ' Ἀσίη τε καρτερὸς μηλοτρόφος: sed codd. Flor. ὁ δ' Ἀσίη. Hinc efficitur senarius: ὁ δ' Ἀσίης τε καρτερὸς μηλοτρόφου. BUTTM.

[z] Vulgatae hujus versus lectioni haec ascripta esse Porsonus refert. Quaenam autem altera fuerit ab Aristarcho rejecta idem nescisse videtur, neque ego quicquam varietatis adnotatum invenio, nisi quod de Vindob. 133. ita Alter: περ ἄλλα] Cod. πάτερ ἄλλα. In qua relatione nisi tam liquido solum περ positum esset, e scholio nunc nostro suspicari possis, pro πάτερ antiquum forsitan sphalma, πάτερ, ab aliquibus retentum et notissimo illo πάτερ ὦ ξεῖνε defensum fuisse. Sed verosimilius mihi quidem est, vocativo illi in fronte versus Πειραιεῦ Κλυτίδη infersisse alios ὦ. BUTTM.

ἔνθα οἱ ἦσαν ὕες μάλα μυρίαι, ἧσι συβώτης
ἐσθλὸς ἐὼν ἐνίαυεν, ἀνάκτεσιν ἤπια εἰδώς.

555. Fοι. 556. Fανάκτεσιν. Fειδώς.

πλοῦν ποιήσαντες. Vulg. 556. Ἐνίαυεν (sic ed. ant.)] Καθ' ἣν * διέτριβεν. Vulg.

* Imperite et contra sermonis nexum hanc explicationem Barnesius refert ad ἧσι. Ego, si recte aliquam ejus rationem haberemus, dixerim fuisse qui legerent ᾗ τε συβώτης, pro ἧσι. BUTTM.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Π.

Πῖ δ' ἄρα Τηλέμαχος ἀναγνωρίζει πατέρα ὅν.

Τὼ δ' αὖτ' ἐν κλισίης Ὀδυσσεὺς καὶ θεῖος ὑφορβὸς
ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ, κειαμένω πῦρ,
ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
οὐδ' ὕλαον προσιόντα· νόησε δὲ δῖος Ὀδυσσεὺς
σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖιν·
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
ἢ καὶ γνώριμος ἄλλος· ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς

1. κλισίης ex emend. manus antiquae H. PORS. κλισίῃ W. ib. θεῖος] δῖος plane H. W. 5. Ϝῖδος. 7. ϝέπεα. 11. ϝείρητο ϝέπος. ϝοι.

Ὑπόθεσις. Ἐλθόντος εἰς τοὺς ἀγροὺς Τηλεμάχου πέμπεται Εὔμαιος εἰς τὴν πόλιν ὀφείλων ἀπαγγεῖλαι τοῦ δεσπότου τὴν παρουσίαν. γίνεται δὲ ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς τὸν υἱὸν ἀναγνωρισμὸς κατὰ βούλησιν Ἀθηνᾶς, καὶ τῶν ἐπὶ τὴν ἐνέδραν Τηλεμάχου τεταγμένων ἐπὶ τὴν πόλιν ὑποστροφή. Pal. Vulg. Τηλέμαχος πρὸς Εὔμαιον ἀφικόμενος τὸν μὲν ἀποπέμπει ἀγγέλλοντα τῇ μητρὶ Πηνελόπῃ. αὐτὸς δὲ γνωρίσας τὸν πατέρα Ἀθηνᾶς προαιρέσει σὺν ἐκείνῳ τὴν κατὰ τῶν μνηστήρων ἐπιβουλὴν σκέπτεται. καὶ νῆες κατάγονται εἰς Ἰθάκην ἥ τε τοῦ Τηλεμάχου καὶ τῶν ἐπιβουλευσάντων. καὶ τοὺς μνηστῆρας πάλιν ἐπιχειρεῖν τῷ Τηλεμάχῳ διανοουμένους ἐκώλυσεν Ἀμφίνομος. καὶ Εὔμαιος ἀπαγγείλας τῇ Πηνελόπῃ τὰ περὶ Τηλεμάχου εἰς τὸν ἀγρὸν ἐπανέρχεται. Q. 2. Ἄριστον] Τὴν ἑωθινὴν τροφήν. B. Addit Barn. e MS. ἣν τινες ἀκρατισμὸν λέγουσιν. 3. Ἔκπεμψαν] Συλληπτικῶς. μόνος γὰρ ἐκπέμπει Εὔμαιος. Q. 10. Ποδῶν δ',

ἔστη ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσε συβώτης·
ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο,
κιρνὰς αἴθοπα οἶνον· ὁ δ' ἀντίος ἤλυθ' ἄνακτος·
κύσσε δέ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλὰ,
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζει,
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
μοῦνον, τηλύγετον, τῷ ἔπ' ἄλγεα πολλὰ μογήσῃ·
ὣς τότε Τηλέμαχον θεοειδέα δῖος ὑφορβὸς
πάντα κύσεν περιφὺς, ὡς ἐκ θανάτοιο φυγόντα·
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· οὔ σ' ἔτ' ἔγωγε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε·
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι, οὐδὲ νομῆας,
ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι εὔαδε θυμῷ,
ἀνδρῶν μνηστήρων προσορᾶν ἀΐδηλον ὅμιλον.

13. 16. Fοι. 14. ἤλυθ'] ἦλθεν W. ib. Fοῖνον. ἦλθε Fάνακτος. 15. κύσσε] κῦσε V. 16. δέ οἱ ἔκπεσε δάκρυ] κατὰ δάκρυον εἶβεν H. 17. ἀγαπάζει] ἀγαπάζῃ, H. ib. Fόν. 18. ἐλθόντ'] ἐλθὼν H. 19. μογήσῃ] μογήσει V. 20. θεοFειδέα δῖFος. 22. Fέπεα. 28. ἔFαδε. 29. προσορᾶν] ἐσορᾶν (sic) H. ἐσορᾶν W.

ὑπὸ δοῦπον ἀκούω] Παρέλκει ἡ ὑπό. B. 12. Ταφών] Θαμβήσας, ἐκπλαγείς, ἢ θαυμάσας. ἔστι δεύτερος ἀόριστος ἐκ τοῦ θήπω ἔθαπον καὶ ἔταφον καὶ ταφών. Ἰωνική* ἡ μεταφορὰ ἐκ τῶν τάφων. καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα διὰ τὸ ἐπεισερχόμενον ἡμῖν δεινόν. Vulg. 15. Κύσσε δέ μιν κεφαλήν] Φιλόστοργος ὁ Εὔμαιος, ἐπεί γε καὶ οἱ κύνες σαίνουσι πρὸς αὐτὸν ὡς ἂν συνήθως ὁρῶντες. οἵ τε μνηστῆρες πλεύσαντα αὐτὸν οἴονται περὶ τοὺς ἀγροὺς εἶναι (δ. 640.) ὡς πολλάκις τοῦτο ποιοῦντα. Q. 16. Γρ. θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ. Harl. 17. Ἀγαπάζῃ (sic)] Ἀγαπῶν δεξιοῦται καὶ περιέπει. B. 21. Πάντα κύσεν περιφύς] Ἀντὶ τοῦ ὅλον αὐτὸν περιλαβὼν ἔκυσε. B. 24. Ἐπεὶ ᾤχεο] Ἀφ' οὗ. B. 28. Ἀλλ' ἐπιδημεύεις] Ἐν τῷ δήμῳ τῆς πόλεως μένεις, ἐν πόλει διατελεῖς, διάγεις. B. Q. Εὔαδε] Ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ ἁδῶ τὸ ἀρέσκω. B. Q. Παρὰ τὸ ἅδω ὁ δεύτερος ἀόριστος ἅδον ἅδες ἅδε καὶ μετὰ τοῦ εὐ, εὔαδε. ἢ ἔστιν ἧδον ἧδες ἧδε, κατὰ διάλυσιν ἔαδε καὶ πλεονασμῷ τοῦ υ, εὔαδε, τουτέστιν ἀρέσκει. MS. Barnes. (it. Etym. M.) 29. Ἀΐδηλον ὅμιλον]

* Punctum facio ad Ἰωνικὴ, ut μετοχὴ subaudiatur: non enim ad μεταφορὰ pertinere potest. BARNES.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα σέ τ' ὀφθαλμοῖσιν ἴδω, καὶ μῦθον ἀκούσω,
εἴ μοι ἔτ' ἐν μεγάροις μήτηρ μένει, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔγημεν· Ὀδυσσῆος δέ που εὐνὴ
χήτει ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος·
αὐτὰρ ὅγ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.
τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε, φώνησέν τε·
Ἧσ' ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνήρ, ὃς καταθήσει.
Ὣς φάθ'· ὁ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
χεῦεν ὕπο χλωρὰς ῥῶπας, καὶ κῶας ὕπερθεν·
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
τοῖσιν δὲ κρειῶν πίνακας παρέθηκε συβώτης
ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες·

32. ϝίδω. 36. προσέϝειπε. 38. 40. ϝοι. 44. ἧσ' ὦ] ἧσο H.
49. δὲ κρειῶν πίνακας] δ' αὖ πίνακας κρειῶν H. 50. ὑπέλειπον] κατέλειπον H.

Τὸν ἀδηλοποιὸν καὶ πάντα φθείροντα. Vulg. B. Q. ἢ τὸν τοῦ φθαρῆναι καὶ ἀπολέσθαι αἴτιον. Vulg. 31. Ἔσσεται οὕτως] Οὕτως ἔχουσι. Q. Ἄττα] Προσφώνησίς ἐστι νέου πρὸς γέροντα. Q. Ἐπίφθεγμα τιμητικὸν νεωτέρου πρὸς παλαιότερον. εἴρηται παρὰ τὸ ἄππα[b] κατὰ Μακεδόνας τροπῇ γινομένης τοῦ π εἰς τ, ἄττα. Vulg. 35. Χήτει ἐνευναίων] Ἀμφοδοτικῇ[c]. ἡ μὲν ἀπὸ τοῦ χήτους· οἱ δὲ ἀπὸ τοῦ ἐνεύναιον, τῶν εὐνηθησομένων ὅ ἐστι κοιμηθησομένων. ἢ τῶν περιβολαίων. Q. Ἐνευναίων. τῶν εὐνησομένων, ὅ ἐστι κοιμησομένων ἢ τῶν περιβολαίων. Vulg. Τῇ χηρείᾳ καὶ σπάνει τῶν εὐνασθησομένων. ἐπὶ εὐθείας τὸ χῆτος. Καὶ τοῖς ἀμελουμένοις τόποις παραφύεται ἀράχνια. B. 37. Τετληότι θυμῷ] Ὑπομονῆς ἀξίῳ. Q. 42. Τῷ δ' ἕδρης] Ἐπερχομένῳ Τηλεμάχῳ τῆς καθέδρας ὑπεχώρησεν Ὀδυσσεύς.

[b] In ed. ant. certe Argentor. ἄππα. BUTTM.

[c] Harl. (ex quo hæc duo verba tantum Pors.) δοτικά. Fuerunt enim, teste Eustathio, ex antiquis qui legerent χήτει ἐνευναίῳ. Tamen in Harl. et in Q. textus vel lemma genitivum alterius vocis præbet: neque posterior pars scholii cum principio congruit. BUTTM.

σῖτον δ' ἐσσυμένως παρενήεεν ἐν κανέοισιν,
ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
Ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ ἑ ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
οὐ μὲν γάρ τί ἑ πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω·
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων·
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τάγε δαίμων.
νῦν δ' αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς
ἤλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ σοι ἐγγυαλίξω·
ἔρξον, ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
αὐτὸς μὲν νέος εἰμὶ, καὶ οὔπω χερσὶ πέποιθα

51. παρενήεεν] παρενήνεεν H. ib. κανέοισιν] κανέεσσιν V. 52. μελιϝηδέα ϝοῖνον. 56. δῖον] θεῖον H. ib. δῖϝον. 57. 59. ϝε. 58. εὐχετόωντο] εὐχετόωντο a manu prima, sed αι ex emendatione antiqua. Interpretamentum inter lineas λέγουσιν H. PORS. εὐχετοώνται V. W. 59. τί] τοι H. 63. ϝάστεα. 64. ϝοι. 65. ἐκ νηὸς] παρὰ νηὸς H. V. 66. πρὸς σταθμόν] primo scripserat πρόσταθμον, deinde α superimposuit inter π et ρ et ὸ in ὰ mutavit H. PORS. ib. σοι a m. pr., τοι ex emend. H. PORS. τοι W. 67. ἐθέλεις] ἐθέλῃς H. ib. εὔχεται] εὔχομαι V. ib. ϝέρξον. 69. θυμαλγὲς et suprascript. λυπηρὸν H. ib. ϝέπος. ἔϝειπες. 70. ϝοίκῳ.

Q. 56. Θεῖον. Γρ. δῖον. Harl. Cf. ad θ'. 87. 57. Πόθεν τοι ξεῖνος] Ὅτι νῦν ὀρθῶς εἴρηται, πῶς ἀφῖκται πτωχὸς ὤν· κατὰ δὲ τὴν πρώτην ὅτε μέν τοι (scr. Μέντῃ) εἰκάζεται ἡ Ἀθηνᾶ οὐχ ὑγιῶς[d].

Q. 62. Εὔχεται] Νῦν, λέγει. Vulg. 64. Ἐπέκλωσεν τάγε δαίμων] Εἱμαρμένον γενέσθαι ἐποίησεν. Q. Vulg. 71. Αὐτὸς μὲν νέος εἰμί] Παῖς εἰμι καὶ οὐκ ἔχω ἰσχὺν τῇ ἀσθενείᾳ τῆς εὐτελείας ἡλι-

[d] Vid. schol. α'. 171. et ξ'. 188. item textum α'. 406. 7. quanquam ibi nihil in scholiis. BUTTM.

ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ, καὶ δῶμα κομίζῃ,
εὐνήν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν·
ἢ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν, ὅστις ἄριστος
μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ, καὶ πλεῖστα πόρῃσιν.
ἀλλ' ἤτοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
δώσω δὲ ξίφος ἄμφηκες, καὶ ποσσὶ πέδιλα,
πέμψω δ', ὅππῃ μιν κραδίη θυμός τε κελεύει.
εἰ δ' ἐθέλεις σὺ, κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω, καὶ σῖτον ἅπαντα,
ἔδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.
κεῖσε δ' ἂν οὔ μιν ἔγωγε μετὰ μνηστῆρας ἐῷμι
ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι,
μή μιν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
ἄνδρα καὶ ἴφθιμον· ἐπειὴ πολὺ φέρτεροί εἰσι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶν,
ἦ μάλα μευ καταδάπτετ' ἀκούοντος φίλον ἦτορ,
οἷα φατὲ μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
ἐν μεγάροις, ἀέκητι σέθεν, τοιούτου ἐόντος.
εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ

74. κομίζῃ] κομίζῆ, H. 76. Ἀχαιϝῶν. 79. ϝέσσω. ϝείματα. 83. ϝείματα. 85. ἐῷμι] ἐάσω H. V. 86. ὕβριν] ἔργον V. 90. προσέϝειπε. δῖϝος. 91. θὴν et suprascript. δὴ H. Cum hic locus, tum v. 69. ostendere poterunt, quam facile explicationes in varias lectiones transeant. Hesychius; Θήν διὰ τοῦ η τὸ αὐτό. Sic audacissime interpolavit Musurus. MS. habet, teste Schowio, Θήν, διὰ ἢ σου. Ita scilicet olim scriptum erat Θήν. δὴ σου. Lege igitur, Θήν. δή. σοῦ. Οὐ μὲν θὴν Il. γ. 448. reddit scholiastes οὐ μὲν δή. Apollonius Lexico, Θήν. σοῦ. citans Il. ρ. 29. PORS. 94. ἀϝέκητι. 95. ϝειπέ. ϝεκών. λαϝοί.

νίας μου ὅπως ἀμύνωμαι τοὺς κατ' ἐμὲ χαλεπαίνοντας, καὶ διὰ ταῦτα δυσχερῶς ἔχω τοῦτον τὸν ξένον μόνος ἐγὼ ὑποδέξασθαι. Q. 74. Κομίζῃ] Ἐπιμέλεται. Vulg.

79. Videntur aliqui legisse ἕσσομεν. PORS. ex Harl. 88. Πρῆξαι δ' ἀργαλέον] Δύσκολόν ἐστι μάχεσθαι μετὰ πλειόνων καὶ αὐτὸν τὸν ἰσχυρόν. Q. 92. Δάπ-

ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ·
ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ' ἐνὶ θυμῷ,
ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος, ἠὲ καὶ αὐτὸς
ἔλθοι ἀλητεύων· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα·
αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
εἰ δ' αὖ με πληθύϊ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ' ἐν ἐμοῖσι κατακτάμενος μεγάροισι
τεθνάμεν, ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά·
καὶ οἶνον διαφυσσόμενον, καὶ σῖτον ἔδοντας
μὰψ, αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ.

99. ἐνὶ] ἐπὶ W. 101. uncinis includit W. ib. ϝελπίδος. 104. Λαϝερτιάδεω. 105. με] μ' ἐν ex emend. H. 107. ἀϝεικέα ϝέργ'. 109. ἀϝεικελίως. 110. ϝοῖνον. 111. ϝέργῳ.

τεται] Ἐσθίεται. Vulg. 96. Ἐπισπόμενοι θεοῦ ὀμφῇ] Κατὰ κέλευσιν θεοῦ ἀφαιρούμενοί σε τῆς βασιλείας. B. Q. 97. Ἦ τι κασιγνήτοις] Τοῖς σοῖς ἀδελφοῖς μαχομένοις ἐπιμέμφεαι ἤτοι αἰτιᾷ, καὶ διὰ τούτου τις τῶν ὑβριστῶν μνηστήρων μέγα θάρσος κατὰ σοῦ καὶ τῶν σῶν ἔχει καταναλίσκων τὴν περιουσίαν σου. Q. Ἐπιμέμφεαι] Ἐνστέρεσαι (scr. ἐστέρησαι). Pal. Κασιγνήτοις ἐπιμέμφεαι] Ἀντὶ τοῦ, οὐκ εἰσί σοι ἀδελφοί. Vulg. 99. Ἐνὶ θυμῷ] Ἀρίσταρχος, ἐπὶ θυμῷ. Harl. Ὁ λόγος· εἴπερ ἤμην ἐπὶ* τούτῳ τῷ θυμῷ ᾧ νῦν ἔχω, καὶ νεότητα κεκτημένος, ὑπῆρχον δὲ υἱὸς Ὀδυσσέως ἢ καὶ αὐτὸς Ὀδυσσεὺς, παρεκινδύνευσα (ina. ἂν) ἀνελεῖν τοὺς μνηστῆρας. Ὃ μὴ νοήσαντές τινες προσέθηκαν τὸ, ἔλθῃ ἀλητεύων. ἔστι δὲ περιττὸν, ὃ (scr. ἢ) καὶ διαλύει τὸ πᾶν νόημα. Q. 101. Ἔλθοι ἀλητεύων] Νοθεύεται ὡς περιττός. Harl. *103. Ἐνέπλησαν] Πλήρεις ἔχοντι τὰς χεῖρας καὶ ἄλλα προσέδοσαν[f]. Q. 104. Ἀθετεῖ Ζηνόδοτος. Harl. 108. Στυφελιζομένους] Ὑβριζομένους ἢ προπηλακιζομένους. B. Vulg. 109. Ῥυστάζοντας] Ἕλκοντας, βιαζομένους. B. Vulg. Μεθ' ὕβρεως σπαράσσοντας. Q. Vulg. 111. Ἀνηνύστῳ] Ἀκολύτως ἄνυσιν καὶ πέρας μὴ ἐπιδεχομένῳ. οὐ γὰρ ἤνυον οἱ μνηστῆρες τὸ γυναῖκα λαβεῖν τὴν τοῦ Ὀδυσ-

* Sic, quanquam in lemmate hujus etiam scholii ἐνὶ; quod utrumque de schol. Harl. quoque refert Pors. BUTTM.

[f] Pertinere videtur hoc scholium ad ζ'. 503. ἐνέπλησάν τ' ἔδωκάν τε: quanquam ibi quoque non admodum apta hæc explicatio. Sed paulo ante versui 97. in Mediol. additum est scholium quod idem legitur etiam, et recte quidem, ad ζ'. 97. BUTTM.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται·
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτε,
μοῦνον δ' αὖ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν, οὐδ' ἀπόνητο·
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκῳ.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσι,
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ
εἴφ' ὅτι οἱ σῶς εἰμι, καὶ ἐκ Πύλου εἰλήλουθα.
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴῃ ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
γιγνώσκω, φρονέω, τά γε δὴ νοέοντι κελεύεις.

115. κασιγνήτοις] κασιγνήτους ex emend. H. 118. Λαϝέρτην. 119. αὖ] αὐτ' H. W. 121. ϝοίκῳ. 125. 128. ϝοῖκον. 131. εἴφ' ὅτι] vulgata lectio a m. pr.: nunc ex emend. εἰπ'' ὅτι σῶς H. Salvus esset versus, si legeretur εἰπεῖν ὡς σῶς εἰμί. PORS. εἰπεῖν ὅτι V. ib. ϝείφ'. ϝοι. 134. Ἀχαιϝῶν.

σέως. Q. 118. Ἀρκείσιος Εὐρυοδίας καὶ Διός, Λαέρτης δὲ Χαλκομεδούσης. Τηλεμάχου καὶ Πολυκάστης Περσέπτολις. Q. Vid. Eustath. 130. Σὺ δ' ἔρχεο θᾶσσον] Ἀναγκαία ἡ Εὐμαίου πρὸς τὴν πόλιν ἀποστολή. τοῖς γὰρ ἑταίροις εἰρήκει, Αὐτὰρ ἐγὼν ἀγροὺς ἐπελεύσομαι ἠδὲ βοτῆρας, Ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι (ό. 504. ubi vid.). Q. Ἐχέφρονι] Γρ. περίφρονι (contra metrum). Harl. it. Vind. 133. sed sine sigla Γρ. 136. Γιγ-

ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
εἰ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρῳ· ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
ἔργα τ' ἐποπτεύεσκε, μετὰ δμώων τ' ἐνὶ οἴκῳ
πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ γε ᾤχεο νηῒ Πύλονδε,
οὔπω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ' ἐπὶ ἔργα ἰδεῖν· ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφιν χρώς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ.
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς
πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν,
ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.
Ἦ ῥα, καὶ ὦρσε συφορβόν· ὁ δ' εἵλετο χερσὶ πέδιλα,
δησάμενος δ' ὑπὸ ποσσὶ πόλινδ' ἴεν· οὐδ' ἄρ' Ἀθήνην
λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
ἀλλ' ἥγε σχεδὸν ἦλθε· δέμας δ' ἤϊκτο γυναικὶ

137. Fειπέ. 138. εἰ καὶ et in marg. γρ. ἢ et supra ἢ scriptum ἄρα H. Si igitur varietas ἢ ἄρα fideliter a Clarkio e MS. notata est, hic quoque glossa pro varia lectione invasit. Nam solæ variæ lectiones sunt ἢ καὶ et εἰ καὶ. PORS. ib. ΛαFέρτῃ. 140. Fέργα. Fοίκῳ. 144. Fέργα Fιδεῖν. 147. ἀχνύμενοι] ἀχνύμενοι H. W. 151. Fειπεῖν. 155. οὐδ' ἄρ'] οὐ γὰρ V. 157. FέFικτο.

νόσκω, φρονέω] Ὅ,τι ἐπιβουλεύῃ γιγνώσκω, καὶ φρονῶ ἅπερ μοι κελεύεις. Q. 141. Κελεύοι text. Γρ. ἀνώγοι. Vind. 5. 143. Αὔτως] Ἀντὶ τοῦ ὡσαύτως. B. Γρ. καὶ, ἔμπης. Harl. Γρ. ἔμπης, voci αὔτως superscriptum in Vind. 56. Γρ. καὶ, ἔμπης, ἀντὶ τοῦ ὁμοίως[a]. Vind. 133. 147. Ἄλγιον] Ἄλγιον μὲν τὸ μὴ εἰπεῖν. B. Q. 148. Αὐτάγρετα] Αὐθαίρετα, αὐτεξούσια ἢ παραυτὰ ἀγρευόμενα, ἀντὶ τοῦ, ὅσα ἐθέλομεν παραυτὰ καὶ ἐγίνετο. B. Αὐθαιρετὰ, αὐτέλεστα, χωρὶς καμάτου. Vulg. 151. Πρὸς μητέρα εἰπεῖν] Γρ. μρς' (quod esset μητρὸς). Harl. 152. Ἀμφίπολον] Εἶπε τῇ Πηνελόπῃ ἐκπέμψαι τὴν δουλίδα πρὸς τὸν Λαέρτην λάθρα· ἐκείνη γὰρ αὐτῷ δύναται ἀπαγγεῖλαι. ἀπὸ κοινοῦ γὰρ τὸ κρύβδην. B. Q. 152. 153. videntur [illegible]

[a] Cf. schol. ι'. 205. σ'. 354. BUTTM.

καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ.
στῆ δὲ κατ' ἀντίθυρον κλισίης Ὀδυσῆϊ φανεῖσα·
οὐδ' ἄρα Τηλέμαχος ἴδεν ἀντίον, οὐδ' ἐνόησεν·
οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς·
ἀλλ' Ὀδυσεύς τε, κύνες τε ἴδον, καί ῥ' οὐχ ὑλάοντο,
κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖο φόβηθεν.
ἡ δ' ἄρ' ἐπ' ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεὺς,
ἐκ δ' ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
στῆ δὲ πάροιθ' αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤδη νῦν σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
ὡς ἂν μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε
ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ' ἐγὼ αὐτὴ
δηρὸν ἀπὸ σφῶϊν ἔσομαι, μεμαυῖα μάχεσθαι.
Ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
θῆκ' ἀμφὶ στήθεσσι· δέμας δ' ὤφελλε καὶ ἥβην.
ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν·

158. Fέργα Fειδυῖα. 160. Fίδεν. 162. Fίδον. 163. ἑτέρωσε] ἑτέρωθε V. 164. δῖFος. 165. παρὲκ] παρὰ ex emend. ejusdem manus H. 166. αὐτῆς] αὐλῆς V. ib. προσέFειπεν. 167. διFογενὲς ΛαFερτιάδη. 168. φάο] φάε V. ib. Fέπος. 170. προτὶ] ποτὶ V. ib. Fάστυ. 173. Fοι.

a quibusdam. PORS. ex Harl. 159. Στῆ δὲ κατ' ἀντίθυρον] Ἀντικρὺ τῆς θύρας. Vulg. B. Φανεῖσα] Ἀντέστραπται. οὐ γὰρ φανεῖσα ἔστη, ἀλλὰ σταθεῖσα ἐφάνη. B. 163. Κνυζηθμῷ] Ἤτοι κνυγμῷ· ἢ μετὰ κλαυθμοῦ τινὸς ἤχῳ τῶν κυνῶν. B Q. Vulg. 165. Θριγκίον[h]] Τὸ περίφραγμα. Vulg. 168. Φάο (sic)] Λέγε. Vulg. 169. Ἀραρόντε] Νῦν ἀντὶ τοῦ κατασκευάσαντες. B. 173. Εὐπλυνές] Οὐχ ἕτερον, ἀλλ' ὅπερ εἶχεν, εὐπλυνὲς καὶ λαμπρὸν φαίνεσθαι ἐποίησεν. B. 175. Ἂψ δὲ μελαγχροιής] Ὀξυτόνως. τοῦτο δὲ κατὰ συγκοπὴν Ἀττικοὶ μέλαγχρις φασὶ, ὡς Εὔπολις[i]. Q. Καὶ πῶς ἐν τῇ μεταμορφώσει φησὶ, ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας (ν'. 399.); φαμὲν οὖν πρὸς τὸ πιθανὸν τῆς φαλακρώσεως. αἱ γὰρ ξανθαὶ τρίχες ἀραιαί εἰσι καὶ εὐχερῶς φαλακροῦνται. ὀλέσω οὖν τὰς τρί[illegible] ἔμφασιν παρέχουσα ξανθότητος. καὶ οἱ φαλακροὶ γὰρ ἔχουσιν ἐλλείμματα δηλοῦντα τὴν προτέραν τρίχωσιν. Q.

[h] Ed. rec. Τειχίον] Ἔνιοι, θριγκίον, τ. π. Vid. not. ad Ψ. 139. BUTTM.

[i] Vocem μέλαγχρις corruptam, si accentum spectes, mutes in μελάγχρης quam formam e lyrico quodam habes apud Hephaest. p. 46. Sed Eustath. ad nostrum locum μελαγχρής, ἐς ut Atticum ponit cum exemplo e Menandro, μελαγχρὴς μειράκιον. Add. Schneid. in v. BUTTM.

κυάνεαι δ' ἐγένοντο ἐθειράδες ἀμφὶ γένειον.
ἡ μὲν ἄρ' ὣς ἔρξασα πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς
ἤϊεν ἐς κλισίην· θάμβησε δέ μιν φίλος υἱός·
ταρβήσας δ' ἑτέρωσε βάλ' ὄμματα, μὴ θεὸς εἴη,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
  Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν,
ἄλλα δὲ εἵματ' ἔχεις, καί τοι χρὼς οὐκ ἔθ' ὁμοῖος.
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἀλλ' ἵληθ', ἵνα τοι κεχαρισμένα δώομεν ἱρά,
ἠδὲ χρύσεα δῶρα τετυγμένα· φείδεο δ' ἡμέων.
  Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
οὔ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στεναχίζων
πάσχεις ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.
  Ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ δὲ παρειῶν
δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ', οὐ γάρ πω ἐπείθετο ὃν πατέρ' εἶναι,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
  Οὐ σύ γ' Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός· ἀλλά με δαίμων
θέλγει, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω·
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
ᾧ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη νέον, ἠδὲ γέροντα.
ἦ γάρ τοι νέον ἦσθα γέρων, καὶ ἀεικέα ἕσσο,
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.

176. ἐθειράδες] γενειάδες sine ulla varietate H. V. W. 177. Fέρξασα. 180. Fέπεα. 182. Fείματ'. 184. κεχαρισμένα] κεχαρησμένα H. 185. ἡμέων] ἡμῶν V. 186. δῖFος. 187. Fείσκεις. 192. Fέν. 193. ἐξαῦτις Fεπέεσσιν. προσέFειπεν. 197. Fῷ. 198. ἠδὲ] ἠὲ W. 199. ἀFεικέα Fέσσο. 200. FεFοικας.

185. Δῶρα τετυγμένα] Ἀναθήματα, ἀγάλματα. Vulg. Φείδεο δ' ἡμῶν] Φειδὼ ἡμῶν λάμβανε καὶ ἐλεημοσύνην. Q. Γρ. δ' ἡμῶν. Harl. (ed. δ' ἡμέων.) 191. Πάρος δ' ἔχε] Πρότερον κατέσχεν αὐτὸν τῶν δακρύων ἀγνοῶν εἶναι τὸν υἱὸν αὐτοῦ τὸν Τηλέμαχον. Q. 195. Θέλγει] Ἡ κυκλικὴ[k], θέλγεις. Harl. 197.

[k] Ἡ κυκλικὴ hic et ad ζ'. 25. videtur esse editio quæ in Cyclo h. e. cum poetis cyclicis cæteris circumferebatur. BŒCKH.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τηλέμαχ', οὔ σε ἔοικε φίλον πατέρ' ἔνδον ἐόντα
οὔτε τι θαυμάζειν περιώσιον, οὔτ' ἀγάασθαι.
οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
ἀλλ' ὅδ' ἐγὼ τοιόσδε, παθὼν κακὰ, πολλά τ' ἀνατλὰς,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
ἥ τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέλει· δύναται γάρ·
ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε
ἀνδρὶ νέῳ, καὶ καλὰ περὶ χροῒ εἵματ' ἔχοντι.
ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν, ἠδὲ κακῶσαι.
Ὣς ἄρα φωνήσας κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων.
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο·
κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοὶ,
φῆναι, ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα
ἀγρόται ἐξείλοντο, πάρος πετεεινὰ γενέσθαι·
ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·

202. Ϝέϝοικε. 205. πολλά τ' ἀνατλὰς] πολλὰ δ' ἀληθεὶς H. W. πολλὰ δ' ἀληθέης V. 206. ἦλθον Ϝεικοστῷ Ϝέτεϊ. 207. Ϝέργον. 210. Ϝείματ'. 215. ὦρτο] ὦρτο H. ἵμερον ὦρσε V. 217. αἰγυπιοὶ] αἰγυπτιοὶ H. φῆναι αἰγυπτιακοὶ Apollonius v. Φήνη. PORS. 218. πετεεινὰ] πετερὰ H. W. 221. Ϝόν. 223. εὐχετόωνται] εὐχετόωντο H. V. 225. προσέϜειπε. δῖϜος.

Ὦι αὐτοῦ] Γρ. εἰ (οἱ). Harl. 203. Περιώσιον] Περισσὸν κατὰ τὸ προσῆκον. παρὰ τὸ ὅσιον γίνεται περιώσιον ἐκτάσει τοῦ ο εἰς ω. Vulg. 205. Ἀνατλὰς] Γρ. ἀληθεὶς. Vind. 133. (et sic codd. aliquot). 207. Ἀθηναίης ἀγελείης] Τῆς δημώσης τὰς λείας ἤτοι τὰς λαφυραγωγίας. ἡ γὰρ φρόνησις τοιαῦτα δρᾷν οἶδε. Q. 216. Ἀδινώτερον ἤ τ' οἰωνοὶ] Ἀντὶ τοῦ πλέον τῶν οἰωνῶν. Ἀττικὴ ἡ φράσις. B. Q. 217. Φῆναι ἢ αἰγυπτιοὶ] Εἴδη ταῦτα ἀετῶν. Ἡ φήνη ζῶόν ἐστι πτερωτὸν, ἥπερ τῶν τέκνων αὐτῆς στερηθεῖσά ποτε, ἐλεεινῶς πέφυκεν ὀδύρεσ-

τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω·
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
καί μ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰς Ἰθάκην· ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν·
καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται.
νῦν δ' αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ' εἰδέω, ὅσσοι τε καὶ οἵτινες ἀνέρες εἰσί·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
φράσσομαι, εἴ κεν νῶϊ δυνησόμεθ' ἀντιφέρεσθαι,
μούνω ἄνευθ' ἄλλων, ἦ καὶ διζησόμεθ' ἄλλους.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
χεῖράς τ' αἰχμητὴν ἔμεναι, καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες, ἄγη μ' ἔχει· οὐδέ κεν εἴη,
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς, οὔτε δύ' οἶαι,
ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι κοῦροι ἔασιν·
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι φῶτες Ἀχαιῶν·

231. Fάλις, Fεσθῆτά θ'. 236. ὄφρ' εἰδέω] ὄφρ' οἱ ἰδέω post rasuram H. ib. ὄφρα Fιδέω. 242. αἰχμητὴν ἔμεναι] αἰχμητὴν ἔμμεναι H. 243. Fεῖπες. 245. οὐδὲ] οὔτε H. 246. τάχα Fείσεαι. 249. κοῦροι] φῶτες H. W. ib. πίσυρες καὶ ἐFείκοσι. 250. φῶτες] κοῦροι H. W. ib. ἐFείκοσι. ἈχαιFῶν.

θαι. Q. 236. Ὄφφραειδέω (sic). Harl. Εἰδέω] Μάθω. Vulg. 239. Μούνω] Ἀθετεῖ Διονύσιος. Harl. 245. Ἀτρεκές] Νῦν, μόνον ὡς τὸ, Ἀτρεκὲς αἷμ' ἔσσευα βαλών (Il. ε'. 208.). δύναται μέντοι κἀκεῖ τὸ φανερὸν καὶ πρόδηλον, καὶ ἐνταῦθα τὸ ἀκριβὲς καὶ ἀληθές. Q. 246. Ἀλλὰ πολὺ πλέονες] Γρ. ἀλλὰ πολλοὶ πλεῖον. Harl. 249. Φῶτες ἔασιν. Γρ. Ἀχαιῶν (super ἔασιν). Harl. 250. Φῶτες Ἀχαιῶν text. Γρ. κοῦροι. Vind. 133. (cujus text. v. praec.

ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ, καὶ θεῖος ἀοιδὸς,
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών.
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ.
  Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
καὶ φράσαι, εἰ καὶ νῶϊν Ἀθήνη, σὺν Διῒ πατρὶ,
ἀρκέσει, ἦέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω.
  Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις,
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥτε καὶ ἄλλοις
ἀνδράσι τε κρατέουσι, καὶ ἀθανάτοισι θεοῖσι.
  Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.
εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι, κακῶς πάσχοντος ἐμεῖο·
ἤνπερ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε,
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι·

257. φράζεν a m. pr. φράζε' ex emend. H. φράζε V. 258. 266. προσέειπε. δῖϝος. 259. ϝερέω. 260. εἰ καὶ] εἴ κεν H. 263. ἐπαμύντορε] ἐπ' ἀμύντορε H. 271. ϝοίκαδε. 272. ϝάστυ. 273. ἠδὲ] ἠὲ H.

habet φῶτες ἔασιν). 255. Πολὺ πικρά] Γρ. πολύπικρα, ἐπίρρημα. V. 133. Πολύπικρα] Πολὺ πικρῶς καὶ δεινῶς [b]. Vulg. 265. Ἀνδράσι τε] Ἀντὶ τοῦ, ἄλλων ἀνδρῶν καὶ θεῶν. B. 267. Κείνω] Ὁ Ζεὺς καὶ ἡ Ἀθηνᾶ. B. Q. 270. Τὸ, νῦν, ἀντὶ τοῦ δή. B. ΕΡΧΕ (h. e. ἔρχε'). ἔρχου. Vulg. 271. Ὑπερφιάλοισιν (sic)] Πεπληρωμένοις φιάλαις (sic). Q. 277. Σὺ δ' εἰσορόων] Γρ.

[b] Recentt. addunt: λύσεις δὲ δεῖλα ἃ ποιοῦσί σε. BUTTM.

ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔτι
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη,
νεύσω μέν τοι ἐγὼ κεφαλῇ· σὺ δ' ἔπειτα νοήσας,
ὅσσα τοι ἐν μεγάροισιν ἀρήϊα τεύχεα κεῖται,
ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι μοι τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα,
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
νῶϊν δ' οἴοισιν δύο φάσγανα καὶ δύο δοῦρε
καλλιπέειν, καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι·
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει, καὶ μητίετα Ζεύς.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἰ ἐτεόν γ' ἐμός ἐσσι, καὶ αἵματος ἡμετέροιο,

279. 286. ϝεπέεσσι. 280. δὴ γάρ] ἢ γάρ, e rasura H. V. 281—298. uncinis includit W. 281. ϝερέω. 288. ϝεϝοίκει. 291. πρὸς δ' ἔτι μοι] πρὸς δέ τι καί, sed nunc ο additum supra τι et μοι inter τι et καὶ H. πρὸς δέ τι V. 292. ϝοινωθέντες. 296. καλλιπέειν] καλλιπέτην V. 298. θέλξει] θέλξῃ V. 299. ϝερέω.

σὺ δ' ἐρέω. Harl. 281. Ἄλλο δέ τοι ἐρέω] Ἀθετεῖ Ζηνόδοτος ιη' (Q. νοθεύονται ιη')[1]. πόθεν γὰρ ᾔδει τὰ ὅπλα ἐν τῷ ἀνδρῶνι ἀντικείμενα; οἰκείως (Vind. οἰκείῳ) δὲ χρήσεται τῷ λόγῳ ὅταν αὐτὰ θεάσηται. Vind. 133. Q. Cf. schol. ad τ'. 4. 288. Ὅτε, φησὶ, τὰ ὅπλα τῶν μνηστήρων κρύψας (scr. κρύψῃς) Τηλέμαχε, καὶ οἱ μνηστῆρες ταῦτα ψηλαφῶσιν, εἰπὲ αὐτοῖς ὅτι ταῦτα κατέκρυψα διὰ τὸ τήκεσθαι ἐκ τοῦ καπνοῦ καὶ τοῦ πυρὸς τῆς οἰκίας. Q. 295. Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος] Πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον γι-

[1] Pors. ex Harl. "ιη' νοθεύονται. Aliud schol. [nostrum scilicet], ἀθετεῖ Ζηνόδοτος." BUTTM.

μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος·
μήτ' οὖν Λαέρτης ἴστω τόγε, μήτε συβώτης,
μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια·
ἀλλ' οἶοι, σύ τ' ἐγώ τε, γυναικῶν γνώομεν ἰθύν·
καί κε τέο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
ἠμὲν ὅπου τις νῶ τίει καὶ δείδιε θυμῷ,
ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ τοῖον ἐόντα.



Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
ὦ πάτερ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ' ὀΐω
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν·
ἀλλ' οὔτοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἕκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,

302. Λαϝέρτης. 303. οἰκήων] οἰκείων et ι super ει H. 305. πειρηθεῖμεν] πειρηθείημεν H. V. 306. νῶ] νῶι H. 310. γέ μ' ἔχουσιν] μέ γ' ἔχουσιν a m. pr. μέ σ' ἔχουσιν ex emend. H. μετέχουσι V. 313. ϝείσῃ ϝεκάστου. 314. ϝέργα. ϝέκηλοι. 315. οὐδ' ἔπι] οὐδέ τι H. V.

κειμένου σιδήρου. B. Q. Vulg. 304. Ἰθύν] Τῆς διανοίας διάθεσιν. B. PORS. ex Harl. "Ad ἰθύν, ut videtur, οὕτως αἱ Ἀριστάρχου." 305. Καί κε τέο] Τὸ, τε [m], ἀόριστον. διὸ καὶ ἐπὶ τοῦ, κὲ, ὁ τόνος. Ὁ δὲ Ἀσκαλωνίτης ὑποδμώων, τῶν ἀγαθῶν θεραπόντων. Τοὺς δὲ οὕτως, ὅπου δμώων, τῶν ὄντων ἡμετέρων δούλων. Q. it. ex Harl. verba Ὁ δὲ Α. — δμώων excerpsit Pors. Πειρηθῶμεν text. Γρ. πειρηθείημεν. Vind. 133. ΠΕΙΡΗΘΗΜΕΝ (sic mendose ed. ant.). διάπειραν λαψώμεθα (sic). Vulg. 306. Ἡ μὲν ὅπου τις νῶ τίει] Τὸ, ὅπου, τοπικόν ἐστιν ἀντὶ τοῦ, καὶ ὅπου τις ἡμᾶς τιμᾷ γνώμῃ (f. γνῶμεν), καὶ ὅπου τις οὐ φροντίζει ἡμῶν. πολλάκις γὰρ κατὰ πρόσωπον τῆς Πηνελόπης καλῶς ἡμᾶς λέγει, ἀπούσης δὲ ἀτιμάζει. B. Q. Ὅπως text. Γρ. ὅπου. Vind. 133. 310. Χαλιφροσύναι] Ἤτοι ἀφροσύναι ἢ κεχαλασμέναι καὶ ἔκλυτοι φρένες, ἢ σκαιαὶ καὶ ἀβέλτεραι τῇ διανοίᾳ. B. Q. Vulg. X. μέ γ' ἔχ. a manu pr. μέ τ' ex em. text. In margine varia lectio γέ μ' ἔχουσι a manu recentiori seculi fortasse 14. declinantis [n]. PORS. ex Harl. 314. Μετερχόμενος] Διὰ σπουδῆς ἔχων. Vulg. 316. Δεδάασθαι] Μανθάνειν

[m] In Vind. 133. ipse textus habet καί κέ τι et diserte suprascriptum γρ. καί κε τέο. Neque sane rejicula esset scriptura καί κέν τι. In nostro tamen scholio istud τι merum esse mendum pro τε contextus docet. BUTTM.

[n] Sed γ' ἐμ' ἐχ. citatur etiam in schol. ad τ'. 530. BUTTM.

αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἳ νηλητεῖς εἰσιν·
ἀνδρῶν δ' οὐκ ἂν ἔγωγε κατὰ σταθμοὺς ἐθέλοιμι
ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἡ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς εὐεργὴς,
ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους·
οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες·
αὐτίκα δ' ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος,
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
οὕνεκα Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
ἄστυδ' ἀποπλείειν· ἵνα μὴ δείσασ' ἐνὶ θυμῷ
ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι.
τὼ δὲ συναντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς,
τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, ἐρέοντε γυναικί.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος,
κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμῳῇσιν ἔειπεν·
Ἤδη τοι, βασίλεια, φίλος παῖς εἰλήλουθε.

317. αἵ τέ σ' ἀτιμάζουσι] αἵ σέ τ' ἀτιμάζουσι. In marg. γρ. αἵ τέ σ' ἀτ. H. ib. νηλητεῖς] νηλιτεῖς H. W. νηλιτέες V. 320. ϝοῖσθα. 322. εὐϝεργής. 325. ϝέρυσσαν. 329. ϝερέοντα. 330. οὕνεκα μὲν Τηλέμαχος H. 331. ϝάστυδ'. 332. εἴβοι] εἴβοι H. 333. ϝέτας. 334. ϝερέοντε. 336. ἔϝειπεν. 337. ἤδη] ἢ δή V. ib. εἰλήλουθε] ἐκ Πύλου ἦλθεν H.

τὰ τούτων ἤθη. Q. 317. Νηλητεῖς] Σημαίνει τοὺς ἁμαρτωλούς. ὡς ἀπὸ τοῦ εὐσεβὴς γίνεται εὐσεβέες εὐσεβεῖς, οὕτως καὶ ἀπὸ τοῦ νηλητὴς, νηλητέες, νηλητεῖς. γίνεται δὲ παρὰ τὸ νη στερητικὸν μόριον καὶ τὸ ἀλιτεῖν, ὃ σημαίνει τὸ ἁμαρτάνειν. καὶ διὰ τοῦτο ἀλιτεῖν διὰ τοῦ ι γραφομένου τὸ νηλητὴς γράφεται διὰ τοῦ η, ὅτι οἱ Αἰολεῖς τρέπουσι τὸ ι εἰς η [o]. Vulg. Conf. ad v. 498. 318. Σταθμούς] Νῦν τοὺς οἴκους. Vulg. 319. Ἀλλ' ὕστερα] Μετὰ τὴν μνηστηροκτονίαν· ἤτοι ἐὰν γινώσκῃς τι ἀπὸ χρησμοῦ. B. 326. Τεύχεα δέ σφ'] Ἀντὶ τοῦ αὐτῶν. καὶ αὐτοὶ γὰρ εἶχον ὅπλα. B. 327. Κλυτίοιο] Τοῦ πατρὸς τοῦ Πειραίου [p]. B. 337. Ἐκ Πύλου ἦλθεν, Γρ. εἰλήλουθε. Harl. [q]

[o] Scrib. videtur: Καὶ διὰ τί, τοῦ ἀλιτεῖν——διὰ τοῦ η; Ὅτι οἱ—. BUTTM.
[p] Male hoc in Mediol. sine lemmate continuatum erat cum schol. praec. BUTTM.
[q] In Vind. 133. oscitanter ita scriptum, γρ. φίλος παῖς ἐκ Πύλου εἰλήλουθε. BUTTM.

Πηνελοπείῃ δ' εἶπε συβώτης ἄγχι παραστὰς
πάνθ', ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
αὐτὰρ ἐπειδὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
βῆ ῥ' ἴμεναι μεθ' ὕας, λίπε δ' ἕρκεά τε, μέγαρόν τε.
Μνηστῆρες δ' ἀκάχοντο, κατήφησάν τ' ἐνὶ θυμῷ·
ἐκ δ' ἦλθον μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο·
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
Τηλεμάχῳ, ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
ἀλλ' ἄγε, νῆα μέλαιναν ἐρύσσομεν, ἥτις ἀρίστη·
ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
κείνοις ἀγγείλωσι θοῶς οἶκόνδε νέεσθαι.
Οὔπω πᾶν εἴρηθ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντὸς,
ἱστία τε στέλλοντας, ἐρετμά τε χερσὶν ἔχοντας.
ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεεν οἷς ἑτάροισι·
Μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον·
ἤ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ θῖνα θαλάσσης·
αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,

338. Ϝεῖπε. 339. 347. Ϝοι. 340. ἀπέϜειπε. 346. Ϝέργον. 348. Ϝερύσσομεν. 350. Ϝοικόνδε. 351. ἄρ' omittit H. ib. Ϝείρηθ'. Ϝίδε. 354. Ϝηδύ. Ϝοῖς. 356. ἔϜειπε. ἔσϜιδον. 357. κιχῆναι] κιχᾶναι H. 359. Ϝέρυσσαν.

342. 343. ΚΑΤΗΦΗΣΑΝ. ἐλυπήθησαν, ἐστύγνασαν. ΕΚ Δ' ΕΙΛΟΝ. ἐξελάβοντο δέ. ΕΚ Δ' ΗΛΘΟΝ. ἐξῆλθον δέ. Vulg. ed. ant. Nam in recentt. media glossa (quæ sane videtur ex mera nescio qua confusione nata) omissa est. 346. Ὑπερφιάλως] Ὑπερηφάνως ὁ κατὰ τοῦ Τηλεμάχου λόχος ἡμῶν ἐτελέσθη καὶ ἡ ὁδὸς αὕτη. ἐλέγομεν δὲ ὅτι οὐ μὴ τελέσῃ* τὴν πρὸς τὸν οἶκον ὁδὸν αὐτοῦ ἀκινδύνως. Q. Τετέλεσται] Γρ. ἐτελέσθη. Harl. Ἐτελέσθη] Ἐτελειώθη, ἐπράχθη. Vulg. ed. ant. Nam in recentt. omissum. 347. Φάμεν] Παροξυτόνως, ἵνα ᾖ παρατατικός. B. 350. Κείνοις] Ἤτοι τοῖς ἐλλοχῶσι τῷ Τηλεμάχῳ. B. 354. Μετεφώνεεν] Γρ. προσεφώνεεν. Harl. 357. Κιχά-

* Scr. ὅτι οὐ μὴ τελέσει. BUTTM.

τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες.
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλον
εἴων, οὔτε νέων μεταΐζειν, οὔτε γερόντων.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Ὢ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν·
ἤματα μὲν σκοποὶ ἷζον ἐπ' ἄκριας ἠνεμοέσσας
αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι,
οὔποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
νηῒ θοῇ πλείοντες ἐμίμνομεν ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
αὐτόν· τὸν δ' ἄρα τέως μὲν ἀπήγαγεν οἴκαδε δαίμων.
ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχῳ· μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀΐω,
τούτου γε ζώοντος, ἀνύσσεσθαι τάδε ἔργα.
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε·
λαοὶ δ' οὐκ ἔτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
εἰς ἀγορήν· οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς,
οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν, οὐδ' ἐκίχημεν·
οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα·
μή τι κακὸν ῥέξωσι, καὶ ἡμέας ἐξελάσωσι
γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον.
ἀλλὰ φθέωμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος,
ἢ ἐν ὁδῷ· βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,

361. ἄλλον] ἄλλο W. 366. καταδύντι et αν super ύν, ut videatur voluisse καταβάντι H. PORS. 368. δῖϝαν. 370. μὲν omittit H. ib. ϝοίκαδε. 371. ϝοι. 372. ἧμας ὑπεκφύγοι] ἡμᾶς H. ὑμᾶς ὑπεκφύγῃ V. 373. 380. ϝέργα. 375. Λαϝοί. ϝῆρα. 376. κεῖνον] ἐκεῖνον H. ib. Ἀχαιϝοὺς. 378. ϝερέει. 379. οὐδ' ἐκίχημεν] οὐδὲ κίχημεν V. ib. ϝοι. 383. πόληος] πόλεος V.

ναι, Γρ. κιχῆσαι. Harl. 360. Τεύχεα δέ σφ' ἀπένεικαν] Νῦν ἄμφω, καὶ τὰ τῆς νεὼς καὶ τὰ πολεμιστήρια. B. 375. Ἐφ' ἡμῖν ἦρα φέρουσιν] Ἡ ἐπὶ πρὸς τὸ ἦρα, ἐπίηρα, τὴν μετ' ἐπικουρίας χάριν. B. Q. 377. Οὐ γάρ τι μεθησέμεναι] Οὐ γὰρ καταλείψει Τηλέμαχος τὸ ἀθροῖσαι ἀπὸ τῆς ἀγορᾶς λαὸν καὶ εἰπεῖν τὴν αὐτοῦ συμφορὰν καὶ ἅπερ παρ' ἡμῶν ἔπαθεν ἡ οἰκία αὐτοῦ. Q. 383. Ἀλλὰ φθέωμεν] Ἢ ἐν τῷ ἀγρῷ ἢ ἐν ὁδῷ ἐπανιόντι. Ἐπανέλαβε δὲ διὰ τοῦ

δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
κείνου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅστις ὀπυίοι.
εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βούλεσθε
αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
μή οἱ χρήματ' ἔπειτα ἅλις θυμηδέ' ἔδωμεν
ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο ἕκαστος
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δ' ἂν ἔπειτα
γήμαιθ', ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε,
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
ὅς ῥ' ἐκ Δουλιχίου πολυπύρου, ποιήεντος,
ἡγεῖτο μνηστῆρσι· μάλιστα δὲ Πηνελοπείῃ
ἥνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, οὐκ ἂν ἔγωγε κατακτείνειν ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήϊόν ἐστι
κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς·
εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
αὐτός τε κτενέω, τούς τ' ἄλλους πάντας ἀνώξω·
εἰ δέ κ' ἀποτρωπῶσι θεοὶ, παύσασθαι ἄνωγα.
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος·
ἐλθόντες δ' ἐκάθιζον ἐπὶ ξεστοῖσι θρόνοισιν.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε περίφρων Πηνελόπεια,
μνηστήρεσσι φανῆναι ὑπέρβιον ὕβριν ἔχουσι·

385. Ϝοικία. 387. βούλεσθε a m. pr. αι pro ε ex emend. H. βόλεσθε W. ib. Ϝανδάνει. 389. Ϝοι. Ϝάλις. 390. Ϝέκαστος. 391. ἐέδνοισιν] ἔδνοισι H. ib. ἡ δ' ἂν] ἡ δέ κ' H. W. ἡδέ κ' V. ib. Ϝεδνοισιν. 392. ὅς κεν] ὅσκε (τις) H. ὅς κε W. 394. μετέϜειπε. 395. Ϝάνακτος. 398. Ϝάνδανε. 399. ὅς σφιν] ὅσφιν H. ib. μετέϜειπεν. 406. ἐπεϜάνδανε. 408. θρόνοισιν] λίθοισιν H.

ἀλλὰ τὸν λόγον ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. B. 385. Κατὰ μοῖραν] Γρ. κατὰ δῆμον. Vind. 133. Ἐφ' ἡμέας] Τουτέστι, καθ' ἑαυτοὺς μὴ τοῖς ἀποῦσι μερίσωμεν. Vulg. 387. Ἀνδάνει] Ἀρέσκει. Vulg. ed. ant. (recentt. ad textum: ἀφανδάνει, ἀπαρέσκει). 389. Θυμηδέα] Τὰ τῇ ψυχῇ ἡδονὴν παρέχοντα. Vulg. B. Q. 410. Γρ. Ἀπεχθομένοισί περ ἔμπης (ut σ'. 165.).

πεύθετο γὰρ οὗ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς.
βῆ δ' ἰέναι μέγαρόνδε, σὺν ἀμφιπόλοισι γυναιξίν·
ἀλλ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀντίνοον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἀντίνο', ὕβριν ἔχων, κακομήχανε· καὶ δέ σέ φασιν
ἐν δήμῳ Ἰθάκης μεθ' ὁμήλικας ἔμμεν' ἄριστον
βουλῇ καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
μάργε, τίη δὲ σὺ Τηλεμάχῳ θάνατόν τε μόρον τε
ῥάπτεις, οὐδ' ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
μάρτυρος; οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.
ἦ οὐκ οἶσθ', ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
δῆμον ὑποδδείσας; δὴ γὰρ κεχολώατο λίην,
οὕνεκα ληϊστῆρσιν ἐπισπόμενος Ταφίοισιν
ἤκαχε Θεσπρωτούς· οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν·
τόν ῥ' ἔθελον φθῖσαι, καὶ ἀποῤῥαῖσαι φίλον ἦτορ,
ἠδὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πολλήν·

411. Ϝοῦ. 412. Ϝοι ἔϜειπε. 414. δῖϜα. 417. ἐνένιπτεν] ἐνένιπεν H. V. ib. Ϝέπος. 419. ἔμμεν'] εἶναι V. 424. ἦ] ἢ V. ib. Ϝοῖσθ'. 428. ἀποῤῥαῖσαι φίλον ἦτορ] ἀπορραῖσε φίλον κῆρ H. 429. μενοϜεικέα.

Vind. 133. 412. Μέδων] Ἐκ βίας γὰρ εἶχον αὐτὸν ὡς καὶ τὸν Φήμιον. Q. 420. Ἔησθα] Ὑπάρξεις. Vulg. 422. Ἱκέτας] Τοὺς προσδεχομένους ἱκέτας ὀνόμασεν ὁμωνύμως αὐτοῖς τοῖς ἱκετεύουσιν. ὡς ἄν τις εἴποι τοὺς ἱκετοδόχους. ὥσπερ χρῆσται λέγονται οἱ ὀφείλοντες καὶ οἱ δανείζοντες. Vulg. Οὕτως εἶπε τοὺς ἱκετοδόχους, ὡς χρῆσται καὶ οἱ χρεωστοῦντες καὶ οἱ δανείζοντες. Ἄλλως. Καὶ τὸν ἱκετεύσαντα καὶ τὸν ἱκετευθέντα. οὐ χρὴ γὰρ τούτων (ins. τὸν) ἕτερον κακῶς φρονεῖν θατέρῳ. οὐκ αἰσχύνῃ οὖν οὔτε τὸν ἑόντα (f. τὸν σὸν) πατέρα ἱκετεύσαντα, οὔτε τὸν Ὀδυσσέα τὴν ἱκεσίαν δεξάμενον; Q. Ἱκέτας ἐνταῦθα τοὺς προσδεχομένους μᾶλλον (ins. ἢ) τοὺς προσιόντας αὐτοῖς φησιν. B. 423. Μάρτυρος] Μάρτυς] κατὰ Ἴωνας. Vulg. Οὐδ' ὅσιον text. Γρ. οὐδ' ὁσίη. Vind. 133. 424. Ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων] Τοὺς Ἰθακησίους φεύγων εἰς τὸν οἶκον Ὀδυσσέως κατέφυγε τὸ δὲ δεῦρο δεικτικὸν εἰς τὴν Ὀδυσσέως οἰκίαν. Ἰθακήσιος γὰρ ἦν ὁ Εὐπείθης. B. 429. Ζωὴν] Τὸν βίον τὸν τῆς οὐσίας περιεκτικόν. Vulg. Κατὰ ζωὴν φαγέειν] Δημεῦσαι τὰ χρήματα. Πλείων δὲ ἡ κατηγορία ὅτι καὶ πολλῆς οὐσίας ἐζημίωσεν αὐτὸν ἐκείνης ὁ Ὀδυσσεύς. ὥστε πλείω ὤφειλεν εἶναι ἢ χαρίζεσθαι ὅτι πολλὰ ἔχων νῦν ἀλλότρια ἐσθίει. Q. Μενοεικέα] Τὴν προσ-

ἀλλ' Ὀδυσεὺς κατέρυκε, καὶ ἔσχεθεν, ἱεμένους περ.
τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάᾳ δὲ γυναῖκα,
παῖδά τ' ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις·
ἀλλά σε παύσασθαι κέλομαι, καὶ ἀνωγέμεν ἄλλους.
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα·
κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
οὐκ ἔσθ' οὗτος ἀνὴρ, οὐδ' ἔσσεται, οὐδὲ γένηται,
ὅς κεν Τηλεμάχῳ σῷ υἱέϊ χεῖρας ἐποίσει,
ζώοντός γ' ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται,
αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
ἡμετέρῳ· ἐπεὶ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος κρέας ὀπτὸν
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
ἀνδρῶν· οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα,
ἔκ γε μνηστήρων· θεόθεν δ' οὐκ ἔστ' ἀλέασθαι.
Ὣς φάτο θαρσύνων· τῷ δ' ἤρτυεν αὐτὸς ὄλεθρον.
ἡ μὲν ἄρ' εἰσαναβᾶσ' ὑπερώϊα σιγαλόεντα
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
ἑσπέριος δ' Ὀδυσῆϊ καὶ υἱέϊ δῖος ὑφορβὸς
ἤλυθεν· οἱ δ' ἄρα δόρπον ἐπισταδὸν ὡπλίζοντο,

430. Ϝιεμένους. 431. Ϝοῖκον. 432. ἐμὲ δὲ] ἐμέ τε H. 433. παύσασθαι] παύεσθαι a m. pr., σ insertum a recentiori H. PORS. 434. Πολύβου παῖς] πεπνυμένος V. 436. μελόντων] μελέσθων in marg. H., sive var. lect. sive interpr. Sed prius puto. PORS. 440. ἐκϜερέω. 441. Ϝοι. 443. Ϝοῖσιν. 444. ἐπέσχε τε] ἐπέσχετο V. ib. Ϝοῖνον. 450. Ϝοι. 451. Ϝηδύν. 452. Ϝεσπέριος. δῖϜος. 453. ὁπλίζοντο sed ω super ὁ H.

ἥκουσαν τῷ μένει καὶ τῷ θυμῷ ἐκείνου. Q. 431. Ἄτιμον] Ἀτίμως. Vulg. Ἀντὶ τοῦ ἀτίμων (scr. -ως). Q. Ἀτιμώρητον. ἔδεις δὲ προῖκα, μὴ καταβάλλων τὴν τιμὴν τῶν ἐσθιομένων. B. 434. Πολύβου παῖς] Γρ. πεπνυμένος. Harl. 441. Αἶψά κεν text. Γρ. αἶψά οἱ. Vind. 133. 449. Σιγαλόεντα] Ποικίλως κατεσκευασμένα. Q. Vulg. 453. Ἐπισταδὸν] Ἐπιστημόνως. Vulg. Ἐπισταμένως. Q. Vid. ad γ'. 54. Ὠπλίζοντο. Schol. οὕτως διὰ τοῦ ω.

σῦν ἱερεύσαντες ἐνιαύσιον· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα,
ῥάβδῳ πεπληγυῖα, πάλιν ποίησε γέροντα·
λυγρὰ δὲ εἵματα ἕσσε περὶ χροΐ· μή ἑ συβώτης
γνοίη ἐσάντα ἰδὼν, καὶ ἐχέφρονι Πηνελοπείῃ
ἔλθοι ἀπαγγέλλων, μηδὲ φρεσὶν εἰρύσσαιτο.
Τὸν καὶ Τηλέμαχος πρότερος πρὸς μῦθον ἔειπεν·
ἦλθες, δῖ' Εὔμαιε· τί δὴ κλέος ἔστ' ἀνὰ ἄστυ;
ἦ ῥ' ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασιν
ἐκ λόχου; ἦ ἔτι μ' αὖτ' εἰρύαται οἴκαδ' ἰόντα;
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἔρεσθαι,
ἄστυ καταβλώσκοντα· τάχιστά με θυμὸς ἄνωγεν
ἀγγελίην εἰπόντα πάλιν δεῦρ' ἀπονέεσθαι·
ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκὺς,
κῆρυξ, ὃς δὴ πρῶτος ἔπος σῇ μητρὶ ἔειπεν.
ἄλλο δέ τοι τόδε οἶδα, τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν·
ἤδη ὑπὲρ πόλιος, ὅθι Ἑρμαῖος λόφος ἐστὶν,

455. Λαϝερτιάδην. 457. ϝείματα ϝέσσε. ϝε. 458. ϝιδών. 460. ἔϝειπεν. 461. δῖ'] δὴ, H. V. ib. δῖϝ'. ϝάστυ. 463. ϝοίκαδ'. 466. ἄνωγεν] ἀνώγει W. ib. ϝάστυ. 467. ϝειπόντα. 469. πρῶτα ϝέπος. ἔϝειπεν. 470. τόδε] τόγε H. V. W. ib. ϝοῖδα. ϝίδον. 471. ὅθι] ἵν' V.

Harl. 457. Λυγρά] Εὐτελῆ. λαμπρά. Vulg. 466. Βλώσκοντα] Ἀνιόντα· ἢ κατελθόντα· ἢ πορευόμενον. Vulg. Καταβλώσκοντα] Μολίσκοντα, φοιτῶντα, κατελθόντα, ἢ πορευόμενον. B. Q. Ἄνωγεν] Γρ. ἀνώγει. Harl. 468. Ὡμήρησε] Ὁμοῦ συνέβαλε, συνέτυχεν [r]. Vulg. Ὡμήρησε δέ μοι] Συνέτυχεν. ἐκ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων, ἢ ἀπὸ τοῦ ἅμα ἀρηρέναι. τινὲς δὲ, παρῆχθαι, ὡς οἶνος οἰνηρὸς, οἴσυνος οἰσυηρός. οἴσυνος δέ ἐστιν εἶδος ῥώπος. B. Q. 471. Ὑπὲρ πόληος (sic ed. ant.)] Ἀντὶ τοῦ ἔξω τῆς πόλεως. Vulg. Ἑρμαῖος λόφος] Ὁ σωρὸς τῶν λίθων ἐν ταῖς ὁδοῖς ἑρμαῖον ὀνομάζεται. ἢ πάθος ἱδρυμένος βωμὸς ἢ λόφος ἑρμαίου. ἢ ὡς ἐπί τινος λόφου Ἑρμοῦ ἱδρυμένου. Vulg. Ἑρμῆς πρῶτος κάθηρε τὰς ὁδούς, καὶ ὅπου κάθηρε, λίθον ἀπέθετο ἔξω τῆς ὁδοῦ, ὃ σημεῖον ἦν. Ἑρμαῖος οὖν λόφος ἐστὶ τοῦ σημείου τῆς ὁδοῦ. τὰ γὰρ σημεῖα τῶν ἑρμαίων μειλίων [s] ἑρμαίους λόφους καλοῦσιν. B. Q. Ἑρμῆς κατὰ Διὸς κέλευσιν ἀνελὼν Ἄργον τὸν τῆς Ἰοῦς φύλακα ἤχθη ὑπὸ δίκην, Ἥρας αὐτὸν καὶ τῶν ἄλλων ἐγκαλούντων θεῶν εἰς κρίσιν ὅτι πρῶτος ἐνεβεβλήκει δαιμόνων θνητῶν μιάσματι

[r] Etym. M. Ὡμήρησε——ὠκύς; Ὀδυσσείας π, ἀντὶ τοῦ συνέτυχεν, ἀπὸ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων. Πῶς δὲ ἐν Ὑπομνήματι τῆς π, ἀντὶ τοῦ συνήντησεν. BUTTM.

[s] Scribendum videtur τῶν ἑρμαίων μιλίων. Eustath. ἄλλοι δὲ τοὺς ἑρμαίους τούτους λόφους σημεῖα ὁδῶν κατὰ στάδιον τινα διάστασιν μιλιασμοῦ τυχὸν ἢ σταδιασμοῦ. BUTTM.

ᾖα κιών, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν
ἐς λιμέν' ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῇ·
βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισι·
καί σφεας ᾠΐσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα.
Ὣς φάτο· μείδησεν δ' ἱερὴ ἲς Τηλεμάχοιο,
ἐς πατέρ' ὀφθαλμοῖσιν ἰδών· ἀλέεινε δ' ὑφορβόν.
Οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
δὴ τότε κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.

472. Fιδόμην. 475. Fοῖδα. 476. Fίς. 477. Fιδών. 479. ἐFίσης. 481. δὴ τότε κοιμήσαντο] κοίτου τε μνήσαντο H. W. κοίτου τ' ἐμνήσαντο V. Lectionem κοίτου τ' ἐμνήσαντο citat Apollonius v. Κοῖτος. Per errorem igitur refert Villoisonus ad ψ'. 138. PORS.

τὸν Ἄργον καὶ ἀνῃρήκει. κρίναντας δὲ τοὺς θεοὺς εὐλαβεῖσθαι μὲν τὸν Δία (ins. διὰ) τὸ ὑπόδικον γεγενῆσθαι τὸν Ἑρμῆν ταῖς ἑαυτοῦ ([illegible] αὐτοῦ) παραγγελίαις. ἅμα δὲ ἀφοσιουμένους τὸ ἄγος, καὶ τῆς ἀνδροφονίας ἀπολύοντας αἷς εἶχον ὀργὴν (scr. ὀργαῖς) προσβαλεῖν αὐτῷ τὰς ψήφους. καὶ οὕτως ἀπεσωρευθῆναι πρὸς τοῖς ποσὶ τοῦ Ἑρμοῦ ψήφων πλῆθος. ὅθεν καὶ τοὺς [illegible]ρόσους ἄχρι τοῦ νῦν εἰς τιμὴν Ἑρμοῦ κατὰ τὰς ὁδούς, διὰ τὸ τὸν θεὸν εἶναι τούτων καθηγεμόνα καὶ τρόπων (ἐκτρόπων em. Barn.) τῶν ἐκδημούντων (Vulg. ἐκδικούντων), σωροὺς ποιεῖν λίθων καὶ διάγοντας προβάλλειν λίθους, καὶ τούτους καλεῖν ἑρμαίους λόφους. ἔστι δὲ λόφος πᾶν τὸ εἰς ὕψος μετέωρον. ἡ ἱστορία παρ' Ἀντικλείδῃ[1]. Q. Vulg. 478. Πόνου] Τοῦ περὶ τὸ δεῖπνον. Vulg. 481. Κοίτου τε μνήσαντο text. Γρ. δὴ τότε κοιμήσαντο. Pal. Harl.

[1] In [illegible]us Ἐξηγητικῷ, sive vocum dictionumque reconditæ originis explicatione. Vid. Voss. it. Schweigh. in Ind. Auct. ad Athenæum. BUTTM.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ρ.

Ῥῶ, βάλες, αἰπόλε τε, μνηστήρ τε, κύων ὃν ἀνέγνω.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην·
Ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀίω
κλαυθμοῦ τε στυγεροῖο, γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν μ' ἐσίδηται· ἀτάρ σοί γ' ὧδ' ἐπιτέλλω·

4. 11. ϝοι. 5. ϝάστυδε ϝιέμενος. ϝὸν προσέειπε. 9. μ' ἐσίδηται] με ἴδηται, a man. pr. H. V. W. ib. με ϝίδηται.

Ὑπόθεσις. Εἰς τὴν πόλιν ἐλθὼν Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τῆς ἀποδημίας τὰ κεφάλαια. ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ τοῦ Εὐμαίου εἰς Ἰθάκην ἀπὸ τῶν ἀγρῶν εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰσέρχεται. ὁ δὲ ποιητὴς ἀπαγγέλλει πῶς ὁ κύων ἀναγνωρίζει τὸν δεσπότην, καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς ὑποστρέφει, Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς (f. ἐν ἄστει) μένει. Pal. Vulg. Ὀδυσσέως ἄφιξις εἰς τὴν πόλιν. τὰ δὲ κατὰ μέρος ἐστὶ τοιαῦτα. Εὐμαίῳ προστάσσει Τηλέμαχος ἵνα μεθ' ἑαυτοῦ ἀγάγῃ τὸν Ὀδυσσέα εἰς τὴν πόλιν. ἐκείνου τοῦτο ποιοῦντος Μελάνθιος ὁ αἰπόλος συντυχὼν αὐτῷ κατὰ τὴν ὁδὸν ὑβρίζει τὸν Ὀδυσσέα λακτίσας. ὁ δὲ ἀλυγαρῶς ἤνεγκε τὴν ὕβριν. ἐπεὶ δὲ εἰς τὰ βασίλεια κατήντησε καὶ ὡς ξένος θεωρεῖται. συνευωχούμενος δὲ Τηλέμαχος αὐτῷ παρέσχε τὰ χρήσιμα. προστάξαντος δὲ τοῦ λοιποῦ προσῄτει. καὶ ὑβρίζεται ὑπὸ Ἀντινόου. μαθοῦσα δὲ ἡ Πηνελόπη τὴν ὕβριν μεταπέμπεται αὐτόν. ὁ δὲ οὐ παραγίνεται κατὰ τὸ αὐτό, ὑπέσχετο δὲ τοῦτο ποιῆσαι νύκτωρ ἐπειγομένης. καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς πορεύεται. καὶ ἐν τούτοις λήγει ἡ ῥαψῳδία. Q.

4. Εἵλετο δ' ἄλκιμον ἔγχος] Μόνον τοῦτο ὠνόμασε, τὸ δὲ ξίφος σεσιώπηκεν, ἐπειδὴ τὸ ξιφηφορεῖν ἀεί τε ἦν καὶ σύνηθες. ὡς τὸ πρὸ τῆς τροφῆς μὲν ἀεὶ τὰς χεῖρας ἀπονίπτεσθαι δηλοῖ, τὸ δὲ μετὰ τὴν τροφήν, ὡς

τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσι,
πύρνον καὶ κοτύλην· ἐμὲ δ' οὔπως ἐστὶν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
ὁ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
πτωχῷ βέλτιόν ἐστι κατὰ πτόλιν, ἠὲ κατ' ἀγροὺς,
δαῖτα πτωχεύειν· δώσει δέ μοι, ὅς κ' ἐθέλῃσιν.
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμὶ,
ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι·
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, ὃν σὺ κελεύεις,
αὐτίκ', ἐπεί κε πυρὸς θερέω, ἀλέη τε γένηται·
αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσῃ
στίβη ὑπηοίη· ἕκαθεν δέ τοι ἄστυ φάτ' εἶναι.
Ὣς φάτο· Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
κραιπνὰ ποσὶ προβιβάς· κακὰ δὲ μνηστῆρσι φύτευεν.
αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὖ ναιετάοντας,
ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
αὐτὸς δ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.

10. ἐκεῖθι] ἐκεῖθεν V. 11. οἱ] τοι H. ib. Ϝοι. 17. οὐδέ τοι αὐτὸς] οὐδ' αὐτός τοι V. 18. βέλτιόν] βέλτερόν H. V. W. 22. ὃν] τὸν H. W. 24. Ϝεἵματ'. 25. στίβη ὑπηοίη] στείβη ὑπ' ἠοίη V. ib. τοι] τε H. W. ib. Ϝέκαθεν δέ τε Ϝάστυ. 29. ἔγχος μὲν στῆσε πρὸς κίονα μακρὸν ἐρείσας W.

ἀκόλουθον, ἡμῖν σιωπῇ κατέλιπεν ὑπονοεῖν. Q. 10. Τὸν ξεῖνον δύστηνον[a]] Πρὸς τὴν τοῦ ἄρθρου μετάθεσιν. ὅμοιόν ἐστι τῷ, Οὔτε τὰ τεύχεα καλά (Il. φ'. 317.) Q. 20. Τηλίκος] Τῆς τοσαύτης[b] ἡλικίας. Vulg. 21. Σημάντορι] Τῷ ἐννοεῖν ἐπιτάσσοντι. καὶ ἐν τῷ, Σημάντορος οὐ παρεόντος (Il. ο'. 325.), νομέως. B. Q. 23. Ἀλέη] Θερμασία, κυρίως ἡ τοῦ ἡλίου. Q. Ἡ θερμασία τοῦ ἡλίου. σημαίνει δὲ καὶ τὴν ἀποφυγήν. Vulg. Ἑλέη text. Schol. ἡ θερμότης τοῦ ἡλίου. Pal. 25. Στίβη ὑπ' ἠοίη (sic ed. ant.)] Ὁ παγετὸς ὁ ὄρθρινός. Vulg. Ὑπηοίη] Ἡ κυκλικὴ (vid. ad σ'. 195.), ὑπηοίη. Harl. 26. Διὰ σταθμοῖο] Γρ. διὲκ μεγάροιο. Harl. 29. Ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρήν] Γρ. ἔγχος μὲν στῆσεν πρὸς κίονα μακρὸν ἐρείσας. Harl. 30. Αὐτὸς δ' εἴσω ἴεν] Ἐνήλλακται ἡ τάξις. τὸ γὰρ ἑξῆς, αὐτὸς δ' ὑπέρβη

[a] In Mediol. inepte lemma vers. praec. Σύγ' ἠδ' ἀτιτάλλω praefixum. BUTTM.
[b] Mer. Casaubonus corrigebat τῆσδε οὔσης, sine causa, et textus structura repugnante. BUTTM.

Τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισι·
δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι
δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσῇ Ἀφροδίτῃ·
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· οὔ σ' ἔτ' ἔγωγε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρῃ, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμὴ, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω

31. ϝεῖδε. 37. ἠδὲ] ἢδὲ H. ib. χρυσῇ] χρυσέῃ W. ib. ϝικέλη. 39. κύσσε] κῦσσε H. 40. ϝέπεα. 43. λάθρῃ] λάθρῃ V. ib. ἀϝέκητι. 48. ϝείμαθ'. 49. omittit H. Uncinis includit W. 51. ϝέργα. 52. ἀγορήνδε ἐλεύσομαι] ἀγορὴν ἐσελεύσομαι a m. pr. δ' ex emend. additum in recens. H. PORS. ἀγορήνδ' ἐσελεύσομαι V. ἀγορὴν ἐσελεύσομαι W.

λαϊνὸν οὐδὸν καὶ εἴσω ἴεν. Vulg. 32. Κώεα καστορνῦσα] Καταστρώννυσα. οὐκ οἶμαι τοῖς τῶν μνηστήρων θρόνοις Εὐρύκλεια, ἀλλ' ἐνδοτέρω μετὰ τὸν ἀνδρῶνα. Q. 35. Καὶ κύνεον] Ὡς ἂν δοῦλοι (f. δοῦλαι) τοὺς ὤμους· ἡ δὲ Πηνελόπη κεφαλήν τε καὶ ἄμφω φάεα καλά. τὸ γὰρ στόμα οὔτε δοῦλοι οὔτε ἐλεύθεροι ἐφίλουν. Q. 43. Λάθρῃ ἐμεῦ ἀέκητι] Ποιότητος ἐπίρρημα. ποιότης δέ ἐστιν ἢ τὸ ποιὸν σχῆμα τοῦ σώματος ἢ τῆς ψυχῆς δηλοῦσα. B. Q. 50. Τεληέσσας ἑκατόμβας] Γρ. Τηλέμαχ' ἑκατόμβας[c]. Harl. 51. Ἀντίτιτα] Ἀντέκτιτα— scr. Ἄντιτα] Ἀντίτιτα—. ἔστι δὲ συγκοπή. Q. Ἄντιτα] Ἀντιτιμώρητα. Vulg. 52. Ἀγορήνδε ἐλεύσομαι] Νῦν[d] τὸν τόπον ἐκάλεσεν ἀγοράν. Q. Harl.

[c] En gemina plane hic et ad v. 529. ac memorabilia exempla sphalmatum putidissimorum, quae tamen cum gravi sigla γρ. in alia etiam apographa derivata sunt. BUTTM.

[d] Ex Harl. affertur νῦν δὲ—. BUTTM.

ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισι·
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Τηλέμαχος δ' ἄρ' ἔπειτα διὲκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο.
θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο,
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
ἀλλ', ἵνα Μέντωρ ἧστο, καὶ Ἄντιφος, ἠδ' Ἁλιθέρσης,
οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα.
τοῖς δ' ἐπὶ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθε,
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπε·
Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,

55. ϝοίκον. 58. ϝείμαθ'. 60. ϝέργα. 64. λαϝοί. 69. ϝοι. 70. ϝέκαστα, l. ἐξερέεινον ἅπαντα. 71. τοῖς δ' ἐπὶ] τοῖσι δὲ H. V. W. ib. ἐγγύθεν] ἀντίον V. 73. ϝεκάς. 74. ἔϝειπε.

Ἀριστοφάνης, ἐλεύσομαι. Harl. 55. Ἠνώγεα] Γρ. ἠνώγειν. Harl. 57. Ἄπτερος μῦθος] Ἤτοι ἰσόπτερος, ταχύς. Vulg. Ταχὺς πρὸς τὸ πεισθῆναι καὶ ἰσόπτερος. B. Ἢ οὐκ ἀπέπτη ὁ λόγος, ἀλλ' ἐνέμεινε μὴ ἔχων πτερόν. λέγει δὲ ὅτι ταχέως προσήκατο τὸν λόγον, ταχέως ὑπήκουσεν. Q. Vulg. Conf. Barn. qui e MS. addit: Ἡρωδιανὸς δὲ, ἑτοίμως, λέγει. Ἢ ἄπτερος καὶ ἀμετακίνητος, ἐκ τοῦ α στερητικοῦ μορίου. ἢ μᾶλλον σύντομος καὶ ταχὺς, ἐκ τοῦ ἐπιτατικοῦ. B. Ἤτοι, ἔμμονος. Harl. 73—81. Scholia vulgata edd. ant. ad hanc textus partem sic habent: ΤΡΑΠΕΤΟ. ἐτράπη. ΣΠΕΡΧΩ. σημαίνει τὸ κατεπείγομαι (scr. κατεπείγω καὶ) σπεύδω καὶ συστρέφω. ἴσως ἀπὸ τοῦ περιέχεσθαι. συμπεριέχω οὖν, καὶ συγκοπῇ σπέρχω. ΕΠΑΤΡΕΜΕΝ. ἐπιστραφῆσαι. ΟΤΡΥΝΟΝ. ἔπειξον. Ex his scholium σπέρχω, quoniam in textu non habet quo referatur, omiserunt edd. rec. Sed spectat sine dubio ad 75. ubi pro αἶψ' ὄτρυνον, ut ex hoc ipso scholio patet,

ὥς τοι δῶρ' ἀποπέμψαι, ἅ τοι Μενέλαος ἔδωκε.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Πείραι', οὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα·
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
λάθρῃ κτείναντες πατρώϊα πάντα δάσονται,
αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.
Ὣς εἰπὼν, ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
ἐς δ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
τοὺς δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας·
ἔκ ῥ' ἀσαμίνθου βάντες ἐπὶ κλισμοῖσι κάθιζον.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο,
κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Τηλέμαχ', ἦτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας εἰς τόδε δῶμα,

76. ΜενέλαϜος. 78. γὰρ Ϝίδμεν. Ϝέργα. 80. δάσονται] δάσωνται H. V. W. 84. Ϝειπών. εἴσαγε Ϝοῖκον. 87. ἐς δ'] ἐς ῥ' V. ib. ἐϋξέστας λούσαντο] ἐπὶ κλισμοῖσι κάθιζον. γρ. ἐϋξεστὰς λούσαντο H. 93. παρὰ δὲ] παρα δὲ (sic) H. 104. ἈτρεϜίδῃσ' εἰς ϜΊλιον.

antiqua lectio fuit etiam αἶψα μενόντων καὶ ταχέως μὴ συγχωρούντων σπέρχων. 95. Παρεόντων] Τῶν παρα- Vulg. 97. Κλισμῷ κεκλιμένη] Ἐπὶ

νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.
  Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
τοὶ γὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω·
ᾠχόμεθ' ἔς τε Πύλον, καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ μ' ἐκεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
ἐνδυκέως ἐφίλει, ὡσεί τε πατὴρ ἑὸν υἷα
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκε,
ζωοῦ, οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι·
ἀλλά μ' ἐς Ἀτρείδην δουρικλειτὸν Μενέλαον
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
  Ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας, γαλαθηνοὺς,
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·

106. ϝειπέμεν. 109. λαϝῶν. 110. μ' ἐκεῖνος] με κεῖνος W. 111. ἑϝόν. 115. ἐπιχθονίων] ἐπιχθονίου V. 116. Ἀτρεϝίδην. Μενέλαϝον. 118. ϝεῖδον δ' Ἀργεϝίην. 119. Ἀργεῖϝοι. 120. Μενέλαϝος. 121. δῖϝαν. 123. με ϝέπεσσιν. προσέϝειπεν. 127. νεηγενέας] νεηγονέας pro v. l. H. Et sic schol. Ven. ad Il. Χ'. 115. qui mox ὁ δέ τ' ἦκα, quanquam dubium est, ad locum huncce an ad Od. Γ'. 338. pertineat. Scholiastæ locus in codice Towuleiano ita se habet; ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος νεβροὺς κοιμήσασα ἕως ἑὴν εἰσήλυθεν εὐνήν. PORS. 129. ϝεϝήν. 130. ἐφῆκεν] ἐφήσει H. ib. et 131. ἀϝεικέα.

τὰ ἀριστερὰ μέρη κεκλιμένη. B. Q. 109. Γρ. ἐς Πύλον. Harl. 111. In Harl. text. vulg. cum forma υἷαι Schol. Οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος, ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν παῖδα: eademque leguntur in marg. Vindob. 133. in cujus textu est υἱόν. 118. Πολλοί text. Γρ. πολλά. Vind. 133. 119. Μόγησαν] Γρ. δάμησαν. Harl. Vind. 133. 130. Ἐφήσει,

ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
τοῖος ἐὼν, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,
κάδδ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί·
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπικεύσω.
φῆ μιν ὅδ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,

131. omittit H. 135. Ἀχαιϝοί. 139. ϝείποιμι. 140. ἔϝειπε. 141. τῶν] ὧν V. ib. ϝέπος. 142. ὅδ'] ὅγ' H. W. ib. ϝιδέειν. 144. ϝήν. 145. ϝοι.

Γρ. ἐφῆκεν. Harl. 134. Φιλομηλείδῃ] Ὁ Φιλομηλείδης, ὡς Φιλομήλου υἱός. ὁ γὰρ Πάτροκλος οὐ δύναται δηλοῦσθαι ὡς Φιλομήλας υἱὸς ὅτι τε τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητὴς, καὶ ὅτι τὸ ἐπιφερόμενον οὐκ οἰκεῖον ἦν ἐπὶ Πατρόκλου· Κὰδδ' ἔβαλε κρατερῶς κεχάροντο δὲ πάντες Ἀχαιοί. καὶ ἐν Ἰλιάδι δὲ* λέγει (ρ. 670.), Νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο Μνησάσθω. Vulg. Q. In Harl. versui 147. ascriptum: Ἀθετοῦνται ιϛ' στίχοι: ad quam notam Porsonus observat: "Voluisse videtur ιε':" nimirum quoniam sextus decimus ab 147. versus est hic Τὸν δ' αὖτε προσέειπε π. Πηνελόπεια, qui ante insequentes abesse non potest. In ed. Mediol. eadem nota e cod. Q. legitur, sed cum numero ιβ'. relataque ad versum 150. Quod præferendum utique est Porsonianæ rationi quoniam servantur ita ultimi versus e sermone Telemachi, qui cur improbati fuerint plane non apparet. Sed in utraque ratione istud remanebat maximum incommodum, quod responsio Penelopes Αἲ γὰρ τοῦτο ξεῖνε κ. τ. ε. Theoclymeni oratione abjecta stare plane non poterat. Manifestum est itaque, veram esse lectionem Harleianam ιϛ' sed eo referendam ubi notam ponit cod. Q. et ponere volebat scriba quoque codicis Harl. aberrans ille quidem a versu Ὣς φάτο retro ad versum Ὣς ἔφατ'. Ita salva narrationis serie tolluntur versus 150—165. comprehendentes sermonem Theoclymeni cum responsione Penelopes. Atque sic diserte schol. 160. quanquam corruptum et ipsum.

* In Q. δὲ abest: ego malim abesse καί: opponuntur enim hæc ex Iliade verbis his κεχάροντο π. Α. BUTTM.

οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Ὣς ἔφατ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ὅδ' οὐ σάφα οἶδεν· ἐμεῖο δὲ σύνθεο μῦθον·
ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω.
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ὡς ἤτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ
ἥμενος, ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
ἔστιν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.
τοῖον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.

146. κέν et suprascr. καί H. 147. Ἀτρεϝίδης. Μενέλαϝος. 151. μετέϝειπε. θεοϝειδής. 152. Λαϝερτιάδεω. 153. ὅδ'] ὅγ' H. W. ib. ἐμεῖο δ. σ. μῦθον] ἐμεῖο δ. σ. μύθων H. ib. ϝοῖδεν. 156. ϝιστίη. 158. ἕρπων] ἕρδων V. ib. ϝέργα. 160. τοῖον ἐγὼν] οἷον ἐγὼ H. οἷον W.

159. Ad primam hujus versus vocem ἔστιν in Harl. scriptum γρ. ἴστιν: quod Porsonus admodum probabili conjectura natum putat ex ἱστίη, allito olim primæ versus 156. voci ἱστίη: sic enim Harl., sed alia exempla ἑστίη, quo probabilior etiam fit conjectura. 160. Οἷον ἐγώ] Ἐν ταῖς χαριεστέραις οὗτοι μόνοι οἱ ιβ' ἀθετοῦνται, ἐπεὶ καὶ (Vind. male δὲ) πρὶν εἰσελθεῖν ἐν τῇ νηῒ τὸν οἰωνὸν εἶδε, καὶ τὸ ἐγεγώνευν οὐκ ἀκαίρως ἐστίν. ἐν δὲ ταῖς κοινοτέραις (Vind. εἰκαιοτέραις) ἀπὸ τοῦ, ὣς ἔφατο, ἕως τοῦ, ἐξ ἐμεῦ [f]. Q.

[f] Hac ultimi versus indicatione nostra quam supra exposuimus ratio confirmatur plenissime, apparetque simul, istud ἔφατο quod in scholio hic præcedit mutandum esse non in ἔφατ' sed in φάτο. Verum nova nunc oritur quæstio quinam sint illi XII versus qui in præstantioribus exemplis damnabantur. Eam tamen, ne longus sim, ita statim dirimam, ut manifestas hujus scholii corruptelas probabili ratione tollam. Atque hoc certe facile omnibus, opinor, persuadebo, pro οἱ ιβ' legendum esse οἱ β', spectarique hos ipsos versus 160, 161. A qua ratione hoc neminem certe absterrebit quod verbum ἐγεγώνευν a scholiaste videtur defendi. Nam hoc utique manifestum est, sententiam horum versuum damnari his ἐπεὶ καὶ κ. τ. λ. Perversa autem condemnationis causa affertur, quod ante conscensam navem augurium fecerit Theoclymenus; nam post descensionem potius hoc evenit (ο'. 525. sqq.). Verum hæc ipsius scholiastæ confusio relinquenda est eidem. Pro οὐκ ἀκαίρως autem legendum esse ἀκαίρως sponte nunc patet; nisi quis alium corrigendi modum comminisci potest quo locutio quoque aptior prodeat. Quare hoc etiam observo pro ἐγεγώνευν in schol. Vind. scriptum esse ἐγεγώνει, in Mediol. ἐγεγώνειν. BUTTM.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο, καὶ αἰγανέῃσιν ἱέντες,
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
ἀλλ' ὅτε δὴ δειπνηστὸς ἔην, καὶ ἐπήλυθε μῆλα
πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον, οἳ τὸ πάρος περ,
καὶ τότε δή σφιν ἔειπε Μέδων, ὃς γάρ ῥα μάλιστα
ἥνδανε κηρύκων, καί σφιν παρεγίνετο δαιτί·
Κοῦροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν, πείθοντό τε μύθῳ.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
οἱ δ' ἱέρευον ὄις μεγάλους καὶ πίονας αἶγας,
ἱέρευον δὲ σύας σιάλους, καὶ βοῦν ἀγελαίην,
δαῖτ' ἐντυνόμενοι. Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός·
τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·

162. προσέϝειπε. 163. ϝέπος. 170. δειπνηστὸς] δειπνῆστος H. δείπνηστος V. W. 172. ἔϝειπε. 173. ϝάνδανε. 177. πείθοντό τε μύθῳ] ποτὶ οἶκον ἕκαστος H. 180. ὄϝις. 181. ε insertum in ἱέρευον ab eadem manu H. PORS. ἵρευον W. 183. δῖϝος.

Vind. 133. Ἐγεγόνειν (sic ed. ant.)] Ἐσήμαινον, ἔλεγον. Vulg. 170. Δειπνηστός] Ὀξυτόνως μὲν τὸ δεῖπνον, βαρυτόνως δὲ ὁ καιρὸς τοῦ δείπνου. B. Q. ΔΕΙΠΝΗΣΤΟΣ. βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα, ὀξυτόνως δὲ τὸ δεῖπνον. Vulg. 172. Καὶ τότε δή σφιν ἔειπε Μέδων] Εὐνούστατος μὲν ὁ Μέδων τῇ Ὀδυσσέως οἰκίᾳ· δι' ἐπιείκειαν δὲ ἤθους καὶ οἱ μνηστῆρες αὐτὸν ἐτίμων καὶ ὁμοτράπεζον εἶχον. Q. 176. Οὐ μὲν γάρ τι χέρειον] Ἤτοι οὐ (del. οὐ) καλόν ἐστιν· ὡς τὸ οὐχ ἥκιστα ἀντὶ τοῦ μᾶλλον. B. 177. Γρ. πείθοντό τε μύθῳ. Harl. 181. Ἵρευον] Ὡς συγκοπτόμενον ψιλοῦται. B. Ἀθετεῖ καὶ Ἀριστοφάνης.

Ξεῖν', ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμὸς, ἦ σ' ἂν ἔγωγε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα γενέσθαι·
ἀλλὰ τὸν αἰδέομαι, καὶ δείδια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί.
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
ἦμαρ· ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις·
ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶ,
σκηρίπτεσθ', ἐπειὴ φάτ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκε.
τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
ῥύατ' ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι,
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
ἄστεος ἐγγὺς ἔσαν, καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
τὴν ποίησ' Ἴθακος, καὶ Νήριτος, ἠδὲ Πολύκτωρ·

186. ϝάναξ. 187. γενέσθαι] λιπέσθαι H. W. 189. δὲ ϝανάκτων. 191. ϝέσπερα. 197. ἀϝεικέα. 199. ϝοι. 201. ϝάνακτα. 203. εἵματα ἕστο] εἵματ' ἔχοντα V. ib. ϝείματα ϝέστο. 205. ϝάστεος.

Harl. 185. Πόλινδ' ἰέναι] Γρ. δ' ἴμεναι. Harl. 190. Μέμβλωκε μάλιστα] Μεμβλωκε, ἀντὶ τοῦ προσήκει (sic), καὶ μεσημβρία λοιπόν ἐστι, καὶ παρελήλυθε τὸ πλεῖστον τῆς ἡμέρας. B. Q. Τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν. Pal. Vulg. 191. Ποτὶ ἕσπερα ῥίγιον] Πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστιν. Vulg. 195. Ῥόπαλον] Παρὰ τὸ εἰς ἕτερον μέρος ῥέπειν. B. 196. Ἀρισφαλέα] Ἄγαν σφαλερὰν, τραχεῖαν, σκληρὰν, σφῦλαι πάνυ διατετριμμένην, δύσβατον, ὀλισθηρὰν ὥστε κινδυνεύειν καταπεσεῖν. B. Q. Τραχὺν, σκληρὸν, σφῦλαι πάνυ διατετριμμένον, δύσβατον, ὀλισθηρὸν[g] ὥστε κινδυνεύειν καταπεσεῖν. οὐδὸν δὲ νῦν ἀντὶ τοῦ τὴν ὁδόν. Vulg. Τὸ, οὐδὸν, ἀντὶ τοῦ τὴν ὁδόν. νῦν δὲ μόνως μετὰ τοῦ υ. B. 206. Τυκτήν] Οὐκ αὐτοφυῆ. οὐ λέγει δὲ τὴν Ἀρέθουσαν. B. 207. Ἴθακος

g Masculina haec omnia Barnesius sine codice in feminina mutavit. BUTTM.

ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο
Νυμφάων, ὅθι πάντες ἐπιρέζεσκον ὁδῖται·
ἔνθα σφέας ἐκίχαν' υἱὸς Δολίοιο Μελανθεύς,

212. ἐκίχαν'] ἔκιχεν V.

καὶ Νήριτος ἠδὲ Πολύκτωρ] Περελάου[h] παῖδες Ἴθακος καὶ Νήριτος ἀπὸ Διὸς ἔχοντες τὸ γένος ᾤκουν τὴν Κεφαλληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο καταλιπόντες τὰ σφέτερα ἤθη παραγίνονται εἰς τὴν Ἰθάκην. καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμὸν διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι καὶ (del. καὶ) κατοικήσαντες δεῦρο τὴν Ἰθάκην ἔκτισαν. καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος[i] ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ (Sturz. fr. 22.). Vulg. Οὗτοι Περελάου παῖδες καὶ Ἀμφιμήδης. καὶ ἀπὸ μὲν Ἰθάκου Ἰθάκη, ἀπὸ δὲ Νηρίτου Νήριτον ὄρος, ἀπὸ δὲ Πολύκτορος Πολυκτόριον τόπος ἐν τῇ Ἰθάκῃ. B. Q. 208. Ἀμφὶ δ' ἄρ' αἰγείρων] Ἥλιος Ῥόδῃ μιχθεὶς τῇ Ἀσωποῦ παῖδας ἴσχει Φαέθοντα καὶ Λαμπετήεντα[k] καὶ Αἴγλην καὶ Φαέθουσαν. ἀνδρωθεὶς δὲ ὁ Φαέθων ἤρετο τὴν μητέρα τίνος εἴη πατρός. πυθόμενος δὲ ὡς Ἡλίου, παραγίνεται ἐπὶ τὰς τοῦ πατρὸς ἀνατολάς. γνωρισθεὶς δὲ τούτῳ (Vulg. οὕτω, recentt. οὕτως) ἐδεῖτο τοῦ πατρὸς ἐπ' ὀλίγον αὐτῷ συγχωρῆσαι τὸ ἅρμα καὶ τοὺς ῥυτῆρας ὅπως κατοπτεύσῃ τὸν κόσμον. ὁ δὲ Ἥλιος ἀκούσας παραυτὰ μὲν ἀντέλεγεν εἰδὼς (Mediol. om. εἰδὼς) ἃ πείσεται. σφόδρα δὲ αὐτῷ ἐγκειμένῳ συγχωρεῖ διδάξας ὅ,τι τὸ μεταίχμιον. ἐπιβὰς δὲ[l] ἐκεῖνος τοῦ ἅρματος ἀτάκτως ἤλαυνεν, ὥστε ταπεινοῦντα πάντα τὰ ἐπὶ[m] τῆς γῆς φρύγειν. καὶ δὴ τῆς ἀφροσύνης ἐπισχεῖν αὐτὸν κεραυνῷ τὸν Δία. καταπεσόντος δὲ αὐτοῦ μετὰ τῆς θείας φλογὸς ἐπὶ τὸν Ἠριδανὸν ποταμὸν καὶ φθαρέντος αἱ ἀδελφαὶ παραγενόμεναι κατὰ τὸν τόπον τοῦ Κελτικοῦ πελάγους ἐθρήνουν ἡμέρας ἀδιαλείπτως καὶ νυκτός. ὅθεν κατελεήσας ὁ Ζεὺς ταύταις ἀνάμνησιν ἐπεποίησεν τῶν κακῶν μεταμορφῶν αὐτὰς εἰς αἰγείρους, αἵπερ εἰσὶ δένδρα. λέγεται δὲ καὶ ἐντεῦθεν ἀπογεννᾶσθαι τὸν (edd. rec. τὸ) ἤλεκτρον, τῆς ἀρχαίας οἰμωγῆς ἀποδακρύοντα τούτων[n] καρπὸν ἀπὸ τῶν δένδρων. ἡ δὲ ἱστορία

[h] Barnesius e MS. Πτερελάου. Illud tamen etiam in schol. Mediol. sq. BUTTM.

[i] Pro ἡ νῆσος Spohnius (de extr. Odyss. parte p. 84.), ob sequens verbum παρακείμενον, rescribendum putabat ἡ πόλις. Ego logicis his legibus scholiastas astrictos non existimo. BUTTM.

[k] Barn. et Majus emendant Λαμπετίην, et ille quidem e libris, ut ait. BUTTM.

[l] Sic Vulg. edd. recentt. Nam in antiquis :—διδάξας. ὅτι δὲ μεταίχμιον ἐπιβὰς ἐκεῖνος τοῦ ἅρματος. In Mediol. ita: διδάξας. ἐπιβὰς δὲ ἐκ. τ. α. omissis intermediis. BUTTM.

[m] Sic Barnes. e MS. Nam in edd. ant. erat ταπεινῶν τὰ πάντα ἐπὶ—, in quibus nominativus quidem non reprehendendus erat, sed articulus non suo loco stabat. In Mediol. omisso participio, ὥστε πάντα τὰ ἐπὶ—. Et sane vix hujus loci est verbum ταπεινοῦν. BUTTM.

[n] Vulg.—οἰμωγῆς. ἀποδακρύονται δὲ τοῦτον—. Sed Mediolanensis scriptura praeferenda videtur. Ignota enim vox media ἀποδακρύονται; contra non male, opinor, ὁ ἤλεκτρος dicitur τῆς ἀρχαίας οἰμωγῆς ἀποδακρύειν (decidere ut lacrima) καρπὸς ἀπὸ τῶν δένδρων. Atque ita pro superiori ἀνάμνησιν reponendum quod res poscit, ἀμνηστίαν. BUTTM.

αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει·
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
πῆ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῇσι φλιῇσι παραστὰς φλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας·

215. Fιδὼν. Fέπος. 216. ἀFεικές. 217. ἡγηλάζει] ἠγηλάζει H. et Apollonius in v. PORS. 218. ὡς prius explicatur οὕτως, posterius πρὸς H. 219. τόνδε] τόν γε V. 221. πολλῇσι] πολλῇσ primo scripsisse videtur, deinde ι addidisse H. Et sane, cum ceteri omnes poetæ φλιὰ spondæum faciant, malim πολλῇς. PORS. ib. φλίψεται a m. pr. θλίψεται ex emend. H. θλίψεται W. 222. ἄορας] ἄορά γ'. In marg. γρ. οὐκ ἄορας οὐδὲ λέβητας: schol. οὐδετέρως τὰ ἄορα ἵνα λέγῃ τὰ ξίφη: H. Sed ἄορας habent bis Apollonius, qui interpretatur γυναῖκας, Etymologus M. p. 56, 16. Hesychius, qui habet ἄορας. τὰ ξίφη ἀρσενικῶς. iterum Ἄορες. γυναῖκες λέγονται καὶ τρίποδες. Heliodorus Æthiopic. II. p. 89. PORS.

παρὰ τοῖς τραγικοῖς. Vulg. Q. 217. Ἡγηλάζει text. In marg. ad 218. hoc scholium ascriptum est: οὕτως Ἀρίσταρχος καὶ Ἀριστοφάνης, χωρὶς τοῦ σ.[o] Harl. 219. Μολοβρόν] Τὸν ἐπαίτην, τὸν γαστρίμαργον, τὸν μολίσκοντα ἐπὶ τὴν βορὰν, τὸν ἀκόρεστον τροφῆς. Vulg. Barnes. Ἀμέγαρτε συβῶτα] Ἢ ἐν τῷ βοτεῖν (scr. συβ.) ἀφθόνητε ὃ δηλοῖ τὸ καλῶς (immo κακῶς) πράττειν. ἢ ᾧ οὐκ ἄν τις φθονήσειε τοῦ συβωτεῖν, οὐκ ἄξιε τοῦ συφορβεῖν. Vulg. Οὐδενὸς λόγου ἄξιε. Q. 220. Δαιτῶν ἀπολυμαντῆρα] Λυμεῶνα τῶν εὐωχιῶν, ἢ τὸν τὰ καθάρματα προσφερόμενον τῶν εὐωχιῶν. Vulg. et posterius B. Q. 221. Φλιῇσι] Ταῖς παραστάσεσι (scr. παραστάσι) τῆς θύρας. Vulg. Θλίψεται ὤμους] Θλίψεται, Αἰολικῶς, ἀντὶ τοῦ θλιβήσεται[p], ὃς οὐκ ἐκβήσεται τῶν φλιῶν, οὐδὲ εἴξει. εἰώθασι δὲ οἱ πτωχοὶ προσκλίνεσθαι ταῖς θύραις, ἢ προστρίβεσθαι. Vulg. Q. Διὰ τοῦ θ, ὡς καὶ Ζηνόδοτος. Harl. Γρ. θλίψεται ἦτορ. Vind. 133. 222. Ἀκόλους] Οὓς οὐκ ἄν τις κολούσῃ διὰ τὴν βραχύτητα. B. Q. Ψωμοὺς ὧν οὐκ ἄν τις κολούσηται[q] διὰ τὴν σμικρότητα. Pal. Ἄορας] Οἱ μὲν

[o] Alii igitur quidam legebant ἠγηλάζεις. Quæ sane lectio, principum criticorum pace dixerim, mihi longe melior videtur. Alloquitur enim subulcum Melantheus et singularem propositionem generali sententia comprobat. PORS. Non assentior. Singularitas enim sententiæ satis exprimitur illo νῦν, irridenti autem longe melius convenit usus tertiæ personæ. BUTTM.

[p] Sic in Vulg. ed. ant. et in Q., ut videri possit Æolismus esse in usu futuri medii pro fut. pass. Sed satis manifestum est referri hoc ad scripturam φλίψεται. Vid. Eustath. Quare in recentt. editionibus ita interpolatum legitur scholium: Φλίψεται] Αἰολικῶς. Ἔνιοι, θλίψεται, θλιβήσεται, ὃς οὐκ κ. τ. λ. BUTTM.

[q] Manifesta prioris scholii depravatio, cujus initia in schol. vulg. ubi est Ψ.: οὓς οὐκ ἄν τις κολούσῃ λ. τ. βρ. BUTTM.

τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι,
σηκοκόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι ἐρέω, τόδε καὶ τετελεσμένον ἔσται,
αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων

223. γενέσθαι] λιπέσθαι et suprascr. γρ. γενέσθαι H. λιπέσθαι W. 224. Schol. ad θαλλόν· κλάδον ἢ πᾶν τὸ ἐκ τῆς [γῆς] H. PORS. 226. Ϝέργα. 227. Ϝέργον. 228. Ϝήν. 229. Ϝερέω. 231. Ϝοι.

χωρὶς τοῦ σ, τὰ ξίφη, παρὰ τὸ ἄορ. εἰ δὲ μετὰ τοῦ σ [a] ἄορας· εἰ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας (Mediol. -α) ἆθλα γυναῖκας· λέγει γάρ που, Ἢ τρίπους ἠὲ γυνή (Il. χ. 164.) ἢ ἄορας (del. verba ἢ α.)· εἰ δὲ τοὺς τρίποδας τοὺς ὦτα ἔχοντας ἐξ ὧν αἴρεσθαι δύνανται. Vulg. Et sic fere B. Q. 224. Σηκοκόρον] Ἐπιμελητὴν ἐπαύλεως, ἢ τὸν σαίροντα τοὺς σηκούς. σηκοὶ δὲ λέγονται αἱ μάνδραι καὶ οἱ τόποι ἔνθα συγκλείονται αἱ αἶγες καὶ τὰ πρόβατα. Vulg. Θαλλὸν] Πᾶν τὸ ἐκ γῆς φυέν. ἢ τὴν φυλλάδα. πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται, ὑπὸ τῶν Ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. Vulg. 225. Καί κεν ὀρὸν πίνων] Ὀρρὸς [b] ἡ ὑδατώδης καὶ ἐφθαρμένη ὑπόστασις τοῦ γάλακτος· ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑπολειπόμενον ὑδατῶδες. Ἐπιγουνίδα δὲ λέγει τὴν τοῦ σώματος εὐεξίαν. ἀπὸ γὰρ μέρους τοῦ κατὰ τὸ γόνυ δέρματος τὸ πᾶν ἐσήμανεν. ἢ τὸ ὑπεράνω τοῦ γόνατος. Q. Vulg. Ἐπιγουνίδα τινὲς τὴν λεγομένην ἄντζαν. B. 228. Ἄναλτον] Ἀπλήρωτον. Vulg. Ἀκόρεστον, παρὰ τὸ μηδέποτε ἅλις ἔχειν. B. Q. Ὁ δὲ Ἡρωδιανὸς τὴν γαστέρα ἀναίσχυντον, ἄναλδον (Q. ἄναλγον, Vind. ἄναλτον) τινα οὖσαν, τὴν ἀεὶ ξηρὰν καὶ ταπεινήν. B. Q. Vind. 133. 231. Ἀμφὶ κάρη] Γρ. ἀμφικαρῆ. Harl. Τινὲς μὲν ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. ἄμεινον δὲ κατὰ παράθεσιν ἀναγινώσκειν, ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. Vulg. Ἀμφὶ κάρη σφέλα] Ὁ μὲν Ἀσκαλωνίτης ἀμφὶ κάρη (scr. ἀμφικαρῆ) σφέλα τὰ μικρὰ ὑποπόδια διὰ τὰς βάσεις. Ὁ δὲ Ἡρωδιανὸς, ἀμφὶ κάρη, ὡς εἰ ἔλεγε πεμπόμενα ἐπὶ τὸ κάρη· καὶ κατερχόμενα εἰς τὰς πλευρὰς συντρίψουσιν αἱ πλευραί. ὑπερβολικῶς δὲ εἶπεν ὡς εἰ φαίη τις ὅτι πολλὰς μάστιγας κατέτριψεν ὁ νῶτος τόδε. Ἔστι δὲ, ἀμφὶ κάρη σφέλα, ὡς αὐτῶν τῶν βαλλόντων ἐπὶ τὴν κεφαλὴν ἐχόντων τὰς χεῖρας ὅτε μέλλουσιν ἀποπέμπειν κατ' αὐτοῦ. B. Q. Σφέλα] Τὰ ὑποπόδια, ἢ τὰ ἐντινάγματα τὰ δυνάμενα σφῆλαι ὅ ἐστιν κινῆσαι (Q. δυνάμενα κινηθῆναι). Vulg. Q. Σφέλα] Τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα. ἢ ἴσως παρὰ τὸ ἀπὸ σφηνῶν συμπεπῆχθαι. σφῆνες δὲ τὰ μικρὰ ξύλα. σφέλλα δὲ τὰ μικρὰ ὑποπόδια [c]. Vulg.

[a] Male hic insertum vulgo τρίποδας. BUTTM.
[b] Vulg. ed. ant. ita ΘΟΡΟΝ. ὀρὸς, ἀντὶ ὀρρὸν, τὸν ὑδατώδη etc. BUTTM.
[c] E cod. B. qui habet posteriora inde ab ἴσως, postrema afferuntur ita: σημαίνει δὲ (mendose pro σφέλα δὲ) τὰ μ. ὑ. καὶ τὰς βάσεις. BUTTM.

πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.
  Ὣς φάτο· καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς,
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
ἦ πρὸς γῆν ἐλάσειε κάρη, ἀμφ' οὖδας ἀείρας·
ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
νείκεσεν ἄντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·
  Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς
ὔμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
ἀρνῶν, ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
  Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
ὢ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς;
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.
  Ὣς εἰπὼν, τοὺς μὲν λίπεν αὐτόθι, ἦκα κιόντας,
αὐτὰρ ὁ βῆ· μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν,
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.

232. πλευραί] πλευραὶ δ' H. 237. οὖδας] οὐδὶς H. ἀμφουδὶς W. ib. ἀρείσας pro ἀείρας Apollonius v. ἀμφούδας. PORS. 239. νείκεσεν] νείκεσ' ἐς H. νείκεσ' ἐσάντα W. ib. Fιδών. 241. πίονι] ἀργέτι V. 242. Fαρνῶν. 243. Fε. 246. Fάστυ. 247. προσέFειπε. 248. ἔFειπε. Fειδώς. 252. μεγάροις] μεγάροις H. 254. αὐτόθι] αὐτοῦ H. ib. Fειπών. 255. Fάνακτος.

232. Πλευραὶ ἀποτρίψουσι] Ἐμφαντικῶς, ὅτι αἱ τούτου πλευραὶ ἀποτρίψουσι τὰ ὑποπόδια. Vulg. 237. Ἀμφ' οὐδὶς schol. τὸ δὲ ἀμφουδὶς ἐξήνεκται ὡς λικριφίς. Harl. Cf. schol. λ'. 597. ΑΜΦ' ΟΥΔΗΣ (sic). περὶ τὸ ἔδαφος. Vulg. 240. Νύμφαι κρηναῖαι] Ταύταις προσεύχεται ἤτοι καθὸ ἀγροικός ἐστιν, ἢ ὅτι τότε τὴν κρήνην προῄει. Vulg. Q. 244. Ἀγλαΐας] Τοὺς καλλωπισμούς. Vulg. 256. Κάθισεν (sic ed. ant.)] Ἐκαθέζετο. Vulg. 257. Τὸν γὰρ φιλέεσκε μάλιστα] Ἐπεὶ τῇ ἀδελφῇ αὐτοῦ ἐμίγνυτο Μελανθοῖ. Q.

τῷ πάρα μὲν κρειῶν μοῖραν θέσαν, οἳ πονέοντο·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
ἔδμεναι· ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
στήτην ἐρχομένω· περὶ δέ σφεας ἤλυθ' ἰωὴ
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐερκέες εἰσὶ
δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες· ἐπεὶ κνίσση μὴν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ῥεῖ' ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ ναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε·
μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σε φράζεσθαι ἄνωγα.

260. δῖϝος. 262. γάρ] δέ, et γάρ superscr. H. 263. προσέϝειπε. 265. ϝιδέσθαι. 266. ϝοι. 267. εὐερκέες ex emend. ejusdem m. H. εὐεργέες V. εὐερκέες Apollonius v. ὑπεροπλίσσαιτο. PORS. 270. ἀνήνοθεν] ἐνήνοθεν, a m. pr. H. V. 274. ϝέργα. 276. δύσεο] δῦσε H. ("Lege δῦσαι." PORS.) λίσσεο pro v. l. V. ib. ὑπολείψομαι] ὑπολήψομαι V. et 282.

261. Περὶ δέ σφεας] Ἀντὶ τοῦ, περὶ γάρ σφεας. Harl. 266. Ἐξ ἑτέρων ἕτερ' ἐστίν] Διὰ τούτων βούλεται δηλοῦν ὡς (recentt. ins. οὐ) μονοστέγων τῶν βασιλείων ὄντων ἀλλὰ πολυστέγων. Vulg. Κατ' ἀκρίβειαν τὸ ἕτερα διὰ τὸ δίστεγα εἶναι ὡς μονοστέγων ὄντων τῶν ἰδιωτικῶν οἰκημάτων. B. Q. Δηλονότι τρίστεγοί εἰσι. Pal. Ἐπήσκηται] Μετ' ἐπιμελείας διακεκόσμηται. Q. Vulg. 267. Τοίχῳ καὶ θριγκοῖσι] Τοῖς ἐπὶ τῶν τειχίων ἀκανθώδεσι περιφράγμασιν εὖ ἠσφαλισμένοις. B. Q. Εὐερκέες] Ἀσφαλεῖς. εἰ δὲ, εὐεργέες, καλῶς εἰργασμέναι. Vulg. 268. Ὑπεροπλίσσαιτο] Ἤτοι ὑπερηφανήσει. ἢ εὐχερῶς ἐπιβουλεύσει. Vulg. 269. Δαῖτα τίθενται] Γρ. πένονται. Harl. 270. Ἀνήνοθεν] Ἀνέρχεται. Vulg. Harl. Ἀρίσταρχος, ἐνήνοθεν. αἱ δὲ κοιναὶ ἀνήνοθεν. Harl. 276. Δῦσε δέ. Γρ. δῦσαι (δύσεο em. PORS.), εἴσελθε. Harl. 286. Γαστέρα

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις·
ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων·
τολμήεις μοι θυμὸς, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
γαστέρα δ' οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν,
οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι·
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν
Ἄργος Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
θρέψε μὲν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
ᾤχετο· τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ πρόκας, ἠδὲ λαγωούς.
δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων,
ἡμιόνων τε, βοῶν τε, ἅλις κέχυτ'· ὄφρ' ἂν ἄγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·

280. ϝῖϝος. 281. νοέοντι] νοέοντι" H. 284. ἐπεὶ κακὰ] ἐπειδὴ V. 293. ϝίλιον. 296. ἀποιχομένοιο ἄνακτος] ἀποιχομένου Ὀδυσῆος a m. pr. sed ου in οιο mutatum, et suprascr. γρ. ἄνακτος H. ib. ϝάνακτος. 297. ϝοι 298. ϝάλις. 299. κοπρήσοντες] κοπρίσσοντες ex emend. H.

δ' οὔπως ἐστὶν ἀποκρύψαι] Ἀνεξέλεγκτον ποιῆσαι. ἐμφαίνει γὰρ ἑαυτήν. B. 287. Οὐλομένην] Συνήθως κακίζει τὴν γαστέρα, ὡς καὶ ἐν τούτοις· Ἀλλ' ἕνεκ' οὐλομένης γαστρός (ό. 344.)· Ἀλλά με γαστὴρ Ὀτρύνει κακοεργός (σ'. 53.)· Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι (ή. 216.). Q. 291. Ἂν δὲ κύων] Πῶς τὸν μεταμεμορφωμένον ἐπιγινώσκει; ὅτι παρὰ τοὺς ἀνθρώπους (Vulg. ins. καὶ) τὰ ἄλογα ζῶα μᾶλλον ἀντιλαμβάνεται. καὶ ἐκ τῆς ὀδμῆς αὐτὸν ἐπέγνω. Ἀλλὰ μετὰ τοσαῦτα ἔτη πῶς ἔζη ὁ κύων; Ἀριστοτέλης φησὶν, τέσσαρα καὶ εἴκοσι ζῆν ἔτη κύνα. Q. Vulg. 292. Ἄργος] Ὄνομα κύριον τοῦ Ὀδυσσέως κυνός. Vulg. 294. Πάροιθεν] Πρότερον πρὸ τοῦ γηράσαι. ἢ ἔμπροσθεν τῆς Ἰθάκης εἰς τὴν ἤπειρον. λαγωὸς γὰρ οὐ γίνεται ἐν Ἰθάκῃ, ὥστε δῆλον ὅτι εἰς τὴν ἤπειρον ἐκυνηγέτουν. B. 295. Πρόκας] Πρὸξ εἶδος ἐλάφου ταχυτάτης. ἀπὸ τοῦ προΐκνεῖσθαι. B. Δορκάδων εἶδος ἢ ἐλάφων. Q. Vulg. Ἢ τὰ ἔκγονα τῶν ἐλάφων. Vulg. 296. Ἀπόθεστος] Ἀνεπιμέλητος, ἀτημέλητος, ἀπόθητος. Vulg. ed. rec. Ἀπόθητος, ἀνεπιμέλητος. Harl. 299. Τέμενος] Χωρίον. Κοπρίσοντες] Κοπρίσαι ὀφείλοντες. Vulg. Κοπρήσοντες] Κοπρείσοντες, κόπρον τῇ γῇ ἐπιβάλλοντες. Κατα-

ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων.
δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
ἆσσον δ' οὐκ ἔτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν· αὐτὰρ ὃ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
ῥεῖα λαθὼν Εὔμαιον· ἄφαρ δ' ἐρεείνετο μύθῳ·
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ,
καλὸς μὲν δέμας ἐστὶν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
ἦ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ', ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας, ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν·
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅ, ττι ἴδοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·
νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.

303. *Fοῖο Fάνακτος.* 304. *ἰδὼν*] *ἰὼν* V. ib. *ἀπομόρξατο* a m. pr. sed *ο* in *ε* et *ὁ* in *ό* mutatum H. PORS. ib. *Fιδών.* 305. *ἐρεείνετο*] *ἐρεείνατο* H. 307. *Fεῖδα.* 308. *Fείδεϊ.* 310. *ἀγλαΐης*] *γρ. ἀγλαΐας* et suprascr. *καλλονῆς* H. ib. *κομέουσιν*] *κοσμέουσιν* sed *σ* erasum H. ib. *Fάνακτες.* 313. *Fέργα.* 314. *μιν* a m. pr. *μοι* post rasuram H. 315. *Fιδών.* 317. *ὅ, ττι ἴδοιτο*] primo *ὅττ' ἴδοιτο*, deinde *ὅττι δίοιτο* scripsit et glossam addidit *διώξει* H. PORS. *ὅ, ττ' ἴδοιτο* V. *ὅ,ττι δίοιτο* W. ib. *Fίδοιτο. περιFήδη.* 318. *οἱ*] *σου* V. ib. *Fάναξ δέ Fοι.*

χορτικῶς δὲ τέμενος τὸ χωρίον. B. 300. *Κυνοραιστέων*] *Τῶν κροτώνων. τινὲς δὲ λέγουσιν ἄλλα ζῶα ἐγγίνεσθαι, ἃ λέγεσθαι κυνοραῖσταί. κροτώνων. ῥαίουσι γὰρ τοὺς κύνας πίνοντες τὸ αἷμα αὐτῶν. εἰσὶ δὲ ταῦτα τὰ καλούμενα τζιβίκια.* Vulg. *Τῶν κροτώνων*[*] *τινὲς λέγουσιν ἄλλα ζῶα ἐγγίνεσθαι ἃ λέγεται κυνοραῖστα.* Q. 305. Cod. Harl. habet *Γρ. δ' ἐρέεινε*, ita tamen ut post ultimum *ε* aliquid erasum sit; fortasse, ait Porsonus, *το.* 309. *Ἦ αὔτως*] *Ἁπλῶς καὶ ὡς ἔτυχε.* B. 310. *Ἀγλαΐης δ' ἕνεκεν*] *Κόσμου χάριν ἢ καλλωπισμοῦ.* B. Q. *Καλλονῆς.* Vulg. 317. *Κνώδαλον*] *Κυρίως μὲν τὸ θαλάσσιον θηρίον τὸ κῆτος. νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον.* Vulg. *Περιήδη*] *Διώξεις περισσῶς ᾔδη*

* Hesych. *Κρότωνες· κρότωνες.* BUTTM.

δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκ ἔτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.
Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
ἐρχόμενον κατὰ δῶμα συβώτην· ὦκα δ' ἔπειτα
νεῦσ' ἐπὶ οἷ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἐνθάδε δαιτρὸς ἐφίζεσκεν, κρέα πολλὰ
δαιόμενος μνηστῆρσι, δόμον κάτα δαινυμένοισι·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν,
ἀντίον· ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κῆρυξ
μοῖραν ἑλὼν ἐτίθει, κανέου τ' ἐκ σῖτον ἀείρας.
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς,
πτωχῷ λευγαλέῳ ἐναλίγκιος, ἠδὲ γέροντι,
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
ἷζε δ' ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.

320. ἐπικρατέωσιν] ἐπικρατέουσιν V. ib. Fάνακτες. 321. Fεργάζεσθαι. 324. Fειπών. 327. αὖτε Fιδόντ'. FεFεικοστῷ. 328. Fίδε. θεοFειδής. 330. Fοῖ. 331. ἐνθάδε] ἔνθα δὲ H. W. 334. ἔνθα δ' ἄρ'] ἔνθά περ H. ib. ἐφέζετο] ἐφίζετο et suprascr. γρ. ἐφέζετο H. 335. ἐτίθει] προτίθει V. 336. ἐδύσετο] ἐδύσατο et suprascr. σετ H. 338. Fείματα Fέστο.

τὴν ἄγραν αὐτοῦ δηλονότι[1]. B. 321. Οὐκέτ' ἔπειτ' ἐθέλουσιν] Οἱ μὲν φαῦλοι οὐ βούλονται, οἱ δὲ ἀγαπῶντες οὐ δύνανται. τὸ γὰρ ἐθέλειν καὶ ἐπὶ τοῦ δύνασθαι καὶ ἐπὶ τοῦ βούλεσθαι. B. 322. Ἀρετῆς] Τῆς ἑκουσίου πρὸς τὰ ἔργα ῥοπῆς (Vulg. ὁρμῆς). Q. Vulg. Ἀρετήν φησι τὴν ἀγαθὴν ἐργασίαν τὴν μετὰ προαιρέσεως γινομένην. οἱ δὲ δοῦλοι κἂν ἀγαθόν τι πράξωσι τοῦ δεσπότου κελεύσαντος ἧττον ἐπαινετοί εἰσι. B. 330. Νεῦσ' ἐπὶ οἱ καλέσας] Τὸ δὲ ἑξῆς, ἐπένευσεν αὐτῷ ἐξ ὀνόματος καλέσας. B. 331. Ἔνθαδε δαιτρὸς ἐφίζεσκεν] Ἐν ᾧ δίφρῳ ὁ μάγειρος ἐκαθέζετο κρέα πολλὰ δαιόμενος μνηστῆρσι. B. 335. Προτίθει]

[1] Male coaluit hoc scholium. In quo vox διώξειν seorsim spectat ad lectionem δίοιτο, quam nunc recepit Wolfius. Nam in text. Harl. quoque ὅττι δίοιτο ex em. scriptum cum glossa διώξει. BUTTM.

Τηλέμαχος δ' ἐπὶ οἷ καλέσας προσέειπε συβώτην,
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,
καὶ κρέα, ὥς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων· αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
ἤσθιε δ', ὡς ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν,
εὖθ' ὁ δ' ἐδειπνήκει, ὁ δ' ἐπαύσατο θεῖος ἀοιδός.

342. Ϝοῖ. προσέϜειπε. 343. ἐκ κανέοιο] ἐν κανέοισι et suprascr. γρ. ἐκ κανέοιο H. 344. κρέα] κρέας H. W. ib. Ϝοι. 347. ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι] ἀγαθὴν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ V. 349. πτερόεντα προσηύδα] πτερόεντ' ἀγόρευε H. W. ib. Ϝέπεα. 355. Ϝοι. Ϝῇσι. 357. ἀϜεικελίης. 358. δ' ὡς] δὲ ὡς et sic δὲ οἱ 373. H. δ' ἕως W. 359. ὁ δ' ἐδειπνήκει] ὁ δεδειπνήκειν H. ὅδε δειπνήκειν, et γρ. ὁ δεδειπνήκει V. ὁ δεδειπνήκει W. ib. ὁ δ' ἐπαύσατο] ὁ [y] δ' ἐπαύετο (sic) H. ὅδ' ἐπαύετο V. ὁ δ' ἐπαύετο W.

Παρετίθει. Vulg. 343. Οὖλον] Ὅλον, κατὰ ἔκλειψιν τοῦ υ. Vulg. 344. Ὡς οἱ χεῖρες] Νῦν τὸ ὡς ἀντὶ τοῦ ὅσον αἱ χεῖρες αὐτοῦ περιεβάλλοντο, ἐχάνδανον. B. Ἀμφιβαλόντι] Γρ. ἀμφιβαλόντε. Harl. 347. Ἀνδρὶ παρεῖναι [y]] Εἰς τὸ παρεῖναι κεχρημένῳ ἀνδρὶ οὐκ ἔστιν ἐπωφελὴς ἡ αἰδώς. B. Καὶ Ἡσίοδος (Ἔ. 315. et cf. 498.), Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει. Vind. 133. 352. Αἰδῶ δ' οὐκ ἀγαθήν] Γρ. αἰδὼς δ' οὐκ ἀγαθή. Vind. 133. Ἀνδρὶ προΐκτῃ] Ἴκτης ψιλωτέον, παρὰ γὰρ τὸ παραβάλλειν τὴν χεῖρα καὶ αἰτεῖν δωρεάν. ἢ ὁ πρὸ τοῦ αἰτεῖν ἱκετεύων, εἰ δασύνεται. Q. Μεταίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. Vulg. 354. Ὄλβιον εἶναι] Ἀπὸ κοινοῦ, ποίησον. Vulg. 357. Ἐπὶ πήρης] Ἐπάνω τῆς πήρας. ἀπλώσας γὰρ τὴν πήραν ἀντὶ τραπέζης ἐπάνω ἔθηκεν. Vulg. B. Q. 358. Ὡς ὅτε] Μέχρις οὗ. Vulg. 359. Εὖθ' ὁ δεδειπνήκειν (Q. male -ει)] Οὕτω, δεδειπνήκειν, ἀντὶ τοῦ δεδειπνήκει [z]. ὡς τὸ, Ἤσκειν εἴρια

[y] De varietate lectionis vid. Ernest. Pors. Alter. BUTTM.

[z] Dedi quod uterque dare voluit. Nam in Harl. ultimo loco iterum δεδειπνήκειν pro -ει; in Q. autem lacunose Οὕτω δεδειπνήκειν. Tum in Q. mendose ἤσκει ἀεὶ τ. α. In Cod. B. nil nisi hoc: Εὖθ' ὅδ' ἐδειπνήκει] Ἀντὶ τοῦ, δεδειπνήκασιν. BUTTM.

μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'· αὐτὰρ Ἀθήνη,
ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
γνοίη θ', οἵτινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·
ἀλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἔλθοι.
τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
ὦ 'ρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; ἦ οὐχ ἅλις ἧμιν ἀλήμονές εἰσι καὶ ἄλλοι
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
ἐνθάδ' ἀγειρόμενοι; σὺ δὲ καί ποθι τόνδ' ἐκάλεσσας;
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν,

361. ΛαϜερτιάδην. 365. Ϝέκαστον. 369. μετέϜειπε. 372. Ϝοι. 373. Ϝοῖδα. 374. Ϝέπεσιν. 375. ὦ 'ρίγνωτε] ὦ ἀρίγνωτε W. 376. Ϝάλις. 378. Ϝάνακτος. 379. καί ποθι τόνδ' ἐκάλεσσας] καὶ προτιτόνδε καλέσας H.

καλά (Il. γ'. 388.). Harl. Q. 362. Πύρνα] Πύρνα, τοὺς πύρνους, ὡς κύκλα τοὺς κύκλους. B. Πύρνα σιτία. Vulg. 364. Ἀπαλεξήσειν κακότητος] Κωλύσειν καὶ ἀπαλλάξειν τοῦ κακοῦ. πάντες γὰρ ἦσαν μοχθηροί. Q. 365. Ἐνδέξια] Ἀπὸ τοῦ δεξιοῦ μέρους. Vulg. 366. Πτωχὸς πάλαι εἴη] Ὡς μεμελετηκὼς ἐκ πολλοῦ τὴν πτωχείαν· ὡς εἰ πτωχὸς ὑπῆρχεν ἐκ πολλοῦ. B. 375. Ὦ ἀρίγνωτε] Ὦ πᾶσι δῆλε συβῶτα· ὤν. ἢ ἐπίσημε διὰ κακίαν ἢ πτωχείαν. B. Q. Ἀρίγνωτε] Ἐπίσημε, ἄγαν ἔκδηλε ὅτι συβώτης ὑπάρχεις. Vulg. 378. Ἦ ὄνοσαι] Ἐκφαυλίζεις, εὐκαταφρόνητον καὶ τὸ μηδὲν νομίζεις. B. Νῦν ἀντὶ τοῦ ὀφελῇ. Vulg. 379. ΠΟΘΙ. πόθεν (scr. ποθέν). Vulg. In Harl. Γρ. καί ποθι πόθεν (e quibus ultimum est interpretatio ποθέν): in marg. autem, Ἐγκλιτικὸν τὸ ποθι· 382. Τίς γὰρ δὴ ξεῖνον

ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασι;
μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπῃσιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύζοντα ἓ αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις, καὶ Τηλέμαχος θεοειδής.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους.
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε·
μήτ' οὖν μητέρ' ἐμὴν ἅζευ τόγε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα,
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι, ἢ δόμεν ἄλλῳ.

383. δημιοϝεργοί. 384. ἢ ἰητῆρα] γ' ἢ ἰητρα H. 387. καλέοι] καλέει H. ib. ϝε. 388. εἷς a m. pr. sed ς erasum H. 389. δμωσὶν] δμωσὶ δ' H. 391. μεγάροις] μεγάρῳ V. ib. θεοϝειδής. 393. σίγα] ἄττα H. V. ib. πόλλα ϝέπεσσιν. 396. ϝέπεα. 397. υἷος] υἱοῦ V. ib. ϝός. 400. οὔ τοι] οὔτοί H. ib. ϝοι. 401. μήτ' οὖν] μήτε τι H.

καλεῖ;] Ξεῖνον νῦν ἀλλότριον. B. 383. Δημιοεργοί] Χειροτέχναι, δημοσίαν παρέχοντες τὴν ἑαυτῶν τέχνην. B. Q. 385. Θέσπιν ἀοιδόν] Ἐκ θεοῦ τὴν ὄπα ἔχοντα. Τὸ δὲ, τέρπῃσιν, ἀντὶ τοῦ τέρπῃ, ὡς τὸ, Νῦν δ' ἂν πολλὰ πάθῃσι (Il. χ. 505.). B. 387. Τρύζοντα] Καταπονήσοντα, ἀπὸ τοῦ τρύξαι καὶ συνθλίψαι. Βραχὺ τὸ υ τοῦ τρύζοντα, ὡς ἐρύκω ἐρύξω, σμύχω σμύξω, ψύχω ψύξω, τρύχω τρύξω. σημαίνει (Mediol. male σημειωτέον) δὲ τὸ καταπονήσοντα. ὅθεν καὶ τρυγίας, καὶ τρύγη, ἀποτρύξαι καὶ συνθλίψαι. B. Q. 393. Ἄττα, Γρ. σίγα. Harl. Vind. 56. 397. Υἷος] Γρ. υἱοῦ. Harl. 398. Δίεσθαι] Διῶξαι, ἀπὸ τοῦ δίημι. B. 399. Ἀναγκαίως (sic ed. ant.)] Ἀναγκαστικῶς. Vulg.

Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπε·
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες;
εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζῃ
κείμενον, ᾧ ῥ' ἐπέχεν λιπαροὺς πόδας εἰλαπινάζων.
οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
αὖτις ἐπ' οὐδὸν ἰὼν, προικὸς γεύσεσθαι Ἀχαιῶν·
στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπε·
Δὸς, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
ἔμμεναι, ἀλλ' ὤριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἠέ περ ἄλλοι,
σίτου· ἐγὼ δ' ἄν σε κλείω κατ' ἀπείρονα γαῖαν.
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·

405. προσέϝειπε. 406. ἄσχετε] ἄσχετον V. ib. ἔϝειπες. 407. εἰ] ἢ V. ib. ϝοι. 408. ἀπόπροθε ϝοῖκος. 409. ὑπέφηνε] ὑπέθηκε pro v. l. V. ib. τραπέζῃ] τραπέζης H. W. 410. εἰλαπινάζων] εἰνοποτίζων V. 413. γεύσεσθαι] γεύσασθαι H. ib. et 415. Ἀχαιϝῶν. 414. ἔϝειπε. 416. ϝέϝοικας. 418. δ' ἂν] δὲ καὶ, (καὶ additum ex recens.) H. δέ τέ V. 419. ϝοῖκον.

405. Γρ. ἀπαμείβετο φώνησέν τε. Harl. 407. Εἴ οἱ τόσσον ἅπαντες] Δοκεῖ μὲν λέγειν ὅτι εἰ πάντες αὐτῷ τοσοῦτον παράσχοιεν ὅσον ἐγὼ, μείναι (scr. μένοι) ἂν πόῤῥω τῆς σῆς οἰκίας ἔχων ἐφόδια ἐπὶ τρεῖς μῆνας. τὸ δὲ ἀληθὲς βούλεται εἰπεῖν ὅτι τρεῖς μῆνας μένοι πόῤῥω τῆς οἰκίας ὀδυνώμενος, εἰ τοσαύτας παρὰ τῶν μνηστήρων λάβῃ πληγὰς ὅσας παρ' ἐμοῦ. Τὸ δὲ, Τηλέμαχ' ὑψαγόρη μένος ἄσχετε ποῖον ἔειπες; ἀντὶ τοῦ διατί με (scr. μοι) ὠνείδισας ἀμεταδοσίαν, καίτοι προαίρεσιν ἔχοντι παρασχεῖν; εἰ γὰρ παρὰ τῶν ἄλλων τοσοῦτον λάβοι, ἀρκέσει αὐτῷ καὶ εἰς τρεῖς μῆνας τὰ διδόμενα. B. Q. Τόσσον κακὸν, ὅσον ἐγὼ δίδωμι. ἢ ἐν εἰρωνείᾳ, τόσσον ἀγαθόν. B. 408. Τρεῖς μῆνας ἀποπρ. ο. ε.] Οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προέλθοι αἰτήσων. Vulg. 413. Προικὸς] Τῆς δωρεὰν δόσεως Vulg. 414. Στῆ δὲ παρ' Ἀντίνοον] Ἀντὶ τοῦ, παρ' Ἀντινόῳ, ὡς τὸ, Στῆ παρὰ Πρίαμον (Il. ω'. 169.). B. Q. 419. Καὶ γὰρ ἐγώ ποτε] Οὐκ ἐκ γένους ταπεινοῦ ἑαυτὸν ἵνα δι' εὐγένειαν καὶ τῷ Ἀντινόῳ δοκῇ παῤῥησιάζεσθαι, καὶ ὑπὸ Πηνελόπης μᾶλλον ἐλεεῖσθαι. Q. Κατὰ τὴν ἀξίαν τῶν δυστυχούντων ἕκαστα τῷ μὲν εὐγενεῖ λαμπρὰ,

ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, ἤθελε γάρ που,
ὅς μ' ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην·
στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας·
ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων,
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν· οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ' ἄναγον ζωούς σφισιν ἐργάζεσθαι ἀνάγκῃ.
αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·

427. στῆσα] στήσας ex emend. fuerat στῆσα H. PORS. ib. ἀμφιϝελίσσας. 431. ἐπισπόμενοι] ἐπισπώμενοι H. ib. σφῷ] σφῶν V. 435. ἠοῖ] εὖῆ H. 441. ϝεργάζεσθαι. 443. Δμήτορι Ἰασίδῃ] Δημήτορι Ἰασιάδῃ, sed vulg. in marg. H. Fortasse voluit Δμήτορ' Ἰασίδῃ. PORS. ib. ϝῖφι ϝάνασσεν.

τῷ δὲ ταπεινῷ τὰ ἐοικότα. Q. 442. Αὐτὰρ ἔμ' ἐς Κύπρον] Ὅτι ἀεὶ πολλοὺς εἶχεν ἡ Κύπρος βασιλεῖς. Ἐν ταύτῃ φησὶ καὶ ὁ Μένανδρος ἐν Μασουμένῳ (Μισουμένῳ em. Mai.) ὡς ἐν παραβάσει ἐκ Κύπρου λαμπρῶς πάνυ λαμπρὰ πράττων, ἐκεῖ γὰρ ὑπό τω ἦν τῶν βασιλέων [a]. Q. Πέπεισται ὡς Εὔμαιος (scr. Πέπ. ὁ Εὔμ.) τἀληθῆ αὐτῷ διηγήσασθαι τὸν μεταίτην διὰ τὴν ἄνοιαν (scr. εὔνοιαν), καὶ ταῦτα πρὸς τὴν Πηνελόπην μηνύει (522. sqq.) περὶ αὐτοῦ ὡς αὐτὸς ἤκουσε. καὶ οἴεται αὐτὸν ψεύδεσθαι τοὺς μνηστῆρας ἵνα μὴ παραγυμνώσῃ αὐτοῖς ἃ πέπεισται ἐν Θεσπρωτίᾳ περὶ Ὀδυσσέως. Q. Γρ. ξείνῳ, quod non intelligo. PORS. ex Harl. Ἀντιάσαντι] Αἰτήσαντι, ὑπαντήσαντι ἐχαρίσαντό με. B. 443. Δμήτορι] Κινύρου ἀποθανόντος Δμήτωρ ἐβασίλευσε Κύπρου. ἢ οὐδὲ εἴρηται ὁ Κινύρας ἐν Ἰλιάδι (λ'. 20.) Κυπρου βασιλεὺς ἀλλὰ Κύπριος ἁπλῶς. B. Q. Καὶ ἐν Ἰλιάδι πολλοὶ ὑπὸ βασιλέας ἦσαν [b]. Vulg.

[a] Facile apparet Thrasoniden ista loqui: et inde a verbo πράττων justus procedit trimeter. Plura non expedio. BUTTM.

[b] Bern. pro πολλοὶ habet πάλαι, sed tacite, et per sphalma, opinor: certe obscu-

ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε·
τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴδηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι
μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
ὢ πόποι, οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Νῦν δή σ' οὐκ ἔτι καλὰ διὲκ μεγάροιό γ' ὀΐω
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,

447. στῆθ'] στῆ δ' V. 448. ἴδηαι] ἵκηαι H. W. ib. Κύπρον τε ϝίδηαι. 449. ὥς τις] ὅστις ex emend. H. ὅς τις V. 452. ϝεκάστῳ. 454. ϝείδεϊ. 455. ϝοίκου. 457. ἀποπροελὼν] ἀπὸ προελὼν H. 459. ϝιδὼν ϝέπεα.

446. Δαιτὸς ἀνίην] Πρὸς ἡμᾶς ἤγαγε λύπην καὶ αἰσχύνην (immo τῆς εὐωχίας). B. 448. Ἴκηαι] Γρ. ἴδηαι. Vind. 133. Harl. 450. Ἑξείης] Τρεῖς νοθεύονται (huc. P. ex Harl.) ἀφ' οἷς γὰρ Ἀντίνοος ὀνειδισθεὶς ὤργισται εἰκὸς ἦν ἀσχεθῆναι (scr. ἀχθεσθῆναι) καὶ τοὺς λοιπούς. Vind. 133. 455. Οὐδ' ἅλα] Οὕτως Ἀρίσταρχος ἀνέγνωσε (scr. ἀνέγνω), καὶ ἀπέδωκε τοὺς ἅλας. ὁ δὲ Καλλίστρατος, οὐδ' ἄλα, τὰ κόπρια, παρὰ τὸ ἐν τῷ οὐδῷ κεῖσθαι. οὐδὸς δὲ ὁ βατήρ. B. Q.[c] Ὁ μὲν Ἀρίσταρχος δασέως ἀνέγνω, καὶ ἀπέδωκε τοὺς ἅλας. Καλλίστρατος δὲ ψιλῶς, οὐδ' ἄλλα, ἐκδεχόμενος τὰ κόπρια, ἃ παρὰ τῷ οὐδῷ κεῖται. οὐδὸς δὲ ὁ βατήρ. Vulg. 462. Θρῆνυν

ritas scholii ita non tollitur. In ed. ant. punctum est post Ἰλιάδι. Hinc suspicor primam scholii partem mutilam esse, quæ mentionem Cinyræ ex Iliade olim habuerit, posteriorem autem depravatam ex his, πολλοὶ γὰρ Κύπρου βασιλεῖς ἦσαν: vid. schol. 442. init. BUTTM.

[c] Pors. ex Harl. brevius: Οὕτως Ἀρίσταρχος. ὁ δὲ Καλλίστρατος, οὐδάλα, τὰ κόπρια. Recte ad mentem Callistrati, οὐδάλα. Sed scripserat scholii auctor οὐδἄλα in discrimen alterius lectionis. Hinc natæ mendosæ in utroque quod supra posuimus scholio scripturæ; et pessimus Zonaræ in lexico error, ἄλα hinc proferentis sensu κοπρίων. BUTTM.

πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη, ἠΰτε πέτρη,
ἔμπεδον· οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο·
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
ἂψ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
θῆκεν ἐΰπλείην· μετὰ δὲ μνηστῆρσιν ἔειπε·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
οὐ μὰν οὐδ' ἄχος ἐστὶ μετὰ φρεσὶν, οὐδέ τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσι
βλήεται, ἢ περὶ βουσὶν, ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ ἐριννύες εἰσὶν,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
ἔσθι' ἕκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ·
μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις,
ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,

466. δ' ἄρ'] ὅγ' H. δ' ὅγ' W. 467. ἔϜειπε. 469. ὄς Ϝείπω. 470. οὐδ'. οὐδέ] οὔτ'. οὔτε W. ib. ἐστὶ μετὰ] ἐστὶν ἐνὶ V. 471. Ϝοῖσι. 472. βλήεται et σ additum super ή. H. ib. ὀϜίεσσιν. 478. ἔσθιε Ϝέκηλος. 479. δῶμα Ϝερύσσωσ'. 482. Ϝείπεσκε.

ἑλὼν βάλε] Εἰώθαμεν ἐν ταῖς ὀργαῖς ῥίπτειν ἃ ἐπὶ χεῖρας ἔχομεν. Q. 466. Ἂψ ὅγ' ἐπ' οὐδόν. Γρ. ἂψ δ' ἄρ' ἐπ' οὐδόν. Harl. 468. Κέκλυται κ. τ. λ.] Αἰνιγματωδῶς φησι ταῦτα. B. 475. Ἀλλ' εἴπου] Νοθεύονται ϛ'[d]. πῶς γὰρ ὁ Ἀντίνοος ἐκαρτέρησεν ἐπὶ ταῖς κατάραις, ὃς ἐπὶ ταῖς (scr. τοῖς) ἐλάσσοσιν οὕτως ἠγρίανε; πῶς τε συναλγοῦσιν αὐτῷ οἱ λοιποὶ[e] εἰ τοιοῦτος ὢν οὕτω κατηρᾶτο πικρῶς; Q. Vind. 133. 478. Ἔσθ' ἕκηλος text. et supra

[d] Maius corrigebat β' nescius in numero senario cum Q. conspirare Vindob. quoque et Harl., e quo haec, νοθεύονται ϛ', excerpsit Pors. Nimirum si haec Ulyssis imprecatio tollitur, tollenda etiam Antinoi oratio, maxime illud οἷ' ἀγορεύεις, quod alias non habet quo spectet. Contra si has diras pronuntiavit Ulysses nimis lenis visus est criticis illis Antinous, qui in minis acquiesceret. BUTTM.

[e] Sc. Ulyssi proci ceteri. BUTTM.

οὐλόμεν', εἰ δή πού τις ἐπουράνιος θεός ἐστι.
καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε
βλημένου· οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
Εἰ γὰρ ἐπ' ἀρῇσιν, τέκος, ἡμετέρῃσι γένοιτο,
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ἔοικεν
ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα,
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ', ἔδοσάν τε·
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξὶν,
ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνει δῖος Ὀδυσσεύς·

485. Ϝεϝοικότες. 493. 495. ἔϝειπεν. 494. βάλοι] βάλῃ V. 496. ἐπ' ἀρῇσιν] ἐπαρῇσιν H. ib. τέκος] τέλος, (pro v. l.) V. W. 497. ἐΰθρονον] ἐρίθρονον V. 498. προσέϝειπε. 500. Ϝέϝοικεν. 506. ἐδείπνει] ἐδείπνεε H. V. ib. δῖϜος.

scriptum, ἀντὶ τοῦ ἔσθιε [f]. Vind. 133. 484. Εἰ δή πού τις ἐπουράνιος θεός ἐστι] Λείπει, τί ποιητέον εἰ θεός ἐστι. B. 487. Εὐνομίην] Εὐνομουσίαν, καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν. Vulg. 496. Εἰ γὰρ ἐπ' ἀρῇσιν] Εἰ προβαίη ἐπὶ ταῖς ἡμετέραις εὐχαῖς τὰ πράγματα. τοῦτο γὰρ λείπει. B. Q. 501. Νοθεύει Ἀρίσταρχος δ' (huc. P. ex Harl. In Vind. male δύο pro δ'). πῶς γὰρ ταῦτα εἰδῇ; ἢ εἰ μήπως κατὰ τὸ συμπόμενον. Vind. 133. Ἀλητεύει] Νῦν ἀντὶ τοῦ ἐπαιτεῖ. Vulg. 503. Ἐνέπλησαν] Ἐκόρεσαν. Vulg. Vid. et

[f] Hinc firmari posset, nisi per se esset firmissima, Heynii ratio, in excursu de digammo sub v. ἴκηλος (to. 7. p. 744.) proponentis ἔϝθε ϝίκηλος. BUTTM.

ἡ δ' ἐπὶ οἷ καλέσασα προσηύδα δῖον ὑφορβόν·
Ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι, ἠδ' ἐρέωμαι,
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται,
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικε.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοὶ,
οἷ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίῃ, πρῶτον γὰρ ἔμ' ἵκετο νηὸς ἀποδράς·
ἀλλ' οὔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.
ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς τε θεῶν ἐξ
ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσι,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισι.
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι,
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιαάσθων,

507. προσηύδα] προσέφη H. V. ib. Ϝοῖ. δῖϜον. 508. δῖ'] δὴ H. ib. δῖϜ'. 509. προσπτύξομαι] προσφθέγξομαι V. 511. Ϝίδεν. δὲ ϜέϜοικε. 513. Ἀχαι-Ϝοί. 517. Ϝήν. 519. ἀείδει] ἀείδῃ H. ib. Ϝέπε'. 527. Ϝόνδε. 528. προσ-έϜειπε.

ad σ'. 103. 507. Ἠ δ' ἐπί οἱ καλέσασα] Μετακαλεσαμένη αὐτὸν διά τινος. οὐ γὰρ οὕτως ἐγγὺς ἦν. B. Q. 509. Προσπτύξομαι] Νῦν προσδέξομαι. γράφεται φθέγξομαι (scr. προσφθ.) Vulg. 514. Οἵ ὅγε μυθεῖται] Θαυμαστικῶς διὰ μέσου ἀναπεφώνηται, οἷα ὅγε μυθεῖται. B. Q. (Harl.) Οἵ ὅγε] Γρ. ἢ ὅγε. Harl. 519. Ἔπε' ἱμερόεντα] Γρ. ἐπιμερόεντα. Harl. 525. Προπροκυλινδόμενος] Μετὰ κακοπαθείας ἀπὸ πόλεως εἰς πόλιν φερόμενος. B. Q. Προκυλινδόμενος (sic ed. ant.)] Πλανώμενος. Vulg. 529. Ἵν' ἀντίον αὐτός] Γρ. ἵν' Ἀντίνοος[g]. Harl. 530. ΕΨΙΑΑΣΘΩΝ[h]. ἀντὶ τοῦ παι-

[g] Vid. supra ad v. 50. BUTTM.
[h] In Mediol. cum leni, quamvis in ipso scholio ἱψιάω cum aspero. In Vulg. ed. ant. lemmati additum ΔΕ. BUTTM.

ἢ αὐτοῦ κατὰ δώματ'· ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ.
σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν·
οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι, ἤματα πάντα,
βοῦς ἱερεύοντες, καὶ ὄϊς, καὶ πίονας αἶγας,
εἰλαπινάζουσι, πίνουσί τε αἴθοπα οἶνον
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνὴρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν.
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρεν· ἀμφὶ δὲ δῶμα
σμερδαλέον κανάχησε· γέλασσε δὲ Πηνελόπεια·
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράας, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι;
τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.

532. Ϝοίκῳ. 533. μὲν] μέν τ' H. ib. Ϝηδύ. Ϝοικῆες. 534. ἡμέτερον] ἡμετέρου H. 535. ὄϜις. 536. Ϝοῖνον. 537. κατάνεται] καταίνεται V. 538. ἔσκεν] ὅς κεν pro v. l. V. ib. Ϝοίκου. 540. Ϝῷ. 542. κανάχησε] κονάβησε V. W. 543. Ϝέπεα. 545. Ϝέπεσσι. 547. ἀλύξοι] ἀλύξει H. 548. Ϝερέω. 549. πάντα Ϝέποντα. 550. Ϝέσσω. Ϝείματα. 552. Ϝέπεα. 554. τί] τε V. ib. Ϝε.

ζέτωσαν, διαλεγέσθωσαν. Vulg. Παιζέτωσαν. ἀπὸ τοῦ ἕπω, ἕψω, ἑψιάω. τοῦτο δὲ οὐχ ὡς προστάσσουσα ἀλλ' ὡς εἰδυῖα τὸ ἔθος ὅτι καθήμενοι ἔπαιζον. B. Q. 532. Ἀκήρατα] Τῶν ἀλλοτρίων. ἃ δὴ οἰκεῖοι αὐτῶν ἔδουσι. B. 542. Κονάβησε] Γρ. κανάχησε. Harl. 555. Πεπαθυίης] Ἀντὶ τοῦ πέπονθας[1]. Q.

[1] Manifestum indicium variæ lectionis καὶ κήδε' ἅπερ πεπονθυίης. BUTTM.

εἰ δέ κέ σε γνοίη νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε, χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ' ἐθέλῃσι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν·
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει.
καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν, οὔτε τις ἄλλος.
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι
λύγρ' ἔχω· οἶσθα καὶ αὐτὸς, ἐπεί σε πρῶθ' ἱκέτευσα.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσε.
τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
Οὐ σύ γ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης;
ἤ τινά που δείσας ἐξαίσιον; ἦε καὶ ἄλλως
αἰδεῖται κατὰ δῶμα; κακῶς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος,
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.

556. εἰ] αἰ sed εἰ suprascr. H. ib. πάντα Fέποντα. 557. Fέσσει. 558. δὲ καὶ] δέ κεν V. 560. προσέFειπε. δῖFος. 561. πάντα Fέποιμι. 563. Fοῖδα. 564. χαλεπῶν] χαλεπὸν et ῶν super ὸν H. 565. τῶν] τῶν ῥ' V. ib. ἵκει] ἧκεν H. ἶκεν V., qui totum versum aliena manu adscriptum habet. 567. Fρέξαντα et ζαντα super ξαντα H. 568. τόγ'] τόδ' V. Post 568. hunc versum habet V.: δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. 572. τοι] δὴ super τοι H. ib. Fείματα. 573. Fοῖσθα. 577. δείσας] δεῖξαι V. 578. κακῶς] κακὸς W.

563. Ὁμὴν] Τὴν αὐτήν. Vulg. 577. Ἐξαίσιον] Μεγάλως. Vulg. 578. Κακὸς δ' αἰδοῖος] Κακὸς, ἀλυσιτελὴς ἑαυτῷ. Αἰδοῖος, ὁ αἰδούμενος. B.Q. Αἰδοῖος] Νῦν ὁ αἰδούμενος. Vulg. 581. Ἀλυσκάζων] Ἐκφυγών (sic in inf.). MS. Barn.

ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὥσπερ ἂν εἴη·
οὐ γάρ πώ τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἡ μὲν ἄρ' ὡς ἀγόρευεν· ὁ δ' ᾤχετο δῖος ὑφορβὸς
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ,
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν·
τοὺς Ζεὺς ἐξολέσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·
ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου·
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος, ἠδὲ ποτῆτος,

584. Ϝέπος. 585. προσέϜειπε. 586. ὥσπερ] ὅσπερ sed ὡσ super ὅς H. 589. δῖϜος. 591. Ϝέπεα. 596. Ἀχαιῶν] Ἀχαιοὶ sed ῶν super οἱ H. ib. ἈχαιϜῶν. 599. δειελιήσας] δειελιήσεις V. 602. ἐϋξέστου ἐπὶ δίφρου] ἐπὶ θρόνου ἔνθεν ἀνέστη H. ἐπὶ θρόνου ὅθεν ἀνέστη V.

586. Schol. marg. cod. Harl. dat ὅσπερ, ut refert PORS. 596. Ἀχαιοὶ text. Γρ. Ἀχαιῶν. Vind. 133. 599. Δειελιήσας] Πρὸς τὴν δειλινὴν ὥραν παραγόμενος (scr. παραγεν.), τουτέστι τὴν μεσημβρίαν· ἢ τὴν ἑσπερινὴν διατρίψας. ἔνιοι δὲ τὴν δειλινὴν τροφὴν αἰτῶν. καὶ Καλλίμαχός φησι, Δείελον αἰτίζουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου[k], τὴν πρὸς τῇ δειλινῇ τροφὴν αἰτοῦντες οἱ δεόντως· προειρήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ τροφαῖς ἐχρῶντο. Vulg. Δειελιήσας] Δειλινίσας, βρωματισάμενος δείλην (scr. δειλινὴν) τροφήν. οἱ δὲ, τὴν δείλην διατρίψας, οὐ φαγών. B. 602. Γρ. ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου. Harl. 603. Πλη-

[k] Fr. 190. Apud Eustath. (p. 649, 23.) legitur δειελίην quod indicium esse censeo veræ scripturæ hujus Δειελίην αἰτεῦσιν. Operarii enim homines cibum sibi debitum non mendicant sed poscunt, ideoque ab opere cessant. Quod autem Valckenarius (ad Callim. Eleg. fragm. p. 295.) corrigebat ἴχουσι, id necessarium fortasse non est. BUTTM.

βῆ ῥ' ἴμεναι μεθ' ὕας· λίπε δ' ἕρκεά τε, μέγαρόν τε
πλεῖον δαιτυμόνων· τοὶ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ
τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

605. τοὶ] οἱ a m. pr. τοι ex emend. H.

σάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος. αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ] Περισσὸς ὁ εἷς ἐκ τῶν β'. Q.

606. Δείελον ἦμαρ] Ἡ δειλινὴ τῆς ἡμέρας. B. Τὸ τῆς δειλινῆς ὥρας (Q. add. κατάστημα). Vulg. Q.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Σ.

Σῖγμ', ἔριν Ἴρου, εὖχος Ὀδυσσεῦς, δῶρά τ' ἀνάκτων.

ΗΛΘΕ δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,

1. Fάστυ.

Ὑπόθεσις. Γενομένης μάχης Ὀδυσσέως πρὸς ἕτερον πτωχὸν ἐλθόντα πρὸς τοὺς μνηστῆρας, Πηνελόπη λαμβάνει δῶρα παρὰ τῶν μνηστήρων. καὶ κυνολογία γίνεται ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον περί τινος ἄλλου ἐν τῷ συμποσίῳ. Pal. Q. Ἄλλως. Ὀδυσσέως καὶ Ἴρου πάλη, καὶ ἐξέλευσις Πηνελόπης πρὸς τοὺς μνηστῆρας ἐπιπληττούσης Τηλεμάχῳ ἐπὶ (Q. περὶ) τῆς τοῦ ξένου κακοξενίας (hoc in utroq. cod.) καὶ δωροδοκίας (scr. -ία) τῶν μνηστήρων τῇ προειρημένῃ. καὶ ἀποπειρᾶται δὲ τῶν θεραπαινίδων Ὀδυσσεύς. Pal. Q. Ὀδυσσέως καὶ Ἴρου πυγμὴ γίνεται. φαίνεται δὲ καὶ Πηνελόπη τοῖς μνηστῆρσι καὶ παρ' αὐτῶν δῶρα λαμβάνει. γίνεται δὲ καί τις κυνολογία ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον. Vulg. 1. Πτωχὸς πανδήμιος] Ὁ δι' ὅλης τῆς πόλεως ἐπαιτῶν. B. Q. Πανδήμιος] Ὁ κατὰ τὸν δῆμον ἐπαιτῶν, καὶ δι' ὅλης τῆς πόλεως ἰών. Vulg. 2.[a] Γαστέρι μάργῃ] Οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν· Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων μέμνηται ζώου μάργου, λέγων ὅτι γεννᾶται ἀπὸ σήψεως μεταξὺ γῆς καὶ ὕδατος (hucusq. Vind. 133.). καὶ ἀφ' οὗ γεννηθῇ οὐ παύεται γαιηφαγοῦν ἕως οὗ ἐκτρυπήσῃ τὴν γῆν καὶ εἰς τὴν ἐπιφάνειαν ἔλθῃ, καὶ ἐλθὸν θνήσκει τρεῖς ἡμέρας· καὶ ἔρχεται νέφος μετὰ βροντῆς καὶ βρέχει ἐπάνω αὐτοῦ καὶ ἀναζῇ μηκέτι γαιηφαγοῦν. Ἐκ τούτου οἶμαι τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας, τοὺς πολυφάγους γαστριμάργους καλέσαι. Δύναται δέ τις εὐσεβῶς καὶ κατὰ θεωρίαν ἐκλαβεῖν τὰ εἰρημένα. πᾶν γὰρ πάθος ἀπὸ σήψεως γεννᾶται, καὶ ἐὰν γεννηθῇ, οὐ παύεται ἐσθίων τὴν ὑποστᾶσαν καρδίαν, ἕως ἂν διὰ τῆς γνωστικῆς ἕξεως εἰς φανέρωσιν ἀληθείας ἔλθῃ, καὶ ἐλθὸν θνήσκει ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς. καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου πνεύματος διὰ νέφους δίδωσι γνῶσιν, καὶ ζωοποιεῖ οὐ κατὰ τὴν προτέραν ἐμπαθῆ

[a] Praeclarum hoc scholium cum varietate lectionis leget cui lubet in utroque etiam Etymologico. BUTTM.

ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἲς,
οὐδὲ βίη· εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ
ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
οὕνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅτε κέν τις ἀνώγοι·
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ·
οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν, οὔτ' ἀγορεύω,
οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται· οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,

3. ἀζηχὲς] ἀζυγὲς H. ib. πιέμεν] πίνεμεν H. ib. Ϝοῖ. Ϝίς. 4. δὲ et μὲν supra H. ib. Ϝεῖδος. 7. κέν] που V. καὶ W. 8. Ϝοῖο. 9. Ϝέπεα. 14. ἄρ' ὑπόδρα ἰδὼν] ἀπαμειβόμενος H. V. ib. Ϝιδών. 15. ῥέζω] ῥέξω V.

ζωὴν, ἀλλὰ κατὰ τὴν ἀνάρεσιν καὶ θεῷ εἰκέλην. Q. 3. Ἀζηχές] Διηνεκές, ἀδιάλειπτον. Vulg. Πολλά. MS. Barnes. 5. Ἀρναῖος] Ἢ ὅτι παραβατώδης[b] ἢ παρὰ τὸ ἄρνυσθαι, ὅ ἐστι λαμβάνειν· ἢ ἀραῖος· ηὔχοντο γὰρ αὐτοῦ οἱ γονεῖς γεννηθῆναι· καὶ πλεονασμῷ τοῦ ν Ἀρναῖος. B. Γέγονε τὸ ὄνομα παρὰ τὸ ἀρῶ ἀραῖος, καὶ πλεονασμῷ τοῦ ν Ἀρναῖος, ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος· ἢ παρὰ τὸ ἄρνυσθαι τὸ λαμβάνειν ὡς πτωχὸς, δι' ὃ ὄνομα πτωχῷ πρέπον· ἢ ἀπὸ τῶν ἀρνῶν, δι' ὃ ὁ βληχώδης καὶ ἠλίθιος. Q.[c] 6. Ἐκ γενετῆς] Ἐκ γονεῆς, ἀρχῆς. Harl. Ἶρος] Ἀπὸ τοῦ Ἶρις ἡ ἄγγελος τῶν θεῶν. B. Ἶρος παρὰ τὸ εἴρω τὸ λέγω, ὁ τὰς ἀγγελίας κομίζων· λέγει γὰρ, οὕνεκ' ἀπαγγελίας (text. ἀπαγγέλλεσκε). Q. Παρὰ τὸ εἴρειν. Vulg. 8. Διώκετο] Ἐδίωκεν. Vulg. Παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. B. 11. Ἐπιλλίζουσιν] Διανεύουσι τοῖς ὀφθαλμοῖς. ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ, ἀπὸ τοῦ εἰλεῖσθαι, ὅθεν τὸ ἰλλαίνειν. B. Q. 15. Δαιμόνιε] Δι' ἔργων σε κακοποιῶ, οὔτ' ἀγορεύω, οὔτε κακολογῶ σε, οὔτε τινὰ φθονέω δόμεναι, καὶ πολλ' ἀνελόντα, οὐ φθονῶ σοι. Q. 17. Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται] Χωρήσει, ὅθεν καὶ χειὰ ἡ κατάδυσις τῶν ὄφεων. B. Q. Vulg. Δημήτριος δέ φησιν, ὅτι Ἀττικίζων ὁ ποιητὴς ἀντὶ τοῦ δέξεται, χείσεται εἶπεν. B. Q. Vind. 133. Οὐ στενοχωρήσει. Οὐδέ τί σε χρὴ ἀλλοτρίων φθονεῖν· οὐ γὰρ ἀπὸ τῶν σῶν λήψομαι. Q. 18. Ἀλλοτρίων φθονέ-

[b] Scr. προβατώδης. BUTTM.
[c] Vide uberius, si lubet, in re magna, hoc scholium nominibusque auctorum stipatum in Etym. M. v. Ἀρναῖος: unde lectionem saltem optimam et nos hic transcribamus, v. 6. τὸ γὰρ θέτο οἱ πότνια μήτηρ. BUTTM.

ὥσπερ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε, γέρων περ ἐών, στῆθος καὶ χείλεα φύρσω
αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀΐω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης·
ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην,
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἐκ πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι, συὸς ὣς ληϊβοτείρης.

20. μή με] μηδὲ V. 23. ὑποστρέψεσθαι] ὑποστρέψεσθαι H. 24. Λαερτιάδεω. 27. Ϝῖσος. 28. δ' ἐκ] δέ κε W.

ειν] Οὕτως ἡ σύνταξις, οὐ χρή σε φθονεῖν μοι τῶν ἀλλοτρίων. μέλλουσι δὲ οἱ θεοὶ εὐδαιμονίαν ἡμῖν παρέχειν. ἄδηλον γὰρ τὸ τῆς τύχης ῥεῦμα. B. Q. 19. Ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν] Ἐοίκασι δὲ οἱ θεοὶ δωρητικοὶ (sic MS. Barnes.; ed. ant. δοτικοὶ, recentt. διανεμητικοὶ, ex emend. scil.) εἶναι εὐδαιμονίας (huc. Q.: sed hic male ἀνοίας), ὥστε οὐ φαίνονται ἡμῖν ἵλεω. Vulg. 21. Μή σε, γέρων] Ὅλον συνῆπται τὸ νόημα οὕτως, μήπως σε αἵματος πληρώσω, καὶ πλέον ἡσυχίαν ἐμαυτῷ ποιήσω αὔριον. εἰ γὰρ σὺ πληγείης, οὐκέτι ἐνταῦθα ἥξεις, καὶ εὑρίσκομαι ἐκτὸς ἐν μάχης, σοῦ μηκέτι ἐλθόντος. B. Q. 27. Γρηῒ καμινοῖ] Τῇ καμινοκαυστρίᾳ, τῇ φρυττούσῃ τὰς κριθὰς πρὸς τὸ ποιῆσαι ἄλευρα. οὕτως Ἀριστοφάνης καὶ Ἡρώδης Ἀττικὸς οἰκοδομεύειν φασίν[d]. ὁ δὲ Κόμανος τῇ καμινεύσῃ τὰς ἴσας διὰ τὸ γῆρας (Vind. ἀπὸ τοῦ γήρως). B. Q. Vind. 133. Καὶ ἄλλως. γυνῇ (scr. γρηῒ) καμινοῖ, καμινευτρίᾳ, παραπλησίως κατὰ τὸ εἶδος καὶ τὴν ἐσθῆτα. ῥυπαρὰ γὰρ ἐφόρει. B. Q. Καμινευτρίᾳ, φρυγούσῃ κριθάς. ἔστι δὲ ἡ εὐθεῖα καμινώ. Vulg. Ἐν πολλαῖς, γρηῒ καμινοῖ. Harl. 28. Χαμαὶ δ' ἐκ πάντας] Σχεδὸν πᾶσαι, χαμαὶ δέ κε πάντας. Harl. 29. Ληϊβοτείρης] Τῆς κατεσθιούσης τὸ λήϊον, ὅ ἐστι τὸ σπόριμον χωρίον. ἐὰν γὰρ εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξοδοντίζεται. Vulg. Νόμος ἦν, ὡς ἐὰν εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξωδοντίζετο. Q. Ὡς χοίρου λήϊον βοσκομένου. εἴποτε γὰρ εὑρίσκετο εἰς ἀλλότριον χωρίον χοῖρος, τοῦτο ἔπασχεν ὑπὸ τῶν δεσποτῶν τοῦ χωρίου κατασχομένη.

[d] Vind.—ἄλευρα. οὕτως Ἀρίσταρχος καὶ ὁ Ἡρωδιανὸς ὁ Ἀττικὸς οἰκοδομεύειν φασίν. Eustath. Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς καμινώ φασι τὴν καμινεύτριαν. Hinc fere suspiceris binos bis grammaticos per similitudinem nominum se invicem exturbasse, legendumque esse οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. ὁ δὲ Ἀριστοφάνης καὶ Ἡρώδης ὁ Ἀττικὸν—φασίν. Sed fallit conjectura: nam in absono isto οἰκοδομεύειν nihil aliud latere potest nisi verbum καδομεύειν, quod ejusdem est cum superioribus significationis: ut nihil igitur hi grammatici inter se differrent. Quare dubium non est quin nomina quæ habet Mediol. corrupta sint ex alteris apud Eustathium et in Vindob. Ita in solo Vindobonensis mendo versamur, quod levi correctura sic tollitur: τῇ φρυττούσῃ τὰς κριθὰς πρὸς τὸ ποιῆσαι ἄλευρα. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. οἱ Ἀττικοὶ καδομεύειν φασίν. BUTTM.

ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.
τοῖϊν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεε μνηστήρεσσιν·
Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη·
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα·
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
χερσὶ μαχέσσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί· τάσδ' ἐπὶ δόρπῳ
κατθέμεθα, κνίσσης τε καὶ αἵματος ἐμπλήσαντες·
ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
αἰεὶ δ' αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα.

34. τοῖϊν] τοῖσι V. 35. ϝηδύ. 38. ἀλλήλοιϊν] ἀλλήλοισι V. 39. μαχέσσασθαι] μαχήσασθαι W. 41. κακοϝείμονας. 43. ϝείπω.

οὗτος δὲ ὁ νόμος παρὰ Κυπρίοις. B. 30. Ἐπιγνώωσι δὲ, ἀντὶ τοῦ θεάσωνται. Vulg. 33. Πανθυμαδὸν ὀκριόωντο] Μετὰ παντὸς θυμοῦ ἐτραχύνοντο, ἠγριαίνοντο. καὶ λίθον ὀκριόεντα (B. Q. ins. φησὶ) τὸν τραχὺν, καὶ οἷον ἄκρα ἔχοντα, καὶ ὀκριόεντα. B. Q. Harl. Πανθυμαδὸν] Ἐκθύμως, πάσῃ τῇ ψυχῇ, ἄγαν ὀργίλως. Ὀκριόωντο] Ἐτραχύνοντο, διεφέροντο, διεπληκτίζοντο. Vulg. 43. Ἀγήνορες] Νῦν οἱ ἄγαν ἀνδρεῖοι. Vulg. Q. 44. Γαστέρες] Οἰκεῖον τὸ ἆθλον τοῖς διὰ γαστέρα ἁμιλλωμένοις. Ἐν πυρὶ, δὲ ἀντὶ τοῦ, παρὰ πυρί. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης ἐν πυρὶ, ἐν τῷ καταφωτιζομένῳ τόπῳ, ὡς ἐν Ἰλιάδι (Ι. 206.), Αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ. B. Q. Προσηκόντως γαστέρα πρὸς βρῶσιν τίθησι τῷ νικήσαντι. καὶ οὗτοι γὰρ διὰ τὴν γαστέρα ἐμάχοντο. Ἐν πυρὶ, δὲ ἀντὶ τοῦ, περὶ (sic Alter) πυρί. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστο (cetera non comparent). Vind. 133. Γαστέρες αἵδ' αἰγῶν] Τὰς φυσικάς[c] λέγει. οἰκεῖον δὲ τὸ ἆθλον τοῖς διὰ γαστέρα δυστυχοῦσιν. Vulg. PORS. ex Harl. " Κέαται πυρί in marg. sed schol.

[c] In schol. Vulg. pro τὰς φυσικὰς scr. τὰς φύσκας. J. G. SCHNEID.

Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
Ὦ φίλοι, οὔπως ἐστὶ νεωτέρῳ ἀνδρὶ μάχεσθαι
ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
ὀτρύνει κακοεργὸς, ἵνα πληγῇσι δαμείω.
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
μή τις ἐπ' Ἴρῳ ἦρα φέρων ἐμὲ χειρὶ παχείῃ
πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπώμνυον, ὡς ἐκέλευε.
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μή τιν' Ἀχαιῶν
δείδιθ'· ἐπεὶ πλεόνεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.
ξεινοδόκος μὲν ἐγὼν, ἐπὶ δ' αἰνεῖτον βασιλῆες
Εὐρύμαχός τε καὶ Ἀντίνοος, πεπνυμένω ἄμφω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον· αὐτὰρ Ὀδυσσεὺς
ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
καλούς τε, μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
στήθεά τε, στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·

50. ἐπεϝάνδανε. 51. τοῖς] τὸν sed οῖς super ὸν H. τὸν V. 54. κακοεργός. 56. παχείῃ] βαρείῃ H. V. W. ib. ϝῆρα. 57. ἀτασθάλλων, τούτῳ] ἀτασθαλέων τοῦτο V. ib. ϝῖφι. 58. ἐκέλευε] ἐκέλευσεν V. Post hunc versum in H. et V. sequitur: αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον. Quem etiam in textu habet uncinis inclusum W. 59. μετέειφ'. ϝίς. 61. Ἀχαιϝῶν. 62. δείδιθ'] δείδιτ' H. 64. Εὐρύμαχός τε καὶ Ἀντίνοος] Ἀντίνοός τε καὶ Εὐρύμαχος W. 67. ϝοι. 69. ἤλδανε] ἤλδανε V. ib. λαϝῶν.

habet ἐν." 50. Ἥνδανε] Ἤρεσκε. Vulg. 56. Ἦρα] Τὸ ἐντελὲς ἐπίηρα. B. 57. Ἀτασθάλλων] Ἐνυβρίζων με ὑπερηφάνως ἢ ἀδικῶν με. B. Q. 58. Ἐπώμνυον] Ἐπώμνυον, οὐκ ἀπώμνυον. B. Harl. Ἀπώμνυον] Γρ. ἐπώμνυον. Vind. 133. 62. Θείνῃ] Γρ. δείρῃ. Vind. 56. 63. Ἐπὶ δ' αἰνεῖτον] Συγκατατίθενται. Vulg. Συντίθενται δὲ κελεύσει μου ὁ Ἀντίνοος καὶ Εὐρύμαχος[f]. Q. 66. Ζώσατο] Περιεζώσατο μὲν τοῖς ῥάκεσι τὰ αἰδοῖα, ἢ περὶ τὰ αἰδοῖα ἐζώσατο. B. Q. 69. Μέλε' ἤλδανε] Ψιλῶς ἀπὸ τοῦ ἀλδαίνω. καὶ Αἰολεῖς ἄλματα καλοῦσι τοὺς κλάδους, οἷον ἀλδήματα καὶ αὐξήματα. B. Q.

[f] Pors. e scholio, nescio an hoc, profert, Ἀντίνοός τε καὶ Εὐρ., ut varietatem ejus qui est in textu ordinis, E. τε καὶ A. BUTTM.

ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει·
οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.
Ὣς ἄρ' ἔφαν· Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός·
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ,
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
αἴ κέν σ' οὗτος νικήσῃ, κρείσσων τε γένηται,
πέμψω σ' Ἤπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,

71. Fείπεσκε Fιδών. 77. ἐνένιπτεν] ἐνένιπεν H. ib. Fέπος. 81. Fερέω.

72. Ἄϊρος] Ἶρος ὀνομασθείς[g]. Ἐπισπαστόν] Ἑκούσιον ἀπὸ τῶν ὀρνίθων τῶν δελεαζομένων καὶ ἐπισπωμένων ἑαυτοῖς τὸν ὄλεθρον. Vulg. Ἄϊρος ἐπίσπαστον] Οὐκέτι ἐν ζῶσιν ἐσόμενος Ἶρος. τὸ δὲ, ἐπίσπαστον, αὐθαίρετον, ὃ αὐτὸς ἑαυτῷ ἐπεσπάσατο. B. Ἕξει] Γρ. ἄξει. Harl. 73. Ἐπιγουνίδα] Τὸν ἐπάνω τοῦ γόνατος τόπον. ἀπὸ δὲ μέρους τὸ πᾶν σῶμα φησίν. εἰ γὰρ τὸ ὀστῶδες μέρος εὔσαρκον, πῶς οὐκ ἂν καὶ τὰ ἄλλα; B. Q. Cf. ad ρ'. 225. 75. Ἀλλὰ καὶ ὣς δρηστῆρες] Ἁπλῶς. οὐ γὰρ ἐπὶ τῶν μαγείρων. Οὔτοι δῶμα καταδρηστῆρες ἔασιν (κ'. 349. τ'. 345.). Q. 78. Νῦν μὲν μήτ' εἴης] Ἀντὶ τοῦ ἀποθάνοις νῦν. μήτε γένοιο, ἀντὶ τοῦ μηδὲ ἐν παλιγγενεσίᾳ ἔλθοις τὸ δεύτερον. B. Βουγάϊε] Μεγάλως ἐπαιρόμενε, βοῶν ἔργα ποιῶν. Vulg. Ἀκουστέον ὑπερμεγέθη ἔχειν (scr. ἔχων) βοείαν ἀσπίδα, ἐπὶ τοῦ Αἴαντος, ὅταν λέγῃ, Ὦ Αἶαν ἁμαρτοεπὲς βουγάϊε (Il. ν'. 824.), ὡς εἰ ἔλεγεν, ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ὡς, Κύδεϊ γαίων (Il. α'. 405.). ἐπὶ δὲ τοῦ Ἴρου χαριεντιζόμενός φησι, διὰ τὸ μέγεθος, ὡς ὑπερμεγέθη ἀνέχοντος ἀσπίδα. Λέγει δὲ, μὴ εἴης μέγας, μηδὲ γένοιο· ὅμοιον τῷ, Ἦ μάλα Ἶρος ἄϊρος (supra 73.). ἀπαγγέλλων ὅτε που τὶς ἀνώγοι (7.). τοῦτο ὅμοιον καὶ τῷ, Οὕτω γάρ κεν μοι ἐϋκλείη τ' ἀρετή τε Εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα (ξ'. 402.). τοῦτο γὰρ ταυτὸν τῷ εἴης καὶ γένοιο. Q. Βουγάϊε] Ἐπὶ μὲν τοῦ Αἴαντος, ἐπὶ τῇ βοῒ γαίων, ὅ ἐστι τῇ ἀσπίδι· νῦν δὲ χαριεντιζόμενος ἐπὶ τῷ γαυριῶντι τῇ ἀναισθησίᾳ φησί. B. Q. 83. Πέμψω σ' Ἤπειρόνδε] Ἤπειρος χώρα (B. χωρίον) ἐστὶν ἐναντίον τῆς Ἰθάκης οὕτως ἰδικῶς λεγομένη. B. Q. 84. Εἰς Ἔχετον βασιλῆα] Ἔχετος ἦν μὲν υἱὸς Βουχέτου ἀφ' οὗ καὶ ἐν Σικελίᾳ πόλις Βούχετος[h] καλεῖται. Σικελῶν δὲ τύραννος λέγεται. τούτων τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους

[g] Ἐπὶ κακῷ inserit Barnesius. BUTTM.

[h] Vulg. ed. ant. Βουχέτου de homine, Βούνετος de urbe. Edd. rec. utrumque per κ. Quanquam autem Siciliam nominet scholiastes, ad Epiri tamen urbem Βούχετα vel Βουχέτιον, de qua vid. Etym. M., hæc spectare, dubitari nequit. BUTTM.

ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ,
μήδεά τ' ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι.
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα·
ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.
δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεὺς,
ἢ ἐλάσει', ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
ἦέ μιν ἦκ' ἐλάσειε, τανύσσειέν τ' ἐπὶ γαίῃ.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.
δὴ τότ' ἀνασχομένω, ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχέν' ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω
ἔλασεν· αὐτίκα δ' ἦλθεν ἀνὰ στόμα φοίνιον αἷμα·
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, σὺν δ' ἤλασ' ὀδόντας,
λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ

85. τάμῃσι] τάμῃ V. 86. δώῃ] δώσει V. ib. ἐκϝερύσας. 89. δῖϝος. 90. ἐλάσει'] ἐλάσει H. (σει superscr.) 92. ϝοι. 93. Ἀχαιϝοί. 94. ἀνασχομένω] ἀνασχόμενοι V. 96. ἦλθεν ἀνὰ] ἦλθε κατὰ H. W.

ἀναιρεῖν λαβόμενον· τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι καὶ ξίφει περιβαλεῖν θανάτῳ ἐκπέμπειν αὐτῷ. πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τούτῳ αἰκίας. ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ ἱστορία παρὰ Μνασέᾳ καὶ Μαρσύᾳ. Q. Vulg.[1] Οὗτος Ἠπείρου βασιλεὺς Εὐχήνορος καὶ Φλογυίας υἱὸς, ὃς τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν ὑπὸ Αἰχμοδόκου φθαρεῖσαν πηρώσας ἠνάγκασεν ἀλεῖν κριθὰς σιδηρᾶς, τότε φήσας ἀποδώσειν αὐτῇ τὰς ὄψεις ὅταν ἀλέσῃ τὰς κριθάς. τὸν δὲ Αἰχμοδόκον ὡς ἐπὶ ἑστίαν καλέσας ἠκρωτηρίασε. καὶ εἰς ἀμέτρητα τραπεὶς μισθὸν ἐλάμβανεν ὑπὲρ τοῦ ἀκρωτηριάζειν τοὺς ἐπὶ τούτῳ πεμπομένους αὐτῷ ξένους. ὕστερον μέντοι μανεὶς ἐνεφορήθη τῶν ἰδίων σαρκῶν. Τινὲς δέ φασιν ὅτι ἐπ' αὐτοῦ Ὁμήρου ἦν ὁ Ἔχετος· ἐπειδὴ δὲ ἐπλημμέλησεν εἰς αὐτὸν, ἐμνήσθη αὐτοῦ ὡσανεὶ παλαιοῦ τινος ἀδίκου. Q. Ἔχετος βασιλεὺς ἦν τῆς Ἠπείρου, Εὐχήνορος παῖς, ὠμὸς καὶ ἀπότομος, ὃς καὶ τὴν θυγατέρα Μετώπην ἢ Ἄμφισσαν ὑπὸ Αἰχμοδίκου φθαρεῖσαν, πηρώσας ἠνάγκαζε σιδηρᾶς ἀλεῖν κριθὰς, λέγων τότε ἀποδώσειν τὰς ὄψεις, ὅτε ἀλέσει τὰς κριθάς. τὸν δὲ Αἰχμόδικον ἐπὶ ἑστίασιν καλέσας, ἠκρωτηρίασεν, καὶ τὰ αἰδοῖα αὐτοῦ ἀπέκοψεν. ὕστερον μέντοι μανεὶς καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσβη. Vulg. 88. Ἄναγον] Ἴωνες τὸ ἄγειν, ἀνάγειν λέγουσιν. Οἱ δέ τοι (Harl. δ' ἔτι) εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι (Il. θ. 203.). B. Q. 90. Ἐλάσει] Πλήξει βαλών. Vulg. 94. In marg. ἀνασχόμενοι. ἔστι δὲ ἀντὶ τοῦ ἀνασχομένων. PORS. ex Harl. Ἀνασχομένω] Ἀνατείναντες. Vulg. 97. Μακὼν, ἐπὶ ἀνθρωπείας φωνῆς. B. Ἡ Αἰολὶς, χανών. Harl. Σὺν δ' ἤλασε (Me-

[1] In Vulg. ed. ant. hoc quidem scholium ad calcem libri rejectum, alterum, quod ordine tertium exhibemus, suo loco positum est. BUTTM.

χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον· αὐτὰρ Ὀδυσσεὺς
εἷλκε δι' ἐκ προθύροιο, λαβὼν ποδός· ὄφρ' ἵκετ' αὐλὴν,
αἰθούσης τε θύρας· καί μιν ποτὶ ἑρκίον αὐλῆς
εἷσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐνταυθοῖ νῦν ἧσο, κύνας τε σύας τ' ἀπερύκων,
μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
ἡδὺ γελώοντες, καί ἑ δεικανόωντ' ἐπέεσσι·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὅ, ττι μάλιστ' ἐθέλεις, καί σοι φίλον ἔπλετο θυμῷ,
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν Ἤπειρόνδε
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κληηδόνι θεῖος Ὀδυσσεύς.
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν
ἐμπλείην κνίσσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας,
καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
Χαῖρε, πάτερ, ὦ ξεῖνε· γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος, ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.

102. ϝοι. 103. ϝέπεα. 104. κύνας τε σύας τ'] σύάς τε κύνας τ' H. 107. ἀϝεικέα. 109. δ' ὅγ'] δ' ἄρ H. 110. γελώοντες] γελώωντες H. ib. ἑ erasum, et καὶ non inclinatum H. Post hunc versum in V. sequitur ille: Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων. ib. ϝηδύ. ϝε. ϝέπεσσι. 112. σοι] τοι H. W. 116. θεῖος] δῖος H. W. 117. ϝοι. 122. ὄλβος] ὄλβιος. γρ. ὄλβος H.

diol. συνδήλας) ἔκθανον] Συνέκρουσε. B. Q. Vulg. 100. Εἷλκε δι' ἐκ προθύροιο] Διὰ τοῦ προθύρου τοῦ ἀνδρῶνος εἷλκεν αὐτὸν, ἕως ὅτε κατέλαβε τὴν αὐλὴν, ὅπου εἰσὶν αἱ θύραι τῆς αἰθούσης (B. αὐλῆς). Q. 101. Ποτὶ ἕρκιον (sic proparox.) αὐλῆς] Εἰς τὸ περίφραγμα τῆς αὐλῆς, ἀντὶ τοῦ τῷ περιεχομένῳ τόπῳ τῆς αὐλῆς. B. Q. 105. Εἶναι] Ἀντὶ τοῦ ἔσο. Q. 106. Ἐπαύρῃ] Ἀντὶ τοῦ εὕρῃς. B. Q. Γρ. ἄλλο πάθῃσθα. Harl. 110. Δεικανόωντ' ἐπέεσσιν] Ἤγουν ἐδεξιοῦντο, παρὰ τὸ δείκνυμι. Barn. e MS. 114. 115. Οὗτοι οἱ β' ἐκ τῶν ἄνωθεν μετηνέχθησαν. Harl. 114. Ἀνάξομεν Ἤπειρόνδε] Ἀναχθῆναι ποιήσομεν. B. Q.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
τοίου γὰρ καὶ πατρός· ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν, ἀφνειόν τε·
τοῦ σ' ἔκ φασι γενέσθαι· ἐπητῇ δ' ἀνδρὶ ἔοικας.
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.
καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων,
πατρί τ' ἐμῷ πίσυνος, καὶ ἐμοῖσι κασιγνήτοισι.
τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅ, ττι διδοῖεν·
οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
κτήματα κείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν

127. ϝέϝοικας. 128. ϝερέω. 133. τελέσωσι] τελέωσι m. pr. H.
134. ἀϝεκαζόμενος. 140. ποτε] ποτὲ H. W.

Vulg. νῆσος γὰρ ἡ Ἰθάκη. B. Q. Ἀπαγόρευμα. Vulg. (alio schol.) 127. Ἐπαιτῇ (sic, pro ἐπητῇ)] Περισπωμένως ἀντὶ τοῦ λογίῳ. B. Q. Ἐπητῇ] Δεινῷ εἰπεῖν, ἢ λογίῳ, παρὰ τὰ ἔπη. Vulg. 129. Ἀκιδνότερον] Ταπεινοτικώτερον. B. Q. 132. Ὄφρ' ἀρετὴν παρέχωσι] Νῖν, τῆς ἀγαθοῖς παρέχουσιν (sic Vulg.: Mediol. -ωσιν) εὐδαιμονίαν· ὁμοίως τῇ, Ἀρετῶσι δὲ λαοί. (τ'. 114.). Vulg. Q. 133. Τελέουσι (sic ed. ant.)] Ποιῶσιν, ἐπιφέρουσιν. Vulg. 135. Τοῖος γὰρ νόος ἐστίν] Οἱ μὲν φιλόσοφοι ἐκδέχονται, ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσιν οἱ ἄνθρωποι· ὁ δὲ ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα. B. Q. Vulg. ποῖον γὰρ ἐπαγάγει (sic) ἦμαρ ὁ Ζεὺς τοῖς ἀνθρώποις, τοιοῦτος ἐστὶν ὁ νοῦς αὐτῶν, ἐν μὲν ταῖς εὐτυχίαις ἐπαιρόμενος, ἐν δὲ ταῖς δυστυχίαις ταπεινούμενος πρὸς τὰς ἐφ' ἡμέρᾳ τύχας. B. Q. 137. Ἔμελλον] Ἐῴκειν, ἐδόκουν. Q. Ἐῴκειν, ἐνομιζόμην. Vulg. 139. Πατρί τ' ἐμῷ πίσυνος] Θαῤῥῶν τῇ προστασίᾳ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν. Q. 141. Ἀλλ' ὅγε σιγῇ] Ἡσυχῇ, ἐγκρατῶς, μήτε ἐπαιρόμενος, μήτε ἄγαν ὀδυρόμενος. Δῶρα δὲ θεῶν, ἁπλῶς τὰ διδόμενα ὁποῖα τύχῃ ὄντα. B. 142. Οἷ' ὁρόω μνηστῆρας δῶρα θεῶν (del. δ. θ.)] Θαυμαστικῶς τὸ οἷα. ἠρέμα ταῦτα πρὸς τὸν Ἀμφίνο-

ἀνδρὸς, ὃν οὐκ ἔτι φημὶ φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν· ἀλλά σε δαίμων
οἴκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω
μνηστῆρας κἀκεῖνον, ἐπεί κε μέλαθρον ἐπέλθῃ.
Ὣς φάτο· καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον·
ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
αὐτὰρ ὁ βῆ διὰ δῶμα, φίλον τετιημένος ἦτορ,
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
ἀλλ' οὐδ' ὣς φύγε κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη,
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο
μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος ἢ πάρος ἦεν.
ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,
μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,

146. ϝοίκαδ'. 149. κἀκεῖνον] καὶ κεῖνον H. W. ib. ἐπέλθῃ] ὑπέλθῃ H. W. 150. μελιϝηδέα ϝοῖνον. 151. λαϝῶν. 153. θυμός] θυμῷ H. 155. ϝῖφι. 160. ϝιδέ. 162. 170. ϝέπος. 165. ϝείποιμι ϝέπος.

μεν φησί. Q. 149. Κἀκείνων] Πλήρης ὁ καί. Harl. 153. Ὄσσετο] Προεμηνύετο. Q. 159. Πετάσειε] Ἐκπλήξειεν. Vulg. Ἀναστήσει πρὸς ἐπιθυμίαν. B. Γρ. θέλξειε. Vind. 50. 56. Οὐκ ἀλαζονικῶς δὲ πρόεισιν ἡ Πηνελόπη, ἀλλ' ὅπως μὴ βιασθῇ προσποιουμένη καὶ ἐλπιδοποιοῦσα τὸ (Vulg. τῷ) δοκεῖν τοῖς συνοικῆσαι. Q. Vulg. 161. Μᾶλλον πρὸς πόσιος] Ἵν' ἐκπλαγεὶς τῷ κάλλει αὐτῆς Ὀδυσσεὺς μᾶλλον κατὰ τῶν μνηστήρων ἐπιῤῥωσθείη. B. Q. 162. Ἀχρεῖον] Ἄκαιρον μηδενὸς προκειμένου, ἀχρειῶδες, οὐδὲ πρὸς χρείαν ἁρμοζόμενον. B. Q. Οἷον οὐκ ἐκ σπουδῆς. Vulg. ΕΠΑΙΝΕΙΝ. συντίθεσθαι. Hæc glossa in Vulg. ed. ant. est inter glossas Ἀχρεῖον et Φρονέουσι. Forsitan utrumque verbum explicationis loco erat ad ὁμιλεῖν. 166. Φρονέουσι] Βουλεύον-

οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπε·
καὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἴθι, καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς·
μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
ἔρχευ· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
χρῶτ' ἀπονίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
ἀγλαΐην γὰρ ἔμοιγε θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν,
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
εὗδε δ' ἀνακλινθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα
αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.

168. ἔϝειπε. 169. ἔϝειπες. 170. φάο] φάε V. 172. δακρύοισι] δάκρυσι H. δάκρυσι V. 175. ἠρῶ] ἠρῷ V. ib. ϝιδέσθαι. 176. προσέϝειπε. 181. Αὐτονόην] Αὐτονόμην V. 183. οὐκ εἴσειμι] οὐ κεῖσ' εἶμι H. Post hunc versum aliena manu adscriptum habet V.: μίσγεσθαι μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ. 188. 191. ϝοι. 189. ϝἅψεα. 190. Ἀχαιϝοί.

ται, ἐννοοῦσι. Vulg. 167. Βάζουσι] Εἰς κοινὸν λαλοῦσι. Q. 171. Ἐπιχρίσασα παρειάς] Ἐλαίῳ λιτῷ ἢ σκευαστῷ. B. 175. Ἠρῶ] Γρ. ἦρα. Vind. 133. 177. Παραύδα] Ἔξω τοῦ δέοντος λέγε ἢ κρίνε. Q. 178. Ἀλοιφῇ] Ἐλαίῳ. Vulg. Harl. 182. Οὐ κεῖσ' εἶμι] Τὸ πλῆρες, ἐκεῖσε εἶμι. τινὲς δὲ, εἴσειμ'. ἄμεινον δὲ τὸ πρῶτον. Harl. Post hunc versum Vind. 133. habet hunc: Μίσγεσθαι μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ, inepte. 184. Νέεσθαι] Γρ. ἔσεσθαι. Harl. 185. Ἀλέξουσα (sic pro ἀγγελέουσα ed. ant.)] Αλέ-

κάλλεϊ μέν οἱ πρῶτα πρόσωπά τε καλὰ κάθηρεν
ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι·
λευκοτέρην δ' ἄρα μιν θῆκεν πριστοῦ ἐλέφαντος.
ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
καί ῥ' ἀπομόρξατο χερσὶ παρειάς, φώνησέν τε·
Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν·
αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετήν· ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.
Ὣς φαμένη κατέβαιν' ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·

191. πρόσωπά τε] προσώπατα H. W. Hesychius v. Κάλλει omittit τε. Apollonii vero MS. habet πρόσωπα τὰ, teste Villoisono. PORS. 192. Κυθέρεια et suprascr. ἀφροδίτη H. 193. ἂν ἴῃ] ἀνίῃ ex emend. H. ib. ἱμερόεντα] εἰς ἐρόεντα V. 194. Ϝιδέσθαι. 196. ἀπεβήσατο et ε super α ultimam eadem m. additum H. ib. Ϝέρξασ'. Δῖϝα. 198. ἀνῆκε sed suprascr. ἀφῆκεν H. 201. αἴθε] εἴθε V. 204. Ἀχαιϝῶν. 207. ἡ δ'] ἦδ' V. ib. δῖϝα. 210. Ϝοι. Ϝεκάτερθε. 211. ἔρῳ] ἔρω W. ib. ἔθελχθεν] ἔθελγεν V. 213. αὖ] ἄρα V. ib. Ϝόν.

γουσα. Vulg. 191. Κάλλεϊ] Νῦν τὰ μύρα. Vulg. Μυθικῶς θείῳ τινὶ χρίσματι. Q. 192. Κυθέρεια] Ἡ ἀπὸ τοῦ κεύθειν ἢ ἀπὸ τοῦ κύειν ἔρωτα. B. 193. Ἱμερόεντα] Γρ. ἐρόεντα. Vind. 56. 196. Δῖα θεάων] Ζηνόδοτος γράφει, δῖ' Ἀφροδίτη. Vind. 133. Harl. 198. Φθόγγῳ ἐπερχόμεναι] Σὺν φθέγματι οὐ σιωπῇ βαδίζουσαι πρὸς αὐτήν. B. Μετὰ φωνῆς ἐπιοῦσαι. Vulg. 203. Φθινύθω] Φθείρω. Vulg. 211. Ἔθελχθεν] Ἠλλοιώθησαν. Q. Vulg.

παῖς ἔτ' ἐὼν, καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ, καὶ ἥβης μέτρον ἱκάνεις,
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φὼς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτω.
πῶς νῦν; εἴ τις ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμὴ, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε, καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα·
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη

220. τόδε] τόγε H. ib. ϝέργον. 221. ἀϝεικισθήμεναι. 222. πῶς νῦν] πῶς δὴ νῦν H. ib. εἴ τις] εἴτι text. et bis schol. marg. H. εἴ τοι V. ἤ τι W. 227. ϝοῖδα ϝέκαστα.

Ἶρῳ δ' ἄρα θυμὸν ἔθελχθεν] Γράφεται, ἶρος δ' ἄρα θυμὸν ἔθελγεν. B. 215. Κέρδε'] Κέρδεα νῦν τὰ βουλεύματα. B. Συνέσεις. Vulg. Ἐνώμας] Ἐκίνεις. ἀντὶ τοῦ ἐνενόεις. Vulg. 216. Νῦν δ' ὅτε] Τὸ ἑξῆς, νῦν δ' ὅτε δὴ μέγας ἐσσὶ, οὐκέτι φρένες εἰσὶν, ὡς τὸν ξεῖνον ἔασας. B. Q. 220. Οἷον δὴ] Θαυμαστικῶς τὸ οἷον δή. B. 222. Πῶς νῦν;] Τὸ ἑξῆς, πῶς εἰς τὸ μετέπειτά σοι αἶσχος λώβη τε πέλοιτο, ἐάν τι[k] ὁ ξεῖνος πάθῃ ῥυστακτύος ἐξ ἀλεγεινῆς; τὸ γὰρ νῦν μέλλοντός ἐστι χρόνου, τὸ δὲ πῶς θαυμαστικὸν μετὰ ἤθους. B. Q. 223. Ῥυστακτύος] Ἑλκυσμοῦ, αἰκισμοῦ. Κήδεται δὲ αὐτοῦ παρ' Εὐμαίου μαθοῦσα ὑπάρχειν αὐτὸν Ὀδυσσέως ἑταῖρον. Q. 226. Κεχολῶσθαι] Τὸ ἑξῆς, τὸ μὲν κεχολῶσθαί σε. ὁ δὲ νοῦς, διὰ τοῦτο μὲν ὀργίζεσθαι οὐ μέμφομαί σοι, οὐκ εἰμὶ δὲ ἀνόητος ὡς σὺ φῂς, ἀλλὰ νοῶ τὰ καθέκαστα. B. Q. 228. Πάρος δ' ἔτι νήπιος ἦα] Γράφεται, μέγας δέ κε νήπιος εἴην. ὁ δὲ ἀντὶ γάρ· μέγας γὰρ ἀνόητος εἴη (scr. εἴην). Μέγας δὲ, ἤτοι μέγας ὢν τῇ ἡλικίᾳ. ἢ δύναται καὶ ἐπιτάσεως εἶναι μέγας μωρὸς ἀντὶ τοῦ πάνυ ἀνόητος, ὡς καὶ ἐν τῇ συνηθείᾳ. ὅθεν καὶ ἐπίῤῥημα μέγα ἀντὶ τοῦ μεγάλως. Q. Ἠθέτει καὶ Ἀριστοφάνης. Harl. 232. Οὐ μέντοι

[k] Hoc spectat lectionem εἴ τι (al. εἴ τις): et bis in schol. marg. Harl. esse εἴτι Porsonus refert. BUTTM.

μνηστήρων ἰότητι· βίῃ δ' ὅγε φέρτερος ἦεν.
αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικὼς,
οὐδ' ὀρθὸς δύναται στῆναι ποσὶν, οὐδὲ νέεσθαι
οἴκαδ', ὅπῃ οἱ νόστος· ἐπεὶ φίλα γυῖα λέλυνται.
  Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
  Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ,
πλέονές κεν μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
ἠῶθεν δαινύατ'· ἐπεὶ περίεσσι γυναικῶν,
εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας.
  Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Εὐρύμαχ', ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον

237. λελῦτο a m. pr., sed ν additum ex emend. H. λέλυντο V. ib. Fεκάστου. 238. αὐλείῃσι] αὐλῇσι H. 239. κεφαλῇ] κεφαλὴν V. ib. FεFοικώς. 240. ὀρθὸς] ὀρθῶς et ὸς super ῶς H. Deinde στῆναι δύναται H. W. 241. οἴκαδ', ὅπῃ] οἴκαδ' ὅππῃ V. ib. Fοίκαδ'. Fοι. 243. δὲ Fέπεσσι. 244. κούρη] κούρη· (sic) H. ib. περίφρον] περίφρων H. 245. Fίδοιεν. Ἀχαιϝοί. 246. κεν] κε W. 247. δαινύατ'] δαίνυντ' primo scriptum, sed accentus erasus, deinde alter supra υ positus, et α post υ additum H. PORS. 248. Fεῖδος. ἐΐFισας. 250. Fεῖδος. 251. Fίλιον.

ξεῖνον] Οὐ κατὰ τὴν βούλησιν τῶν μνηστήρων, οὐδὲ ὡς ἐπεθύμουν αὐτοὶ ἀπέβη τὰ τῆς μάχης. ὁ γὰρ Ὀδυσσεὺς κρείσσων ἐγένετο, ἐκείνων βουλομένων τὸν Ἶρον νικῆσαι. B. Q. Μῶλος] Νῦν συμπλοκή. B. 234. Αἲ γὰρ Ζεῦ] Ταῦτα σιωπῇ Τηλέμαχος πρὸς τὴν μητέρα φησὶ πρὸς τῇ παραστάδι παρεστηκώς. Q. 237. Λέλυντο text. Γρ. λῦτο, et γρ. λελῦτο. Vind. 133. 238. Νῦν] Γρ. γοῦν. Harl. Ἐπ' αὐλῇσι] Γρ. ἐν αὐλείῃσι. Harl.

245. Ἴασον Ἄργος] Ἴασος, βασιλεὺς Πελοποννήσου. Ἄργος οὖν νῦν τὴν Πελοπόννησον (Vulg. add. νῆσον) λέγει, ἢ καὶ ὅλην τὴν Ἑλλάδα ἀπὸ τοῦ μεσαιτάτου. Q. Vulg. Τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου τῆς Ἰοῦς. πρὸς τὴν αὐτὴν δὲ καὶ Ἀχαϊκὸν Ἄργος φησὶ, Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν. B. Q. 247. Περίεσσι γυναικῶν] Ἡ περὶ ἀντὶ τοῦ περισσότερον, ἤτοι ὑπερέχεις τῶν γυναικῶν. B. 248. Φρένας ἔνδον ἐΐσας]

Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἦ μὲν δὴ ὅτε τ' ᾔιε λιπὼν κάτα πατρίδα γαῖαν,
δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
Ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀϊστῶν,
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐου πτολέμοιο.
τῷ οὐκ οἶδ', εἴ κεν μ' ἀνέσει θεὸς, ἦ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων·
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,

252. Ἀργεῖϝοι. 253. ἀμφιπολεύοι] ἀμφιπολεύειν (sic text.), ἀμφιπολεύοι marg. H. 255. ἐπέσσευεν] ἐπέσχευεν text. In marg. γρ. ἐπέσσευεν H. 256. ὅτε τ' ᾔιε] ὅτ' ᾖε text. ὅτε τ' ᾖε marg. H. ὅτε τ' ᾖε W. 258. γὰρ ὀΐω] γάρ τ' ὀΐω H. ib. Ἀχαιϝούς. 262. τάχιστα] μάλιστα V. 263. πτολέμοιο] πολέμοιο V. 264. οὐ ϝοῖδ'. 267. ἢ ἔτι] ἠέ τι V. 268. ϝίδηαι.

Ἀλλοιῶς. ἀπὸ τῶν ζυγῶν ἡ μεταφορά. ἢ ὁμοίας τῷ κάλλει. B. Q. 252. ΗΕΝ. ἐτύγχανεν, ὑπηρχεν. Vulg. Σὺν τῷ ι Ἀρίσταρχος καὶ Ἀριστοφάνης, ἀντὶ τοῦ ἦν. Harl. 253. Τὸν ἐμὸν βίον] Τὴν ἐμὴν πολιτείαν, τὴν ἐμὴν ζωήν. Q. Ἀμφιπολεύοι] Περιπέσοι, περὶ τὸν ἐμὸν βίον πολεῖτο καὶ ἀναστρέφοιτο. B. Διέπει, θεραπεύει. Vulg. 256. Λιπὼν κατά] Τινὲς ἀναστρέφουσι τὴν κατά· ἔνιοι δὲ ἀντὶ τῆς ἀπὸ λέγοντες οὐκ ἀναστρέφουσιν. Q. 257. Ἐμὲ χεῖρα] Ἀντὶ τοῦ ἐμοῦ χεῖρα, ἢ ἐμὲ προσηύδα. B. 260. Καὶ γὰρ Τρῶας φασὶ] Πιθανῶς ἐλπιδοποιεῖ (Q. Ἐλπιδοπ. προφανῶς) τοὺς μνηστῆρας, ὅτι ἐν (Q. σὺν) τοῖς ἄλλοις εἰκὸς ἀνῃρῆσθαι αὐτόν. Vulg. Q. 262. Ἵππων δ' ὠκυπόδων ἐπιβήτορας] Τὸ ἑξῆς, οἵτινες ἐπιβάται τῶν ἵππων διαχωρίζουσι τὴν φιλονεικίαν τοῦ πολέμου, τέμνοντες συντόμως τὴν μάχην. B. Q. 264. Εἴ κέν μ' ἀνέσει θεὸς] Ἐκ τοῦ θανάτου ἀφήσει, ἢ ἐκ τῆς ἀλλοδαπῆς εἰς τὴν πατρίδα ἀναπέμψει καὶ ἀνακομίσει. B. Q. Ἀνέσει] Ἐάσει, ἀναπέμψει. Vulg. 267. Ἢ ἔτι] Ἀντὶ τοῦ, καὶ ἔτι. B. 268. Γενειήσαντα] Ἵνα μὴ ὑπὸ πατρῴου ἐξουσίας γένηται ὁ παῖς. Q. Καὶ ἄλλως. Ἐν ᾧ προτρέπει, ἐν τούτῳ ἀποτρέπει· γραῦς γὰρ τότε ἐγίνετο (Vulg. ἐγένετο.). Q. Vulg. Τάδε δὴ νῦν[1] τεχνικῶς. τὸ μὲν γὰρ

[1] Tria haec verba fuisse videntur lemmatis loco e versu 270. Sed scholium spectat ad v. 268. BUTTM.

γήμασθ', ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
κεῖνός θ' ὣς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται.
νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
οὐλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·
οἵτ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν·
αὐτοὶ τοί γ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
μειλιχίοις ἐπέεσσι· νόος δέ οἱ ἄλλα μενοίνα.
Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
δῶρα μὲν ὅς κ' ἐθέλησιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅστις ἄριστος.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος·

270. κεῖνός θ' ὥς] κεῖνος τὼς W. 274. τὸ πάροιθε] προπάροιθε V. 277. Fίφια. 278. κούρης et supra η scriptum η H. κούρῃ V. ib. φίλοισι et supra οι scriptum η H. φίλῃσι V. 280. δῖFος. 281. παρέλκετο] παρείλκετο ex emend. Diphthongum habet unum scholion, simplicem vocalem alterum H. 282. μενοίνα] μενοίνας H. ib. Fεπέεσσι. Fοι. 285. 288. ἈχαιFῶν. 287. Fέργα. 289. ἐπεFάνδανε.

παντελῶς εἴργειν τὸν γάμον, ἐπαχθές· τὸ δὲ εἰς ἀνεπιτήδειον ἡλικίαν περιστῆσαι, συνετόν. δυσωπητικὸν δὲ καὶ τὸ, τεὸν δῶμα. Q. 271. Νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος] Ἐλπίδα πᾶσαν αὐτοῖς ὑποβάλλει τοῦ γάμου, δεδοικυῖα ἵνα μὴ βιασθῇ. Q. Ἀντιβολήσει] Συντελεσθήσεται. ἤδη γὰρ πρὸς αὐτῷ τῷ τέλει εἰμί. Vulg. 272. Οὐλομένης] Ἀπολλυμένης μᾶλλον ἢ προδούσης τὴν κοίτην τοῦ ἀνδρός. Q. Vulg. 274. Οὐχ ἥδε δίκη] Ἔθος. ἀντὶ τοῦ, οὐχ οὗτος ὁ τρόπος ὑπῆρχεν τῶν μνηστήρων ἐν τῷ προτέρῳ χρόνῳ. B. Q. 278. Κούρης] Τῆς νύμφης. οὐ μόνον δὲ ἡ παρθένος ἀλλὰ καὶ ἡ γεγαμημένη κόρη καλεῖται. προσεῖπε δ' Ὀρέστης Λάκαιναν κόρην (Eurip. Orest. 1437.), ἐπὶ τῆς Ἑλένης. Q. Ἔργα text. et supra δῶρα. Harl. (Est mendi correctio.) 281. Τῶν μὲν δῶρα παρέλκετο] Εἰ μὲν ὑφ' ἓν, παρέλκετο, παρελκὼν ἐλάμβανεν. εἰ δὲ διῃρημένως, παρὰ τούτων ἐλάμβανε, καὶ ἀνεπλήρου τὰ ἀναλώματα. Q. Vulg.

δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον
ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
χρύσειαι, κληῗσιν εὐγνάμπτοις ἀραρυῖαι.
ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.
ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
ἐκ δ' ἄρα Πεισάνδροιο, Πολυκτορίδαο ἄνακτος,
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.
ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔδωκεν.
ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα δῖα γυναικῶν·
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν·

290. Ϝέκαστος. 293. κληῗσιν] κληισὶην γρ. κληῗσιν. Deinde εὐγνάμπτοις, sed λ supra ν, et ως mutatum in ης. In marg. εὐγνάμπτης H. 295. ἐερμένον primo scriptum, sed γ mox additum, quod omittit scholiastes H. ἐεργμένον V. ib. ἐϜερμένον. Ϝέως. 298. Ϝάνακτος. 300. ἔδωκεν] ἔνεικεν W. ib. ἈχαιϜῶν. 301. ϜῖϜα. 302. ἄρ' ἅμ'] ἄρα H. V. 304. Ϝέσπερον. 305. Ϝέσπερος.

(Harl.) Παρέλεκτο] Παρέστκα. Vulg. 290. Πρόεσαν κήρυκα ἕκαστος] Ἐνδέχεται καὶ καθ' ἕκαστον τῶν μνηστήρων κήρυκα εἶναι, ἢ καὶ τὸν αὐτὸν κήρυκα ἀπὸ πλειόνων πεμφθῆναι. Q. 291. Περικαλλέα πέπλον] Περιβόλαιον τὸ σκέπον τὸν ἀριστερὸν ὦμον ὄπισθεν καὶ ἔμπροσθεν, συνάγον τὰς δύο πτέρυγας εἰς τὴν δεξιὰν πλευρὰν, γυμνὴν ἐῶν τὴν δεξιὰν χεῖρα καὶ τὸν ὦμον. B. Q. 293. ΚΛΗΙΣΙ. Κατακλεῖσιν, εἰς ἃς καθίεσαν τὰς περόνας. Vulg. Γρ. εὐγνάμπτης. 294. Ὅρμον] Ἐτυμολογεῖ τὸν ὅρμον παρὰ τὸ εἴρω τὸ συνάπτω, ὅρμος, εἱρμός τις ὤν. ὅρμος δέ ἐστιν ὁ κατὰ τοῦ τραχήλου περικείμενος χρυσοῦς κόσμος. B. Q. et extrema Vulg. 296. Ἕρματα] Δῶρα. Vulg. Addit Barnesius e MS. τῶν ὤτων κόσμον, ὅ ἐστι τὰ ἐνώτια. Εἰς τὸ δύω ὑποστικτέον. B. Θεράποντες] Ἀντὶ τοῦ θεράπων, ὡς στήθεσι. προεῖπε γὰρ, κήρυκα ἕκαστος. οὐ μέντοι κωλύει ἕνα μὲν ἀπελθεῖν, πλείους δὲ εἶναι τοὺς κομίζοντας. B. Q. 297. Τρίγληνα] Τρίκορα κόσμια, ἐνώτια, τριόφθαλμα, τρίκοκκα. Μορόεντα] Τὰ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας κατεσκευασμένα. Vulg. B. Q. 299. Ἴσθμιον] Ἴσθμιον (scr. ἰσθμὸς) ὁ τράχηλος. ἴσθμιον οὖν περιτραχήλιον κόσμον περιπεπλεγμένον, οὐ μέντοι κοσμήματά τινα ἐκκρεμάμενα. B. Q. Καὶ ἄλλως. Περιτραχήλιον, ἔνθα καὶ παρίσθμια. διάφορον δὲ τῷ ὅρμῳ. τὸ μὲν γὰρ προσέρχεται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος κεχάλασται. ἰσθμὸς δὲ ὁ τράχηλος, ἀπὸ τοῦ

αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν,
ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ·
καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῇσιν
αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια·
τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε· τέρπετε δ' αὐτὴν
ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·
αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
ἤνπερ γάρ κ' ἐθέλωσιν ἐΰθρονον ἠῶ μίμνειν,
οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί.
Ὣς ἔφαθ'· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
τὸν δ' αἰσχρῶς ἐνένιπτε Μελανθὼ καλλιπάρῃος,
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
παῖδα δὲ ὡς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
ἀλλ' οὐδ' ὣς σχέθε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης·
ἀλλ' ἥγ' Εὐρυμάχῳ μισγέσκετο, καὶ φιλέεσκεν·
ἥ ῥ' Ὀδυσῆ' ἐνένιπτεν ὀνειδείοις ἐπέεσσι·
Ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,

307. περὶ] ἐπὶ H. ib. κάγκανα θῆκαν] κάγκαν' ἔθηκαν V. 311. διϜογενής. 312. Ϝάνακτος. 313. βασίλεια] βασιλείη V. 319. Ϝίδοντο. 320. ἐνένιπτε] ἐνένιπε m. pr. sed ει pro ι ex recens. Infra 325. ει scriptum est super ι. Sed π utrobique omittitur H. PORS. 322. ὡς] ὧς W. ib. Ϝώς. 323. σχέθε] ἔχε H. V. W. 325. ἐνένιπτεν] ἐνένιπεν V. ib. Ϝεπέεσσι.

εἰσιέναι δι' αὐτοῦ τὴν τροφήν. Q. Vulg. 306. Λαμπτῆρας] Μετεώρους ἐσχάρας, καὶ (Vulg. ἢ τοὺς) χυτρόποδας ἐφ' ὧν ἔκαιον. B. Q. Vulg. 307. Ἐπὶ δέ. Γρ. περὶ δέ. Harl. Κάγκανα] Τὰ ξηρὰ, τὰ πρὸς τὸ καίεσθαι ἐπιτήδεια. B. 308. Αὖα πάλαι περίκηλα] Περισσῶς εἰς τὸ καῆναι εὔθετα, κήλεον γὰρ τὸ καυστικὸν ἐν πυρὶ κηλέῳ. βούλεται οὖν εἰπεῖν τὰ πάνυ ξηρά. B. Q. 309. Καὶ δαΐδας κατέμισγον] Κατέμισγον τοῖς ξύλοις, ἵνα ἐκ τῶν δᾴδων ἀνάπτωνται μᾶλλον. ἢ χωρὶς τῶν ξύλων τὰς ἐσχάρας (B. δαΐδας). ἢ ἀνὰ μέρος ἄλλοτε ἄλλη ὑπηρετοῦσα. B. Q. (sed ultima spectant ad ἀμοιβηδίς). Μετέμισγον] Συνανεμίγνυον. Vulg. 322. Δίδου δ' ἄρ' ἀθύρματα θυμῷ] Ἡ Μελανθὼ χλιδὰς καὶ παιδιὰς ἐλάμβανεν, ἀλλ' οὐ συνεχώρει αὐτῇ ἡ Πηνελόπη ἀθύρματα, ἀλλὰ τὰ πρὸς ἡδονὴν αὐτῆς ἔπραττε, δηλονότι νηπία ὑπάρχουσα. ἀθύρματα

οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν,
ἠέ που ἐς λέσχην· ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ;
ὅστις σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι διαμελεϊστὶ τάμῃσιν.
Ὣς εἰπὼν, ἐπέεσσι διεπτοίησε γυναῖκας.
βὰν δ' ἴμεναι διὰ δῶμα· λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
εἱστήκει ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ

329. θαρσαλέως] θαρσαλέος H. 329—331. uncinis includit W. 330. αἰεὶ et ἂν super εἰ H. ib. ϝοῖνος. 331. μεταμώλια] μεταμώνια W. 333. ἄλλος omittit H. 336. ϝιδών. 337. ϝερέω. 338. αὖθι] αὖτις et θι supra τις H. αὖτις V. 339. ϝειπών, ϝεπέεσσι. 340. ϝεκάστης. 343. εἱστήκει] εἱστήκειν H. ἑστήκει W. ib. ϝοι.

γὰρ εἰσὶ τὰ τῶν νηπίων παίγνια. B. Q. 327. Χαλκήϊον ἐς δόμον ἐλθών] Εἰς ἐργαστήριον χαλκέως, ὅ φησιν Ἡσίοδος, Παρὰ δ' ἴθι χάλκειον θῶκον[m]. B. Q. Χαλκήϊον] Χαλκέως οἶκον. Vulg. 328. Ἐς λέσχην] Τόπον ἀθύρωτον, δημόσιον ἔνθα συνιόντες λόγοις καὶ διηγήμασιν ἀλλήλους ἔτερπον. ὠνόμασται δὲ παρὰ τὸ λέχος, ἐπεὶ ἐκεῖ ἐκοιμῶντο οἱ πτωχοὶ παρὰ τὸ πῦρ. B. Q. Δημόσιον οἴκημα, οἷον λέσχην, παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι. ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστιν ὁμιλεῖν. Q. Vulg. Δημόσια οἰκήματα. καὶ γὰρ ἔνιοι οὐκ ἔχουσιν οἶκον ἐκεῖσε μένουσι. Pal. 329. Θαρσαλέως[n] πολλοῖσιν] Ἀθετοῦνται τρεῖς ὡς ἐκ τῶν ἑξῆς μετατιθέμενοι (huc. P. ex Harl.) καὶ ὅτι ἐνθάδε μηδὲν ἐθρασύνθη. Q. 332. Ἦ ἀλύεις] Ἀλύεις νῦν ἀντὶ τοῦ χαίρεις, γαυριᾷς. ἔνιοι δὲ, ἐν ἄλῃ καὶ θορύβῳ τῆς διανοίας καθέστηκας, οἷον οὐκ ἔχεις αὐτὸν (scr. σαυτὸν) ὑπὸ πολλῆς χαρᾶς. Q. 333. Μή τις τοι] Δεῖσαι, φοβῇ (immo φοβοῦ). B. 334. Κεκοπὼς διὰ τοῦ φ κεκοφώς. PORS. ex Harl. 335. Φορύξας] Μολύνας, αἱμοφυρτόν σε ποιήσας. B. Q. 339. Διεπτοίησε] Διεσκόρπισε. B. 343. In marg. εἱστήκει et suprascript. ἑστήκειν. Harl.

[m] Ἐργ. 491. Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην. Cod. B. hic habet χάλκειον οὐδὸν confundens Θεογ. 749. BUTTM.
[n] Sic text. et lemma in cod. Harl. θαρσαλέος lemm. Mediol. BUTTM.

ὥρμαινε φρεσὶν ᾗσιν, ἃ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
κερτομέων Ὀδυσῆα· γέλων δ' ἑτάροισιν ἔτευχε·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
καὶ κεφαλῆς· ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί.
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,
ἀγροῦ ἐπ' ἐσχατιῆς, μισθὸς δέ τοι ἄρκιος ἔσται,
αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
ἔνθα δ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
εἵματά τ' ἀμφιέσαιμι, ποσὶν θ' ὑποδήματα δοίην.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις

344. γένοντο] γένοιντο ex emend., H. γένοιτο V. ib. Ϝῆσιν. 347. ΛαϜερτιάδεω. 349. ἑτάροισιν ἔτευχε] ἄρα τοῖσιν ἔτευξε H. V. 351. ὄς Ϝείπω. 354. Ϝοι. 355. προσέϜειπεν. 356. ἄρ] ῥὰ V. 357. τοι et κς super οι H. 359. ἔνθα δ'] ἐνθάκ' et δ' supra κ' H. 360. εἵματά τ'] εἵματα δ'. H. W. ib. ποσὶν θ'] ποσὶν δ' a m. pr. H. ib. Ϝείματά τ' ἀμφιϜέσαιμι. 361. Ϝέργα.

349. Γέλων] Γέλωτα, Ἀττικῶς. Vulg. Γέλων δ' ἄρα τοῖσιν ἔτευξε. Γρ. γέλων δ' ἑτάροισιν ἔτευχεν. Harl. 350. Κελεύει] Γρ. ἀνώγει. Harl. 352. Οὐκ ἀθεεί] Οὐ δίχα προνοίας θεοῦ. B. Οὐκ ἄνευ θεοῦ. Vulg. 353. Ἔμπης] Νῦν ἀντὶ τοῦ ὅμως*. Vulg. Ἔμπης μοι δοκέει] Ὁμοίως μοι δοκεῖ εἶναι τὸ σέλας τῶν δαΐδων καὶ τῆς κεφαλῆς αὐτοῦ. B. 354. Ἐπεὶ οὐ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί] Ἡ γὰρ Ἀθηνᾶ ξανθὰς ἐκ κεφαλῆς ὤλεσε τρίχας (ν'. 431.). Q. 356. Ξεῖν'] Τὸ ἑξῆς, ξεῖνε εἴ σ' ἀνελοίμην ἀγροῦ ἐπ' ἐσχατιῆς ἆρα ἐθελήσεις θητεύειν αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων, μισθὸς δέ τοι ἄρκιος ἔσται. B. Q. 357. Ἄρκιος] Ἱκανός. Vulg. 358. Αἱμασιάς τε] Τοὺς ἐκ χαλίκων φραγμοὺς χωρίων. χάλικες δὲ οἱ τεθραυσμένοι καὶ μικροὶ λίθοι· καὶ ἔστιν ἡ εὐθεῖα ὁ χάλιξ τοῦ χάλικος. Λέγων, δὲ ἀντὶ τοῦ οἰκοδομῶν ἐκ πολλῶν καὶ λογάδων λίθων. B. Q. Αἱμασιάς] Τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. Λέ-

* Ὁμοίως pro ὅμως scribo: nam MS. ὁμοίως habet, et Eustath. 674, 34. per ἴσως explicat. BARNES. Conf. schol. ζ'. 205. σ'. 143. BUTTM.

ἔργον ἐποίχεσθαι· ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵπερ ἄριστοι,
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνὸν,
τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ,
τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, καὶ δύο δοῦρε,
καὶ κυνέη πάγχαλκος ἐπὶ κροτάφοις ἀραρυῖα·
τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.

362. Ϝέργον. 363. ἔχῃς β. σὴν] ἔχῃ β. ἣν V. 365. Ϝέργοιο. 368. πειρησαίμεθα] πειρησόμεθα V. ib. Ϝέργου. 372. Ϝισοφόροι. 373. βῶλος a m. pr. χῶρος ex emend. H. 374. 378. τῷ κε Ϝίδοις. 379. ἀγορεύοις] ἀγορεύῃς H.

γων] Οἰκοδομῶν ἐκ συλλέκτων λίθων. Vulg. 366. Ὥρῃ ἐν εἰαρινῇ ὅτε τ' ἤματα μακρὰ πέλονται] Ζητοῦσι πῶς τὰς ἐαρινὰς ἡμέρας μακρὰς εἶπεν. ὅθεν ἠναγκάσθησάν τινες λέγειν ὅτι ἐαρινὴ τέθεικεν ἀντὶ τοῦ θερινῆ. ῥητέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ πέλει καὶ ἄλλο τὸ πέλονται· τὸ μὲν γὰρ σημαίνει τὸ εἶναι, τὸ δὲ τὸ γίνεσθαι. ἐν δὲ τῷ ἔαρι μακραὶ γίνονται αἱ ἡμέραι, εἰς γένεσιν ἀγόμεναι τῶν μακρῶν. Ἔστι δὲ ὅμοιον τῷ, ἥλιος ὃς διὰ γῆς πάντα βλαστάνει βροτοῖς φθίνει τε· οὕτω γὰρ καὶ τὸ, μακραὶ γίνονται, κατὰ τὴν Ἀττικὴν συνήθειαν ἀκουστέον[q]. Q. Πέλονται] Ἀντὶ τοῦ γίνονται πρὸς τὴν παρουσίαν τοῦ θέρους. B. 367. Ἐν ποίῃ] Τῷ δημητριακῷ χόρτῳ. ἐν σιτοφόρῳ χωρίῳ. Q. Ποίη] Ὁ δημητριακὸς χόρτος. Vulg. 369. Ποίη δὲ παρείη] Μὴ ἐπιλείποι ὁ θερισμός. B. Q. 370. Οἵπερ] Γρ. ὥσπερ. Harl. 371. Αἴθωνες] Πυῤῥοὶ ἢ μέλανες. B. Q. 373. Τετράγυον] Εἴη δὲ τὸ μέλλον ἀροῦσθαι χωρίον τέσσαρας ἔχον γύας. B. Q. Τέσσαρας ἔχον γύας. γύαι δὲ μέτρον γῆς. Vulg. 374. Τῷ κέ μ' ἴδοις] Διὰ τοῦτο ἄν με ἴδοις, διὰ τὸ εἶναι βόας. Διηνεκέα, ἀντὶ τοῦ διηνεκῶς, ὑπὸ μιᾶς ὁρμῆς. B. Διηνεκέα] Τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. Pal. Vulg. 379. Οὐδ' ἄν μοι] Οὐδ' ἄν φησι ἀργίας ὀνειδίζων μοι τὴν γαστέ-

[q] Sententiam postremæ hujus scholii partis intellexerit, opinor, qui verba poetæ allata loco suo inspicere possit. BUTTM.

ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
καί πού τις δοκέεις μέγας ἔμμεναι, ἠδὲ κραταιὸς,
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
φεύγοντι στείνοιντο δι' ἐκ προθύροιο θύραζε.
Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Ἆ δεῖλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν· οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
Ὣς ἄρα φωνήσας σφέλας εἵλετο· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι,

385. δι'] καὶ V. ib. προθύροιο] μεγάροιο V. 387. ϝιδὼν ϝέπεα. 389. θαρσαλέως] θαρσαλέος H. 390. ϝοῖνος. 391. μεταμώλια] μεταμώνια et λ supra ν H. μεταμώνια W. 392. uncinis includit W. 393. εἵλετο] ἔλλαβεν H. V. W. 395. δὲ ϝοινοχόον. 399. ϝείπεσκε ϝιδών.

ρα. B. 384. Τὰ θύρετρα φεύγων τις στείνοιτο*] Οὕτως ταρασσόμενος διὰ τῶν θυρῶν φύγῃς, ὡς δοκεῖν στενοχωρεῖσθαι Vulg. Οὕτως ταραχθήσεσθαι ὡς δοκεῖν τὰς θύρας στενὰς εἶναι. B. Q. 385. Στείνοιτο, interpr. στενὰ γένοιντο. Harl. Δι' ἐκ μεγάροιο, Ῥιανός. Harl. Καὶ ἐκ προθύροιο] Γράφεται, δι' ἐκ προθύροιο. Q. 393. Σφέλας εἵλετο] Τὸ ὑποσκελίσαι, ἢ τὸ βλῆμα τὸ σφῆλαι δυνάμενον. B. Vulg. 394. Καθέζετο] Τηλέμαχον γὰρ οὐχ ἱκανὸν ἐκδικοῦντα δοκεῖ εἶναι, καὶ προσκρούειν αὐτοῖς διασῴζειν πειρώμενος* τὸν ξένον. ὁ δὲ Ἀμφίνομος εἰ καὶ προσέκρουσε τοῖς λοιποῖς, ἐλυσιτέλει τῷ Ὀδυσσεῖ τῷ στασιάζειν πρὸς ἀλλήλους τοὺς μνηστῆρας. Q. 396. Πρόχοος] Ὁ ξέστης. Vulg.

* Sic ed. ant. pro quibus recentt. recte φεύγοντι, sed male στείνοιντο. BUTTM.
* Aut hic πειρώμενον, aut supra Τηλέμαχος—ἱκανός. BUTTM.

πρὶν ἐλθεῖν· τῷ κ' οὔτι τόσον κέλαδον μεθέηκε.
νῦν δὲ περὶ πτωχῷ ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε,
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπε.
τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
κῆρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·

401. μεθέηκε] μετέθηκεν W. 402. πτωχῷ] πτωχῶν H. W. πτωχὸν V. 403. ϝῆδος. 404. μετέϝειφ'. ϝίς. 407. ϝοίκαδ'. 408. ὁππότε] εἴποτε H. 410. θαρσαλέως] θαρσαλέως H. 411. μετέϝειπε. 412. omittit H. Uncinis includit W. ib. ϝάνακτος. 413. τις] τοι et ις super οι H. 414. χαλεπαίνοι] προσέειπε V. ib. ϝεπέεσσι. 417. ἄγε, ϝοινοχόος. 418. ϝοίκαδ'. 421. ἔϝειπε.

401. Μεθέηκεν] Ἐποίησεν. Vulg. Πᾶσαι, μετέθηκεν, ἀντὶ τοῦ ἐν ἡμῖν ἔθηκεν. Harl. 405. Κεύθετε θυμῷ] Ἀντὶ τοῦ, ὑπὸ θυμοῦ, ὡς Ἀχιλλῆϊ δαμασθεὶς (Il. χ. 55.), ὅ ἐστιν ὑπὸ ἀλόγου κινήσεως. οὐ κρατεῖτε τῆς τροφῆς. ἀλλ' αὕτη μᾶλλον ὑμῶν ἐπικρατεῖ καὶ παρασκευάζει ὑμᾶς ἐξάγεσθαι εἰς ἀταξίας. B. Q. 408. Διώκω δ' οὔτιν' ἔγωγε] Ἵνα παραμείνωσι καὶ ἀναιρεθῶσιν. Vulg. 417. Ἐπαρξάσθω] Ἀπὸ τοῦ πρώτου ἄρξασθαι. Vulg. 419. Ῥιανὸς δὲ, ἐνὶ μεγάροισιν ἕκηλον. Harl. 421. ΑΔΟΝΤΑ. ἀρέσκοντα (sic ed. ant.) Vulg. 422. Μού-

νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
σπείσαντες μακάρεσσι πίον μελιηδέα οἶνον.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
βάν ῥ' ἴμεναι κείοντες ἑὰ πρὸς δώμαθ' ἕκαστος.

425. μελιϜηδέα Ϝοῖνον. 427. βάν ῥ'] βὰν δ' H. ib. ἑϜὰ πρὸς δῶμα Ϝέκαστος.

λιος ἥρως] Ὅτι πάντας ἥρωας ἔλεγον. B. 424. Ἐπισταδὸν] Ἐπιστάμενος. Vulg. Vid. ad γ'. 54. π'. 453.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Τ.

Ταῦ δ', ἀναγνωρίζει ἐξ οὐλῆς γρηῢς Ὀδυσῆα.

ΑΥΤΑΡ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχε, χρὴ τεύχε' ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα,
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·

1. δῖϝος. 3. ϝέπεα. 4. Scholiastes eadem habet quæ editus H. PORS. 5. ϝεπέεσσι. 7. ϝεϝοίκει. 11. ϝοινωθέντες. 12. τε a m. pr. sed τ erasum H.

Ὑπόθεσις. Σὺν Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεύς, καὶ πρὸς Πηνελόπην φησὶ ψευδῶς ἐκ Κρήτης εἶναι (Pal. Vulg. ἐκ Κ. εἶναι ὑποκρίνεται). Γίνεται δὲ αὐτοῦ δι' οὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν νίπτουσαν αὐτοῦ τοὺς πόδας. καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται ὡς ἐν Παρνασῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν. Q. Pal. Vulg. 2. Σὺν Ἀθήνῃ] Ἤτοι παρούσῃ συμπονουμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου ὃν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ (θ'. 493.). Q. 4—12. in Vind. 133. asteriscis notantur, et in margine ad v. 4. scriptum: Ἀναγκαίως οἱ ἀστερίσκοι ἐνταῦθα ὅτε ἑώρακε τὰ ὅπλα. Χρὴ τεύχεα] Οἱ ἀστερίσκοι, ὅτι ἐνθάδε καλῶς, ὅτε ἑώρακε τὰ ὅπλα.

Μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει,
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα·
νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο,
οἴκου κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
δμωὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
κλήϊσσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
ἐσφόρεον κόρυθάς τε, καὶ ἀσπίδας ὀμφαλοέσσας,
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.

18. ϝοῖκον. 21. προσέϝειπε. 23. ϝοίκου. 27. ἀϝεργόν.

Harl. Vulg. Conf. schol. ad π'. 281. et Eustath. ad utrumque locum. 20. Ἴξετ' ἀϋτμή] Γρ. ἵκετ' ἀϋτμή. Harl. 22. Ἐπιφροσύνας ἀνέλοιο] Ἀντὶ τοῦ φρόνιμος γενήσῃ. Q. Φρόνιμος γένῃ. Vulg. 27. Ξεῖνος ὅδ'] Ὁ ξεῖνος ὅδε φῶς μοι ποιήσει. B. Ἀεργὸν ἀνέξομαι] Ἀττικὴ ἡ σύνταξις, ὥστε ἀνέχομαί σε, αἰτιατικὴ ἀντὶ γενικῆς. B. Q. 28. Χοίνικος ἅπτηται] Τροφὰς λαμβάνει. τό,τε μετροῦν καὶ τὸ μετρούμενον. Vulg. Ἀντὶ τοῦ δαπάνης, τροφῆς. ἅπαξ ἐνταῦθα ἡ φωνή. καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν· κἀκεῖ γάρ εἰσι τοιάδε εὐτελέστερα ὀνόματα*· Ὄλμον δ' ὣς ἔσσευε βαλὼν (Il. λ'. 147.)· Ἀμφ' ἀστραγάλοισι χολωθείς (Il. ψ'. 88.)· πτύοντ' (immo πτύοντα, plene, Il. ψ'. 697. An voluit πτυόφιν? Il. ν'. 588.) Q. 31. Ἀναΐξαντες] Ἀνορμήσαντες (sic ed. ant.) Vulg. 33. Πάροιθε δὲ Παλλὰς Ἀθήνη] Δῆλον οὖν ὅτι καὶ ἐν ἀρχῇ παρῆν. Q. 34. Λύχνον] Ἀπὸ τοῦ λύειν τὸ νύ-

* Mira mihi quidem videtur hic in χοίνικι haec observatio. Nam quidni in re tenui tenue quoque vocabulum usurparit poëta? Sed observa eandem rem tangi mox etiam in scholio ad 34. altero, ubi lychnus—nimirum in Minervæ manu—excusatur mentione simili alibi facta mensæ, fabarum, cicerum. Ad illum itaque locum, ne dubita, haec etiam hujus scholii major pars referenda est. Ac satis credibile hanc imaginem, deæ minime decoram, in documentis magnæ inter utrumque poema diversitatis a criticis nonnullis positam fuisse; quod in phrasi χοίνικος ἅπτεσθαι nemini in mentem venire potuit. BUTTM.

δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,
φαίνοντ' ὀφθαλμοῖς, ὡσεὶ πυρὸς αἰθομένοιο.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω·
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροιο βεβήκει
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο, καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,

35. Fόν. 38. ὑψόσ'] ὕψος H. V. 40. οἳ] τοὶ H. 44. αὐτοῦ] αὐτῆς V. 46. ἀμφὶ Fέκαστα. 50. δῖFαν. 51. δῖFος.

γρ. λέγει δὲ (haec prima om. Vulg.) τὴν ἔξωθεν κυρίως. τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει καὶ οὔτε (sic) Ἡσίοδος μέμνηται. Q. Vulg. Ὀρθῶς δὲ ὑπείληφε τὴν Ἀθηνᾶν φρόνησιν οὖσαν καθαρὸν αὐτῷ παρέχειν τὸ φῶς. καὶ οἰκείως διὰ τὸν ἄσβεστον Ἀθήνησι λύχνον. Vulg. Λείπει τὸ ὡς· ὡς χρύσεον λύχνον ἔχουσα· ὅ ἐστι λαμπρὸν φῶς ἐποίει ὡς ἀπὸ ἐκλάμψεως χρυσοῦ. Δουλοπρεπὲς καὶ λίαν εὐτελὲς τὸ τῆς διανοίας. πολλῷ γὰρ ἦν ἄμεινον ἐπιδημησάσης τῆς δαίμονος αὐτόματον ἐπιλάμψαι πολυτελὲς φῶς. οὕτως ἂν ὁ λόγος ἐχέτω· ἡ δ' Ἀθηνᾶ φάος ἐποίει, ὡς χρύσεον λύχνον ἔχουσα. καὶ γὰρ οὐκ ἐχρῆν δαψιλὲς ἐπιλάμψαι τὸ φῶς πρὸς τὸ μὴ γνωσθῆναι κατὰ τὴν αὐλὴν τὴν μετακομιδὴν τῶν ὅπλων. εἴωθε δὲ ὁ ποιητὴς μὴ ἀποδοκιμάζειν τῶν ὀνομάτων τὰ εὐτελῆ, ὡς τὸ μυῖαν, κυάμους τὲ καὶ ἐρεβίνθους. B. Q. Vid. not. ad 28. Ἔν τισι γρ. φάος. Harl. 37. Μεσόδμαι] Ὁ Ἀρίσταρχος μεσόστηλαι (B. τὰ μεσόστυλα). εἶναι δὲ τὰ μεταξὺ τῶν δοκῶν διαστήματα. B. Q. Τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. Vulg. 43. Αὕτη τοι δίκη ἐστὶ θεῶν] Οὗτος ὁ τρόπος, τὸ ὡς βούλονται φαίνεσθαι. Vulg. Οὗτος ὁ τρόπος τῶν θεῶν, τὸ καταφωτίζειν τοὺς τόπους ἐν οἷς τυγχάνουσιν. Q. 46. Ἀμφὶς ἕκαστα] Ἀντὶ τοῦ χωρὶς. ὃ

Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσῇ Ἀφροδίτῃ·
τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἥν ποτε τέκτων
ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο·
αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἥρεον, ἠδὲ τραπέζας,
καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον.
πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
νῆσαν ξύλα πολλά, φόως ἔμεν, ἠδὲ θέρεσθαι.
ἡ δ' Ὀδυσῆ' ἐνένιπτε Μελανθὼ δεύτερον αὖτις·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
δινεύων κατὰ οἶκον; ὀπιπτεύσεις δὲ γυναῖκας;
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
ἦ ὅτι οὐ λιπόω; κακὰ δὲ χροῒ εἵματα εἷμαι;
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
καὶ γάρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον

54. ἠδὲ] ἠὲ H. V. W. ib. χρυσῇ] χρυσέῃ, ut semper, W. ib. ϝικέλῃ. 58. ὅθ' ἐπὶ μέγα βάλλετο] ἔνθ' ἐπεβάλλετο V. pro v. l. 60. λευκώλενοι] λευκώλεναι. V. 65. ἡ δ'] ἡδ' V. ib. ἐνένιπτε] ἐνένιπε H. V. 67. ὀπιπτεύσεις] ὀπιπεύσεις H. ὀπιπεύεις Apollonius in v. PORS. ib. ϝοῖκον. 70. ϝιδών. 72. ἦ] ἢ V. ib. οὐ λιπόω] Nunc οὐ λιπόω, sed quatuor literæ post rasuram H. Videtur ergo fuisse τοι ῥυπόω. PORS. δὴ ῥυπόω V. W. ib. ϝείματα ϝεῖμαι. 75. ϝοῖκον.

ἐστι κατὰ τάξιν. B. Q. 55. Τῇ πάρα (sic) μὲν κλισίην] Ταύτην τὸν κλισμὸν ἐν τῷ καταφωτιζομένῳ τόπῳ ἔθηκαν ἢ πλησίον τοῦ πυρός. B. Q. 61. Αἱ δ' ἀπὸ μὲν σῖτον] Ἐμφαίνει τὴν ἀσωτίαν αὐτῶν τὸ πολύ. οὕτως καὶ ἐν ἀρχῇ, Σῖτον δὲ δμωαὶ (sic) παρενήνεον (α΄. 147.). Q. Barnesius ad v. 480. memorat, in MS. suo Aloysiano hic ad 61. legi scholium, Λάβε] ἀπέλαυσον. quod ille, interpretamento in ἐκράτησεν mutato, ad locum indicatum amandavit. Ego, si quid violentius statuendum sit, natum potius dixerim e scholio tali, Λάε] ἀπέλαυσεν, ad 230.; ubi vide. 67. Δινεύων] Δινούμενος, ἀναστρεφόμενος, ἵνα πέψῃς ἀπὸ μεθύεις. B. 72. Λιπόω]

ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι.
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, ἤθελε γάρ που.
τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
ἀγλαΐην, τῇ νῦν γε μετὰ δμῳῇσι κέκασσαι,
μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ,
ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε, καὶ οὐκέτι νόστιμός ἐστιν,
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι
Τηλέμαχος· τὸν δ' οὔτις ἐνὶ μεγάροισι γυναικῶν
λήθει ἀτασθάλλουσ'· ἐπεὶ οὐκέτι τηλίκος ἐστίν.
Ὣς φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια·
ἀμφίπολον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Πάντως, θαρσαλέη, κύον ἀδδεὲς, οὔτι με λήθεις
ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
πάντα γὰρ εὖ ᾔδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι.
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·

77. ἔοι, καὶ] ἔοι κεν H. V. 78. μάλα] καὶ μάλα H. 81. πᾶσαν] πάμπαν ex emend. H. 82. τῇ] τὴν ex emend. H. 83. μή πώς] μήπως H. 84. ἔλθῃ] ἔλθοι H. ib. ϝελπίδος. 86. ϝέκητι. 90. ἐνένιπτεν] ἐνένισπεν H. V. ib. ϝέπος. 92. ϝέρδουσα. ϝέργον. 93. ἐμεῦ] ἐμοῦ V. ib. ϝεῖδησθ'. 94. ἐνὶ μεγάροισιν et suprascr. inter voces μ, ut liquidam in cæsura duplicandam moneat H. PORS. 96. ἔϝειπεν.

Ἤτοι τῇ τιμαλφῇ λελάμπασμαι. Q. Vulg. 83. Μήπως] Ἢν πως, ἡ γραφή. τὰ δὲ εἰκαιότερα μήπως. Harl. 86. Ἀπόλλωνός γε ἕκητι] Ἐπειδὴ τῶν ἀῤῥένων κουροτρόφος ὁ θεός. τοὺς γὰρ κτεῖναι δυναμένους καὶ σώζειν εἰκός. διὸ κουροθάλεια καλεῖται ἡ δάφνη[b], διὰ τὸ κουροτρόφον τοῦ Ἀπόλλωνος. Q. 88. Τηλίκος ἐστίν] Τοιοῦτος τῆς ἡλικίας ὡς ἀγνοεῖν τὰ γινόμενα. B. 92. Σῇ κεφαλῇ ἀναμάξεις] Πάντως ἑαυτῇ προστρίψῃ ἢ ἀναλήψει[c]. Vulg. Σεαυτὸν (sic) προστρίψεις. πάντα γὰρ ἀκριβῶς ᾔδεις. B. 94. Ὡς τὸν ξεῖνον] Ὥστε οὐ διὰ φιλοξενίαν μόνον τῷ πτωχῷ συνεπέθει, ἀλλὰ καὶ προσθεραπεύουσα αὐτὸν ὑπὲρ τοῦ πυθέσθαι. Q. 95. Πυκινῶς] Ἀντὶ τοῦ, πάνυ. Vulg. Inter glossas Πυκινῶς et

[b] Vid. Steph. Thes. in v. κουροθάλεια. BUTTM.
[c] Sic ed. ant. Recentt. προστρίψεις ἢ ἀναλήψει. BUTTM.

Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
δίφρον ἐΰξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή,
τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ὅστε θεουδὴς,
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα
πυροὺς, καὶ κριθὰς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς,
ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ,
μὴ δ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων

98. Ϝείπῃ Ϝέπος. 102. ΔῖϜος. 110. Ϝανάσσων. 113. τίκτει] τίκτῃ, ex emend. H. 114. λαϜοί. 115. 119. Ϝοίκῳ.

Νείκεοι, in Vulg. ed. ant. interjectum est ΑΕΙΚΕΛΙΟΝ. εὐτελῆ. 97. Δίφρον] Οὐ θρόνον ἀλλὰ εὐτελὲς ὑποπόδιον. B. 108. Νεικέοι] Διαβάλοι ἐπὶ κακοξενίᾳ. B. Κακολογοίη. Vulg. 109. Ὥστε τευ ἢ βασιλῆος] Τὸ ἢ ἀντὶ τοῦ καὶ, ὡς εἶναι, ὥσπερ καὶ τινὸς βασιλέως ἀμύμονος. Q. 111. Ἐκδικίας[d] ἀνέχῃσι] Δικαίας κρίσεις. τὸ δὲ ἀνέχῃσι, αὔξει, ἀναφαίνει. B. 113. Πάντα, οὐ μῆλα. Ῥιανὸς, ἄσπετα. Harl. 114. Εὐηγεσίης (sic Vulg.: sed Mediol. εὐηργεσίης)] Τῆς εὐδαιμονίας, ἢ τῆς εὐαρχίας· παρὰ τὸ εὖ ἡγεῖσθαι. κακῶς δ' οἱ σὺν τῷ ρ γράφοντες, εὐηργεσίης[e]. Vulg. Q. Ex Harl. ultima tantum sic, κακῶς δὲ οἱ—, attulit Porsonus. Ἀρετῶσι δὲ λαοί] Ἐν ἀρετῇ ὦσι, καλῶς προέχοντος τοῦ ἡγεμόνος. B. Q. ἢ, ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγουσιν (Mediol. -ουσι). B. Q. Vulg. 116. Μηδ' ἐμὸν ἐξερέεινε γένος] Διὸ ἐπεὶ οὐδὲν κακὸν ἐποίησας, μηδ' ἐμὲ λύπει τὰ παρὰ προαίρεσίν με αἰτοῦσα λέγειν. B. Q. Ἀρισ-

[d] Nescio an variam lectionem esse dicam, cum sensu plane cassum non sit, an merum sphalma pro εὐδικίας. BUTTM.

[e] Sic omnes tres: non εὐεργ. ut est in Vulg. edd. recentt. ex aliquot textus editionibus: vid. Alter. BUTTM.

μυησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
ἧσθαι· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
μή τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή·
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
ξεῖν', ἤτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω·
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων·
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
τῷ οὔτε ξείνων ἐμπάζομαι, οὔθ' ἱκετάων,
οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
ἀλλ' Ὀδυσῆα ποθεῦσα φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων

119. γοόωντά τε] γόωντά με H. 122. φρένα Ϝοίνῳ. 124. Ϝεῖδος. 125. Ϝίλιον. 126. ἦεν] ἦεν H. ib. ἈργεῖϜοι. 130—133. uncinis includit W. 133. ἀϜεκαζομένην. Ϝοῖκον. 135. δημιοϜεργοί.

ταρχος, μὴ δέ μοι. Harl. 122. Δακρυπλώειν] Σύνθετον τὸ δακρυπλώειν, οἷον δάκρυσι πληθύνειν. τὸ δὲ πλώειν, πολλάκις τὸ πλήθειν σημαίνει. B. Q. Δακρύων πληθύνειν. Vulg. 124. Ἤτοι μὲν ἐμὴν ἀρετήν] Καὶ τὴν ψυχικὴν ἀρετὴν καὶ τὴν σωματικὴν ἀπώλεσαν ἐξ οὗ ἀπῆλθεν Ὀδυσσεύς. Q. 127. Τὸν ἐμὸν βίον ἀμφιπολεύοι] Τοῦ ἐμοῦ βίου προνοοῖτο. B. Q. Vulg. 130. Ἠθέτηνται λʹ. ἐν δὲ ταῖς πλείσταις οὐδὲ ἔφερον (ἐφέροντο em. PORS.) Harl.[f] 135. Οἳ δημιοεργοὶ ἔασιν] Οἱ δημοσίαν μοι χρείαν ἀγγέλλουσι. B. Q. 136. Ὀδυσῆα ποθεῦσα text. Ἀρίσταρχος, Ὀδυσῆα ποθέουσα[g]. Harl. Πόσιν text. Γρ.

[f] Sed miram stragem edere voluere quicunque tot versus ejecere. [redacted] coit sententia triginta tantum versibus expulsis sed duo [redacted] 160. 161. abigantur necesse est et legamus λβʹ. Præterea 136. et 139. agnoscit Aristarchus. Quare puto λ mutandum in δ et [redacted] tantum habendos 130—133. PORS.

[g] Legendum Ὀδυσῆ. Schol. Cod. Townl. ad Il. Υ. 384. Τοῦ. ὡς, Ἀλλ' Ὀδυσῆ ποθέουσα καὶ (Il. Ψ. 339.), Μνηστῆ δ' ἔλε Πουλυδάμας. (Scriptum in Cod. Ὀδυσσῆ et Πουλυδάμας). PORS.

στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπεν·
κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄληται,
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα κεν ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
καὶ τότε δή με, διὰ δμῳὰς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες, καὶ ὁμοκλήσαντ' ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης·
νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
γήμασθ'· ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.

139. ὑφαίνεν] ὕφαινεν H. 140. μετέϜειπεν. 141. δῖϜος. 143. μεταμώλια] μεταμώνια H. W. 144. ΛαϜέρτῃ. 146. ἈχαιϜιάδων. 147. κεῖται] κῆται W. 148. τοῖσιν δ' ἐπεπείθετο] τοῖσι δ' ἐπεπείθετο H. 149. κεν] καὶ H. V. 151. τρίϜετες. ἈχαιϜούς. 152. Ϝέτος. 153. uncinis includit W. 155. ὁμοκλήσαντ'] ὁμόκλησαν H. V. W. : V. etiam pro v. l. [immo pro interpretatione] ὁμοῦ πάντες ἐπέπληξαν. ib. ὁμόκλησαν Ϝεπέεσσιν. 158. ἐφευρίσκω] ἔνθ' εὑρίσκω H. Voluit ἔθ' εὑρ. PORS. ἔθ' εὑρίσκω V. W. 161. κῦδος ὀπάζει] ὄλβον ὀπάζῃ H. ὄλβον ὀπάζει V. ib. Ϝοίκου.

φίλων. Vind. 5. 139. Ὕφαινεν. Ἀρίσταρχος, ὑφαίνειν. Harl. 150. Ἀλλύεσκον, διὰ τοῦ υ. PORS. ex Harl. 155. Ὁμόκλησαν[h]] Ὁμοῦ πάντες ἐπέπληξαν. Vulg. 161. Ὄλβον. Γρ. κῦδος. Harl. Ὀπάζει] Παρέσχει sic Vulg. ed. ant. ut dubium sit, fueritne olim παρέχει an παρέσχοι. 163. Οὐ γὰρ ἀπὸ δρυός] Ἐξ ὧν

[h] Sic, non ὁμοκλήσαντ', ut recentt. BUTTM.

ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκ ἔτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
πλείοσιν, ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων·
ἀλλὰ καὶ ὧς ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
καλὴ καὶ πίειρα, περίῤῥυτος· ἐν δ' ἄνθρωποι
πολλοὶ, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.

162. Fειπέ. 163. παλαιφάτου] παλαιφάγου pro v. l. agnoscit scholion vulgato simile H. Tres lectiones memorat Hesychius, παλαιφάγου, παλαιφάτου, παλαιφύτου. PORS. 165. ΛαFερτιάδεω. 166. γόνον] γόον pro v. l. V. 167. 171. Fερέω. 168. ἢ] ἧ V. 169. Fῆς. 170. Fάστε'. 172. Κρήτη τις γαῖ'] Nullum vestigium variæ lectionis apparet in loco; sed diserte laudat κρήτης scholiastes supra ad γ'. 287. simul citans λήμνου γαῖαν e θ'. 301. H. PORS. Κρήτη γαῖά τις V. ib. Fοίνοπι. 174. ἐννήκοντα] ἐνενήκοντα H.

ἐφάντιζον, τουτέστιν ἐνόμιζον οἱ παλαιοὶ σφᾶς αὐτοὺς γεγονέναι. B. Παλαιφάτου] Παλαιᾶ φαντιζομένης (Vulg. ins. περὶ ἧς παλαιὰ μυθεύεται). οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τοὺς πρὸ αὐτῶν (Vulg. ἑαυτῶν) ἐκ δρυῶν καὶ πετρῶν γεγονῆσθαι, διὰ τὸ τὰς τικτούσας εἰς τὰ στελέχη καὶ σπήλαια ἐκτιθέναι (ἐντιθ. Vulg.) τὰ παιδία. ἔστι δὲ ὁ λόγος, οὐ γὰρ δὴ ἐκείνων εἶ σύ (Q. ἐσσι). εἰς[1] πιθανὸν δὲ τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον πετρῶν καὶ δένδρων (Vulg. πλησίον δρυῶν καὶ πετρῶν). Τινὲς δὲ, παλαιφάγου, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν· παρὰ καὶ φηγὸς ὡς φαγός τις οὖσα. Q. Vulg. Harl. 172. Κρήτη τις γαῖ' ἐστὶ περίῤῥυτος] Ὑδρηλή. Vulg. Ἀντὶ τοῦ περιῤῥεομένη θαλάσσῃ. οὐ γάρ ἐστι μέσον ὡς κέντρον τοιοῦτον ἐπὶ τῆς Ὠγυγίας. Ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης (α'. 50.). B. Q. 174. Πολλοὶ ἀπειρέσιοι] Ἐπήνεγκε τῷ πολλοὶ τὸ ἀπειρέσιοι αὐξήσεως ἕνεκεν. Vulg. Ἐννήκοντα πόληες] Ἐν Ἰλιάδι (β'. 649.) ἑκατόμπολιν τὴν Κρήτην λέγει, οὐχ ὡρισμένως ἑκατὸν πόλεις ἔχουσαν, ἀλλὰ ἀντὶ τοῦ πολλάς. ἔνιοι δέ φασιν Ἰδομενέα κατὰ τὸν ἐξ Ἰλίου ἀνάπλουν ἀπελαυνόμενον τῆς Κρήτης ὑπὸ Λευκο* ὄντα παῖδα (Barn. ex Eust. reposuit ὑπὸ Λεύκου, ὃν θετὸν παῖδα) καταλελοίπει φύλακα τῆς βασιλείας, δέκα πόλεις πορθῆσαι. μετὰ δὲ τὰ ἡρωϊκὰ (Τρωϊκὰ Barn. ex Eust.) αἱ δέκα πόλεις προσεκτίσθησαν. Vulg. (Cf. ad 183.) Πᾶς

[1] Recte delet Barnesius vocem εἰς ut ex praecedentibus male natam. BUTTM.

ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ,
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέές τε τριχάϊκες, δῖοί τε Πελασγοί.
τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις· ἔνθα τε Μίνως
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστὴς,

175. Ἀχαιϝοί. 177. δῖϝοι. 178. τοῖσι] τῇσι H. ib. Κνωσσὸς] Κνωσὸς W.

οὖν ἐν τῷ Καταλόγῳ φησὶν, Ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο; ἤτοι οὖν ἐκεῖ τὸ ἑκατὸν ἀντὶ τοῦ πολλῶν κεῖται, ὡς, Τοῖς ἑκατὸν θυσάνοιο (scr. τῆς ε. θύσανοι ex Il. β'. 448.)· ἢ ἐπεὶ μετὰ τὸν ἀπόπλουν οἱ μετὰ Ἰδομενέως ἐπόρθησαν Λύκτον καὶ τὰς πέριξ ἃς ἔσχον. Q.[k] 175. Ἄλλη δ' ἄλλων γλῶσσα] Προῳκονόμησεν, ἵνα μήτις αὐτὸν ἐλέγξῃ διὰ τὸ μὴ χρήσασθαι τῇ διαλέκτῳ αὐτῶν. Vulg. Ἐν μὲν Ἀχαιοὶ] Μετὰ τὰ Ἰλιακὰ Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγεν ἀποικίαν. Vulg. 176. Ἐτεόκρητες] Οἱ αὐτόχθονες Κρῆτες, ἢ οἱ ἰθαγενεῖς. Vulg. Κύδωνες] Οἱ αὐτόχθονες Κύδωνες, ἀπὸ Κύδωνος τοῦ Ἀπόλλωνος. B. 177. Τριχάϊκες] Τριχῇ διαιρεθέντες. οἱ μὲν γὰρ Εὔβοιαν κατῴκησαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. Ἀπολλώνιος δὲ τοὺς πολεμικοὺς λέγει, ἀπὸ τοῦ ἀΐσσοντας καὶ ἐπισείοντας τὰς κόμας ἐν τῇ περικεφαλαίᾳ πολεμεῖν, ἴσον τῷ, κορυθάϊκι (Il. χ'. 132.). εἰσὶ δὲ οἱ τοὺς τριφόφους (τριλόφους em. Barn.), οἱ δὲ τοὺς ὀρχηστὰς ἀποδιδόασιν. Vulg. et brevius B. Δῖοι] Οἱ εὐγενέστατοι. Vulg. 178. Τῇσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἐνθάδε Μίνως ἐννέωρος βασίλευεν Διὸς μεγάλου ὀαριστύς[l]] Μυθολογεῖται τὸν Εὐρώπης καὶ Διὸς Μίνωα ἐν Κρήτῃ οἰκοῦντα διὰ ἐννετίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευθησόμενον, καὶ ὡς παρὰ σοφιστοῦ μανθάνειν τὰ δέοντα, οὐ μὴν ἀλλὰ καὶ τοῦ χρόνου τὰς ἀποδείξεις διδόναι ὧν μεμαθήκοι ἐν τῇ προτέρᾳ ἐννεαετηρίδι παρὰ τοῦ Διός. ὅθεν καὶ τῶν πάντων αὐτὸν βασιλέα καταστῆσαι, τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν ὥστε ἐν ᾅδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. ἡ δὲ ἱστορία παρὰ Πλάτωνι[m]. Vulg. 179. Ὀαριστής] Ὀαριστὴς, ὁμιλητής· οὐκ ἄρα μόνον ὀαρίζειν τὸ ἐρωτικῶς ὁμιλεῖν. Τὸ δὲ ἑξῆς, ἔνθα τε Μίνως βασίλευεν ἐννέωρος Διὸς μεγάλου ὀαριστύς. φασὶ γὰρ ὅτι ἐπὶ θ' ἔτη κεχωρισμένος ἀνθρώπων διέτριβεν ἐν τῇ Ἴδῃ καὶ συνετίθει νόμους, καὶ διεβεβαιοῦτο παρὰ τοῦ πατρὸς εἰληφέναι Διὸς πρὸς τὸ μὴ τοὺς ὑπηκόους ἀντιτακτεῖν. οἱ δέ φασι θ' ἔτη παιδευθέντα αὐτὸν ὑπὸ τοῦ Διὸς οὕτω βασιλεῦσαι θ' ἔτη. B. Ὀαριστύς (sic ed. ant.)] Ὁμιλητής. Vulg. Ἐννέωρος] Οἱ μὲν, ὅτι διὰ ἐννέα ἐτῶν τῷ πατρὶ συνιὼν Διῒ, παρ' αὐτοῦ ἐμάνθανεν ἅτινα εἴη δίκαια· οἱ δὲ, ὅτι ἐνναετὴς ὢν βασιλεύειν ἤρξατο· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη ἐβασίλευσεν ὁμιλητὴς γενόμενος τοῦ Διός· οἱ δὲ ὅτι ἐπ' ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἐπαιδεύθη. φασὶ δὲ ἕτεροι, ὡς ταῖς τῶν βασιλέων γνώμαις οὐ ῥᾳδίως πείθονται οἱ ὑποτεταγμένοι. ἀνιόντα οὖν αὐτὸν εἰς τὴν Ἴδην διὰ ἐννεατίας συντιθέναι νόμους, καὶ φέροντα διαβεβαιοῦσθαι ὡς ὑπὸ τοῦ

[k] Extrema hujus scholii corrupta et mutila esse videntur. Sed conferenda cum his omnibus præter scholium versui 183. appositum, scholia etiam ad Il. β'. 649. (Bœot. 156.), et Eust. ad utrumque locum. BUTTM.

[l] Scripsi lemma ut est in ed. ant. Correxerunt e textu recc. BUTTM.

[m] In Minoë p. 319. e. ad quem locum Boeckhius (in Plat. Minoem p. 60.) nostro scholio ad vindicandam ibi veram lectionem recte usus est; nisi quod μεμαθήκει apud scholiasten quoque in μεμαθήκοι mutandi causa est nulla. Edd. ante Barnesium habent μεμαθήκεισι lapsu manifesto. BUTTM.

πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος.
Δευκαλίων δέ μ' ἔτικτε, καὶ Ἰδομενῆα ἄνακτα·
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῇ· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα·
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲς ἀνέμοιο,
ἱέμενον Τροίηνδε, παραπλάγξασα Μαλειῶν·
στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
ἐν λιμέσιν χαλεποῖσι· μόλις δ' ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ' Ἰδομενῆα μετάλλα, ἄστυδ' ἀνελθών·
ξεῖνον γάρ μιν ἔφασκε φίλον τ' ἔμεν, αἰδοῖόν τε.
τῷ δ' ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καί οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
δημόθεν ἄλφιτα δῶκα, καὶ αἴθοπα οἶνον ἀγείρας,
καὶ βοῦς ἱρεύσασθαι· ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἴλει γὰρ Βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ
εἴα ἵστασθαι· χαλεπὸς δέ τις ὦρορε δαίμων·

181. Fάνακτα. 182. Fίλιον. 183. ἈτρεFίδῃσιν. 184. ὁπλότερος] ὁπλοτέρῳ V. 185. Fιδόμην. 186. Fίς. 187. Fιέμενον. 189. μόλις] μόγις W. 190. Fάστυδ'. 191. μιν] οἱ H. V. W. 192. πέλεν] ἦν V. 193. Fίλιον. 195. Fοῖκον. 196. οἱ] οἷ W. ib. Fοι. 197. ἀγείρας] ἀείρας H. ib. Fοῖνον. 198. ἱρεύσασθαι] ἱερεύσασθαι V. 199. δῖFοι ἈχαιFοί.

διὰς εἶεν δεδομένοι. Vulg. 183. Ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων] Οὗτος θετὸς ὢν Ἰδομενέως παῖς ἀφεθεὶς ὑπ' αὐτοῦ φύλαξ τῆς Κρήτης, ἐστασίασε πρὸς αὐτοὺς ἐπανελθόντας· μετὰ δὲ ταῦτα προσεκτίσθησαν καὶ αἱ δέκα [a]. Q. Ὀνομάκλυτος, ὃς ἐκλύομεν, καὶ ἐκαλοῦμεν ὀνόματι. B. Κλυτός] Ὁ ἐκλυόμην καὶ ἐκαλούμην ὀνόματι. Vulg. Αἴθων] Ὄνομα κύριον. Vulg. 188. Στῆσε δ' ἐν Ἀμνισῷ] Προσώρμισε. Κνωσσοῦ δὲ ἐπίνειον Ἀμνισός. ἔστι δὲ καὶ ποταμὸς Κρήτης. B. Ἀμνισὸς πόλις καὶ ποταμὸς Κρήτης. Vulg. Εἰλειθυίης] Τῆς ἀφωρισμένης ταῖς τικτούσαις θεᾶς. Vulg. 192. Δεκάτη ἢ ἑνδεκάτη] Ψευδόμενος ἐπὶ

[a] Miræ in hoc scholio turbæ, quas expediat, cui lubet. Nam et confusus Leucus cum Æthone, sive ficto, sive revera talis in mythologia fuerit; et extrema verba totum scholium rejiciunt ad 174. BUTTM.

τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο.
Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
τῆς δ' ἄρ' ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν,
ἥν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύει·
τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
Νῦν μὲν δή σευ, ξεῖνε, γ' ὀΐω πειρήσεσθαι,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισι
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις·
εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο,
αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν,
ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
ἀλλὰ καὶ ὣς ἐρέω, ὥς μοι ἰνδάλλεται ἦτορ·

203. ἴσκεν] ἴσκε δὲ V. ἴσκε W. 206. καταχεύει] καταχεύῃ, H. 209. ἑὸν] τέον V. ib. ἑϜόν. 210. ἑϜήν. 211. ἕστασαν] ἔστασαν W. 212. βλεφάροισι] μεγάροισι V. 213. τάρφθη] τάρπη V. 214. ἐξαῦτις Ϝεπέεσσιν. προσέϜειπε. 218. Ϝειπέ. Ϝείματα Ϝέστο. 219. 226. Ϝοι. 222. οἱ] μοι H. ib. Ϝειπέμεν. Ϝοι ἐϜεικοστὸν Ϝέτος. 224. ἀλλὰ καὶ ὣς] αὐτὰρ

λέγουσί τι μὴ εἰδέναι ἀληθῶς, πιθανώτεροι δοκοῦσιν εἶναι. Vulg. 203. Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα] Τινὲς βούλονται τὸ ἔλεγεν (ἔλεγε em. Barn.) σημαίνειν. ἄλλοι δὲ τὸ ἤισκε, τὸ εἴκαζεν, ὡμοίου. τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω, ὁ μέλλων εἴσω. Vulg. 205. Ὡς δὲ χιὼν] Ἁρμοδίως ἐχρήσατο τῇ πρὸς τὸ δάκρυον παραβολῇ. B 206. Καταχεύῃ] Ἄγαν ἐκχέῃ. Vulg. 211. Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν] Ὡς τόξα τεταμμένα, ἐξ οὗ ποιεῖται τὸ, ἀκαμπεῖς. σκληροὶ, μὴ ἐνδιδόντες τοῖς δάκρυσιν. B. Κέρα] Τόξα. ἵνα ᾖ, τεταμμένους εἶχε τοὺς ὀφθαλμοὺς ὥσπερ τόξα. ἢ ἄλλως τὴν φύσιν τοῦ κέρατος περιέλαβεν (MS. Barnes. ἐλάμβανε). σκληρὸν γάρ. Vulg. 213. Τάρπη] Ἐκορέσθη, ἐτέρφθη. ἢ ἐξετράπη τοῦ γόου. Vulg. 222. Μοι] Γρ. οἱ. Harl. 224. Ὡς μοι ἰνδάλλεται ἦτορ]

χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεὺς,
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλὸν,
ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ὄντες, ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὃ, ἐκφυγέειν μεμαὼς, ἤσπαιρε πόδεσσι.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κατὰ ἰσχαλέοιο,
τὼς μὲν ἔην μαλακὸς, λαμπρὸς δ' ἦν, ἠέλιος ὥς·
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ', εἰ τάδε ἕστο περὶ χροῒ οἴκοθ' Ὀδυσσεὺς,
ἤ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἤ τίς που καὶ ξεῖνος· ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί οἱ ἐγὼ χάλκειον ἄορ, καὶ δίπλακα δῶκα
καλὴν, πορφυρέην, καὶ τερμιόεντα χιτῶνα·

τοι H. V. ib. Ϝερέω. 225. δῖϜος. 226. οἱ] τοι H. 233. κατὰ ἰσχαλέοιο] καταϊσχαλέοιο H. 236. Ϝερέω. 237. Ϝοῖδ'. Ϝέστο. Ϝοίκοθ'. 240. ἈχαιϜῶν. 241. 244. Ϝοι.

Ὥς μοι ἀναφέρει ἡ ψυχὴ, ὡς διαμέμνηται (scr. -ημαι). Vulg. 225. Πορφυρέην οὔλην] Ἀντὶ τοῦ ὁλοπόρφυρον· ἢ ἁπαλήν. B. Ἤτοι ὁλοπόρφυρον· ἢ τρυφεράν. Vulg. 226. Τοι] Γρ. οἱ. Harl. 227. Αὐλοῖσιν διδύμοισι] Ἀνατάσεσι δυσὶ πρὸ τῆς χλαμύδος*, ὅ ἐστιν εἰς τὸ ἔμπροσθεν μέρος τῆς χλαμύδος ἑκάστωθεν τῆς πόρπης ἐξηρτημένους. B. Αὐλοῖσι] Ῥάβδοις εὐθείαις, εἰς ἃς κατακλείονται αἱ περόναι. Διδύμοισι] Διπλαῖς, ἢ συμφυέσι περόναις. Vulg. 229. Λάων] Ὁ μὲν Ἀρίσταρχος ἀπολαύων, ἀπολαυστικῶς ἔχων. ὁ δὲ Κράτης λάων φησὶν ἀντὶ τοῦ βλέπων. ὅθεν κατὰ στέρησιν ἀλαὸς ὁ τυφλός. οἱ δέ φασιν ἀφῃρῆσθαι τὸ υ, ἵνα ᾖ ὑλάων. ἢ ἀπελαύνων. Vulg. Ἀπολαυστικῶς ἐσθίων ἢ ὑλάων κατ' ἔνδειαν τοῦ υ. ἢ βλέπων· ὅθεν καὶ ἀλαὸς ὁ τυφλὸς κατὰ στέρησιν. B. 230. Ὡς οἱ χρύσεοι ὄντες] Ἀπὸ χρυσοῦ κατεσκευασμένοι. ἔστι γὰρ καὶ ἐν ὑφάσμασιν ἀπὸ χρυσοῦ ποικίλματα. λείπει δὲ τὸ ὅς, ὡς χρύσεοι ὄντες. B. Λάε] Οἱ μὲν ἀνέβλεπεν, οἱ δὲ ἀπολαυστικῶς ἤσθιεν. Vulg. Λάε] Ἀπέλαβε. Pal. Scr. ἀπέλαυε: vid. ad 61. 232. Σιγαλόεντα] Ἁπαλόν. Vulg. 233. Λοπόν] Τὸ λέπος ὃ λέγομεν τζίναν. γίνεται δὲ ἀπὸ τοῦ λέπω τὸ λεπίζω. B. Λέπουον (Barn. ex Eustath. λέπυρον). εἴρηται δὲ πρὸς τὸ ἰσχνὸν καὶ εὔτονον. παρὰ τὸν ὑμένα τοῦ λεπίσματος. Vulg. 242. Τερμιόεντα] Οἱ μὲν τέλειον συναποτερ-

* Sic Mediol. bis, ut nesciam χλαμύδος an χλαινίδος reponam. Conf. schol. ξ. 513. BUTTM.

αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ·
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος·
Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
ὧν ἑτάρων Ὀδυσεὺς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη.
Ὣς φάτο· τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε·
Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς,
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσῃ, αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου· περόνην τ' ἐπέθηκα φαεινὴν,
κείνῳ ἄγαλμ' εἶναι· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα, φίλην ἐς πατρίδα γαῖαν.
τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε, πόσιν γοόωσα· νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ', ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.

243. αἰδοίως] αἰδοῖος, sed acutus supra circumflexum, et ως super ος, H. 248. Ϝῶν. Ϝοι. Ϝεῖδη. 249. ἵμερον] ἵμεμορ (sic) H. 250. σήματ'] εἵματα Apollonius v. ἀναγνούσῃ. PORS. Hunc versum et sequentem omittit H. ib. Ϝοι. 252. ἀμειβομένη] ἐπειγομένη V. ib. προσέϜειπε. 255. Ϝείματ'. 256. τ'] δ' V. 257. εἶναι] ἔμμεναι H. ἔμεναι W. 258. Ϝοίκαδε. 260. ὀνομαστήν] ὀνομαστὸν H. ib. κακοϜίλιον. 262. ΛαϜερτιάδεω.

ματιζόμενον ὅλῳ τῷ σώματι, ποδήρη. οἱ δὲ σύμμετρον, καὶ μήτε ἐνδέοντα μήτε ὑπέρμετρον. Vulg. Ποδήρη· ὡς Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα (Il. π'. 803.) B. 246. Γυρὸς ἐν ὤμοισι] Περιφερεῖς καὶ στρογγύλους ἔχων τοὺς ὤμους. ἢ κυρτός. ὁ τρόπος εἰκονισμός. Vulg. Γυρὸς] Οὐκ ἐπιμήκης, ἀλλὰ στρογγύλος. B. 260. Οὐκ ὀνομαστήν] Δυσώνυμον· οὐκ ὀνομαστὴν δὲ, ἣν οὐδὲ ὀνομάσαι καλόν. B. 263. Ἐναίρεο] Ἀντὶ τοῦ ἔναιρε, διάφθειρε.

ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα,
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ,
αἰτίζων ἀνὰ δῆμον· ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε, καὶ νῆα γλαφυρὴν, ἐνὶ οἴνοπι πόντῳ,
Θρινακίης ἀπὸ νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν·
οἳ δή μιν περὶ κῆρι, θεὸν ὣς, τιμήσαντο,
καί οἱ πολλὰ δόσαν, πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ' ἀπήμαντον· καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
ἦν· ἀλλ' ἄρα οἱ τόγε κέρδιον εἴσατο θυμῷ,
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
ὣς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἶδ' Ὀδυσεύς· οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι, καὶ ἐπαρτέας ἔμμεν' ἑταίρους,
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς·
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι,

274. Fοίνοπι. · 275. ὀδύσαντο] ὠδύσαντο V. 278. ἔκβαλε] ἔμβαλε ex emend. ejusd. m. H. 280. Fώς. 281. Fοι. 282. Fοίκαδ'. 283. ἦν] εἶν a m. pr. H. ib. Fοι Fείσατο. 286. Fοῖδ'. 288. Fοίκῳ.

B. Q. Ἀναίρεο] Κατάφθειραι. Vulg. 272. Γρ. πολλὰ δ' ἄγει κειμήλια ἔνδε δόμονδε. Harl. 283. Ἀλλ' ἄρα] Τὸ ἑξῆς, ἀλλ' ἄρα οἱ τόγε κέρδιον εἴσατο θυμῷ χρήματ' ἀγυρτάζειν, ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο. B. 285. Ὡς περὶ κέρδεα πολλά] Οὕτως περισσῶς συνετὰ οἶδεν ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους· ὡς τὸ, Περὶ πάντων ἔμμεναι ἄλλων (Il. α'. 287.). B. 288. Ἀποσπένδων] γρ. ἐπι super ἀπο. Harl. 294. Ἕτερόν γ' ἔτι βόσκοι] Ἐλλείπει

ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
ἤδη δὴν ἀπεὼν, ἢ ἀμφαδὸν, ἦε κρυφηδόν.
ὣς ὁ μὲν οὕτως ἐστὶ σόος, καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ'· οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω·
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω·
τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,
τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.
    Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ· ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
τεύξῃ· ἐπεὶ οὔτοι σημάντορές εἰσιν ἐν οἴκῳ,
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴποτ' ἔην γε,

295. ὅσσα οἱ] ὅσσά οἱ, sed τ præfixum, nescio an ab eadem m. H. PORS. τόσσα W. ib. Fοι. Fάνακτος. 297. ἐπακούσῃ] ἐπακούσαι W. 304. Fιστίη. 305. τοι] τῇ, et interpr. οὕτως H. 306. obelisco notatum habet V. 308. προσέFειπε. 309. Fέπος. 313. Fοῖκον. 314. οὔτοι] οὔτι H. οὐ τοῖοι W. ib. εἰσιν ἐν] εἴσ' ἐνὶ H. W. εἰσ' ἐν V. ib. ἐνὶ Fοίκῳ.

γένος. Vulg. 305. Ἦ μὲν τῇ*] Τούτῳ τῷ τρόπῳ. Vulg. 306. Τοῦ δ' αὐτοῦ λυκάβαντος] Λυκάβας ὁ ἐνιαυτὸς ἐτυμολογήθη μὲν παρά τισιν ἐκ μεταφορᾶς τῶν λύκων· οὕτω γὰρ διερχόμενοι ποταμὸν ἀλλήλων τὰς οὐρὰς δάκνουσιν· ὥσπερ καὶ ἐπὶ τοῦ χρόνου· ἡμέρα γὰρ ἔχεται τῆς ἡμέρας, καὶ ἑβδομὰς τῆς ἑβδομάδος, καὶ μὴν τοῦ μηνός. ἢ παρὰ τὸ λύγος τὸ σκότος, καὶ τὸ αὔω τὸ λάμπω· διὰ γὰρ τῶν νυχθημέρων συμπληροῦται ὁ ἐνιαυτός. ἄλλοι δὲ ἀπὸ τοῦ λύκη καὶ τοῦ αὔω τὸ ξηραίνω, ἐπειδὴ ὁ ἡλιακὸς δρόμος τὸ τοῦ χρόνου συμπεραῖ διάστημα. ἢ παρὰ τὸ λυγαίως βαίνειν ἤτοι κεκρυμμένως καὶ λεληθότως. B. Cf. schol. ξ. 161. 314. Τεύξῃ ἐπεὶ οὔτι σ. text. Γρ. τεύξεαι: et pro οὔτι est οὐ τοῖοι, quæ sane vera est lectio, librariis crasin hanc, ἐπεὶ οὐ,

* Sic ed. ant. recente. e textu reposuerunt Ἦ μέντοι de expositione scholiastæ securi. Etiam in Harl. est τῇ cum interpr. οὕτως. BUTTM.

ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνὴν,
δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα,
ὥς κ' εὖ θαλπιόων χρυσόθρονον ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε χρῖσαί τε,
ὥς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον, ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζῃ θυμοφθόρος, οὐδέ τι ἔργον
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
πῶς γὰρ ἐμεῦ σὺ, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος, ἐν μεγάροισι
δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς τ' αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ,
τῷδε καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῷ· ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
πάντας ἐπ' ἀνθρώπους· πολλοί τέ μιν ἐσθλὸν ἔειπον.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἦτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα

320. ἠῶθεν] ἠῶθι H. 323. Ϝέργον. 327. εἴ κεν] αἴκεν et εἴ super αἴ H. ib. Ϝειμένος. 329. τ' omittit H. W. ib. et 332. Ϝειδῇ. 334. Ϝέειπον. 336. ΛαϜερτιάδεω.

ignorantibus. PORS. ex Harl. 323. Τοῦτον ἀνιάζῃ θυμοφθόρος] Λείπει, ὅστις δὲ θυμοφθόρος, τοῦτον ἀνιάζῃ κάκιον αὐτῷ· θυμοφθόρος δὲ σημαίνει ἐφθαρμένος τὴν ψυχὴν, φρενοπλήξ. οὐδὲν ἔργον ἀνίας ἀνύσει κατὰ τοῦ ξένου, ἐγὼ γὰρ αὐτοῦ προΐσταμαι. B. 326. Γρ. ἐχέφρονα. Harl. 327. Ἀϋσταλέος] Αὐχμηρὸς, ἠμελημένος. B. Αὐχμῶν. Vulg. 328. Δαινύῃ] Εὐωχεῖσθαι μέλλεις. Vulg. Ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσι] Τοῦτο πρὸς τὴν εὐφημίαν εἴρηκεν, καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος. ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ, καὶ φήμην ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν. Vulg. 331. Ἐφεψιόωνται] Ἐπεγγελῶσι, ἐπιμωκῶνται. B. Ἐψιόωνται (sic ed. ant.)] Καθάπτονται, καὶ λοιδοροῦνται· ἢ ἐπιχαίρουσι καὶ ἐφήδονται. Vulg. 338. Ἤχθεθ'] Ἀντὶ τοῦ ἠλλοτριώθη. ἀρχὴν γὰρ ἔλαβεν τοῦ δυστυχεῖν ἐξελθὼν τῆς πατρίδος. ἐμισήθη φησὶν ἀφ' οὗ κατέλιπον τὴν πατρίδα. ἐμίσησα τὰς

νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
κείω δ', ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
ἄεσα, καί τ' ἀνέμεινα ἐΰθρονον ἠῶ δῖαν.
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπίηρ' ἀνὰ θυμὸν
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων, αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῢς ἐστὶ παλαιὴ, κέδν' εἰδυῖα,
ἥτις τέτληκεν τόσσα φρεσὶν, ὅσσα τ' ἐγώ περ·
τήνδε δ' ἂν οὐ φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
ξεῖνε φίλ', οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις.
ἔστι δέ μοι γρηῢς, πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἐῢ τρέφεν, ἠδ' ἀτίταλλε,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀναστᾶσα, περίφρων Εὐρύκλεια,

341. ἀϝεικελίῃ. 342. δῖϝαν. 343. ἐπίηρ' ἀνὰ H. Sed ἐπιήρανα Hesychius in v. ubi recte viri docti ἢ delevere, neque agnoscit MS. ἐπίηρ' ἀνὰ Apollonius v. ἐπίηρα. PORS. ἐπιήρανα θυμῷ W. 346, 347, 348. obelisco notatos habet V. 346. κεδνὰ ϝιδυῖα. 347. τέτληκεν] τέτληκε, sed δὴ additum inter lineas a m. secunda H. PORS. δὴ τέτληκε τόσσα W. 348. τήνδε] τῇδε H. ib. ἐμεῖο] ἐμοῖο H. 349. προσέϝειπε. 351. φιλίων] φίλων V. 354. εὖ τρέφεν] ἔτρεφεν V.

χλαίνας, λοιπὸν ἐν ῥάκεσιν ἐθίσας. καὶ νῦν οὐ βούλομαι ἐν τοιούτῳ καθεύδειν, ἀλλὰ καθεύδω ἐν ῥάκει καὶ ἀγρυπνῶ ὡς πρότερον. B. Τὸ ἄχος ἐμβάλλει. MS. Barnes. 343. Ἐπιήρανα] Προσηνῆ, ἀπὸ τοῦ ἐρᾷν. B. 344. Οὐδὲ γυνὴ ποδὸς ἅψεται] Διὰ τὸ ὑβριστικὸν τῶν γυναικῶν. Vulg. 346. Εἰ μή τις γρηῢς ἐστίν] Ἀθετοῦνται οἱ τρεῖς. πρῶτον μὲν ὅτι αἱρεῖται (sic Barn. e MS.; antea ἀρνεῖται) τὴν δυναμένην ἐπιγνῶναι. εἶτα δὴ καὶ γελοιότατα* ἥτις δὴ τέτληκε. τίς γὰρ φθονεῖ τῶν σπουδαίων; Vulg. 351. Φιλίων] Ὡς φίλων, συγκριτικὸν, ἀντὶ τοῦ φιλαιτέρας. B. 356. Ὀλιγηπελέουσα] Ὀλίγον ἔτι τοῦ

* Sic ed. ant. In recentt., certe in Schrevel., γελοίοντα τὸ—. Barnesius em. γέλοιον τὸ, ἥτις δ. τ. idemque suspicatur in fine legendum esse τῶν μὴ σπουδαίων. Quod verum mihi videtur judicium: ut haec sit mens istorum criticorum, ridiculum esse quod Ulysses tam probam feminam sibi exposcat ad demandandum ei negotium minime invidendum. BUTTM.

νίψει σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
ἤδη τοιόσδ᾽ ἐστὶ πόδας, τοῖος δέ τε χεῖρας·
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
Ὣς ἄρ᾽ ἔφη· γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα,
δάκρυα δ᾽ ἔκβαλε θερμὰ, ἔπος δ᾽ ὀλοφυδνὸν ἔειπεν·
Ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διῒ τερπικεραύνῳ
πίονα μηρί᾽ ἔκη᾽, οὐδ᾽ ἐξαίτους ἑκατόμβας,
ὅσσα σὺ τῷ ἐδίδως, ἀρώμενος ἕως ἵκοιο
γῆράς τε λιπαρὸν, θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι οἴῳ πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.
οὕτω που κἀκείνῳ ἐφεψιόωντο γυναῖκες
ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώμαθ᾽ ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι·
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ᾽ ἀλεείνων
οὐκ ἐάας νίζειν· ἐμὲ δ᾽ οὐκ ἀέκουσαν ἀνώγει
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
τῷ σε πόδας νίψω, ἅμα τ᾽ αὐτῆς Πηνελοπείης
καὶ σέθεν εἵνεκ᾽· ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς

358. Fάνακτος. 362. Fέπος. ἔFειπεν. 367. τῷ ἐδίδως] τῶδ᾽ ex emend. et ἐδίδου primo, sed σ additum ex emend. H. 369. δέ τοι οἴῳ] δέ τοι οἴω H. δέ τοι οἴῳ W. 371. ὅτε τευ] ὅτ᾽ ἐς τὰ V. 372. καθεψιόωνται] καθεψιόωντο, sed interpr. λοιδορεῦνται H. 374. ἀνώγει] ἄνωγε H. ἄνωγεν W. ib. ἀFέκουσαν.

πόλεω ἔχουσα. τούτου δὲ προκατάρχεται ὄνομα τὸ ἀλογγωελία. B. 358. Σοῖο (sic ed. ant. non σεῖο)] Τοῦ σοῦ. Vulg. 360. Ἐν κακότητι] Ἐν κακώσει καὶ ἐν ταλαιπωρίᾳ, ἀντὶ τοῦ ἐν κακοῖς. B. 361. Κατέσχεθε [s]] Κατέσχε. Vulg. 363. Ἀμήχανος] Πρὸς ὃν, δηλονότι τὸν Δία, οὐκ ἔστι τινὰ μηχανὴν εὑρεῖν. ἐξ οὗ δεινὸς καὶ χαλεπός ἐστι [t]. MS. Barnes. 370. Ἐφεψιόωντο γυναῖκες] Προσπαίζουσιν [u]. Ἴσως, φησὶ, καὶ αὐτὸς οὕτως ὑβρίζεται πλανώμενος, ὥσπερ σὺ νῦν ὑβρίζῃ παρὰ τῶν δουλίδων. B. Ἐφεψιόωντο] Καθήπτοντο

[s] Sic ed. ant.; nam recentt. e textu edito κατέσχετο. Illa scriptura nondum quod sciam alicunde enotata est. BUTTM.

[t] Puto hoc scholium ad Il. ν'. 273. pertinere. Nisi et hic forte ἀμήχανος ad Ζεὺς referatur. Vid. infra ad v. 560. BARNES. Certe utriusque loci, et hujus et Il. ν'. 273. eadem est ratio, significatio autem vocis ἀμήχανος, nisi cum scholiastis utrobique ad Jovem referas, diversa. BUTTM.

[u] Respicit scripturam ἐφεψιόωνται quam Eustathius quoque, ed. ut metro repugnantem, memorat. BUTTM.

κήδεσιν· ἀλλ' ἄγε νῦν ξυνίει ἔπος, ὅ, ττι κεν εἴπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
ἀλλ' οὔπω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
ὡς σὺ, δέμας, φωνήν τε, πόδας τ', Ὀδυσῆϊ ἔοικας.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γρηῦ, οὕτω φασὶν ὅσοι ἴδον ὀφθαλμοῖσιν
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἔμμεναι· ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ λέβηθ' ἕλε παμφανόωντα,
τῷ πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πουλὺ
ψυχρόν· ἔπειτα δὲ θερμὸν ἐπήφυσεν· αὐτὰρ Ὀδυσσεὺς
ἷζεν ἐπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα,
αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσατο, μή ἑ λαβοῦσα
οὐλὴν ἀμφράσσαιτο, καὶ ἀμφαδὰ ἔργα γένοιτο.
νῖζε δ' ἄρ' ἄσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
οὐλήν· τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησόνδ' ἐλθόντα, μετ' Αὐτόλυκόν τε, καὶ υἷας,
μητρὸς ἑῆς πατέρ' ἐσθλὸν, ὃς ἀνθρώπους ἐκέκαστο
κλεπτοσύνῃ θ', ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν
ἀρνῶν ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει.
Αὐτόλυκος δ' Ἰθάκης ἐλθὼν ἐς πίονα δῆμον
παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·

378. Ϝέπος. Ϝείπω. 380. ϜεϜοικότα. Ϝιδέσθαι. 381. ϜέϜοικας. 383. Ϝίδον. 384. εἰκέλω et ï super ει H. ib. Ϝεικέλω. 387. ἐνεχεύατο] ἐξεχεύατο H. ib. πουλὺ] πολλὸν H. V. 390. Ϝε. 391. ἀμφράσσαιτο] ἀναφράσσαιτο V. ib. Ϝέργα. 392. Ϝάναχθ' ἑϜόν. 394. Παρνησόνδ'] Παρνησσὸν (δ videtur erasum), sed cum σ simplici 411. 432. 466. H. PORS. 395. ἑϜῆς. 396. ὅρκῳ τε] ὅς κέν τε V. pro v. l. ib. Ϝοι. 397. μηρία] μυρία a pr. m. H. 398. Ϝαρνῶν. Ϝοι. 399. Ἰθάκης ἐλθὼν] ἐλθὼν Ἰθάκης W. 400. Ϝῆς.

τε, ἐλοιδοροῦντο. Vulg. 378. Κήδεσιν] Ἀντὶ τοῦ, διὰ τὰ σὰ κήδεα. B. 386. Λέβητα] Νῦν τὴν λεκάνην. Vulg. 393. Οὐλήν] Ἀττικοὶ τὸ θεραπευθὲν τραῦμα ὠτειλήν φασι· παρὰ δὲ Ὁμήρῳ ὠτειλὴ μὲν τὸ ἀθεράπευτον, οὐλὴ δὲ τὸ θεραπευθέν. B. Ἤλασε] Τύψας ἐποίησε. B. 394. Παρνησόνδε] Εἰς τὸν Παρνασσόν. Παρνασσὸς δὲ ὄρος Δελφῶν. Vulg. 396. Κλεπτοσύνῃ θ' ὅρκῳ τε] Οὐκ ἐπιορκῶν ἀλλὰ σοφιζόμενος τοὺς ὅρκους, αὐτὸς μὲν εὔορκος διέμενε, τοὺς

τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
παυομένῳ δόρποιο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὕρεο, ὅ, ττι κε θείης
παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστι.
Τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο, φώνησέν τε·
γαμβρὸς ἐμὸς, θυγάτηρ τε, τίθεσθ' ὄνομ', ὅ, ττι κεν εἴπω·
πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω,
ἀνδράσιν ἠδὲ γυναιξὶν, ἀνὰ χθόνα πουλυβότειραν·
τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον· αὐτὰρ ἔγωγε,
ὁππότ' ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
ἔλθῃ Παρνησόνδ', ὅθι πού μοι κτήματ' ἔασι,
τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ' ἀποπέμψω.
Τῶν ἕνεκ' ἦλθ' Ὀδυσεὺς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
χερσίν τ' ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι·
μήτηρ δ' Ἀμφιθέη μητρὸς, περιφῦσ' Ὀδυσῆϊ,
κύσσ' ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.
Αὐτόλυκος δ' υἱοῖσιν ἐκέκλετο κυδαλίμοισι
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν·
αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πενταέτηρον·
τὸν δέρον, ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,

401. Fοι. 402. Fέπος. 403. ὅ, ττι κε θείης] ὅττι κε θεῖο text. γρ. ὅττι θείης H. 406. Fείπω. 407. τόδ'] τῶδ' H. 408. ἀνὰ χθόνα πουλυβότειραν] ἀναχθόμενοι βοτιάνειρα. (sic) γρ. ἀνὰ χθόνα πουλυβότειραν H. 412. 413. Fοι. 415. Fέπεσσι. 420. πενταFέτηρον. 421. διέχευαν] δέχευαν V. 423. δάσσαντό τε μοίρας] ἐρύσαντό τε μοίρας γρ. πάντα H. ἐρύσαντό τε πάντα V. 425. ἐFίσης.

δὲ ἐγκαλοῦντας διὰ τῆς ἀσεβείας ἐκεῖθεν. B. 401. Γρ. Ἀντίκλεια. Harl. 407. Ὀδυσσάμενος] Μισηθεὶς ἢ ὀργὴν ἀγαγὼν ἢ βλάψας. Vulg. 409. Ἐπώνυμον] Φερώνυμον. Vulg. Vid. ad ψ'. 54. 410. Ἡβήσας] Ἐν ἀκμῇ ἡλικίας

βάν ῥ' ἴμεν ἐς θήρην ἠμὲν κύνες, ἠδὲ καὶ αὐτοὶ
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤιεν· αἰπὺ δ' ὄρος προσέβαν καταειμένον ὕλη
Παρνησοῦ· τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας.
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαῤῥείταο, βαθυῤῥόου, Ὠκεανοῖο.
οἱ δ' ἐς βῆσσαν ἵκανον ἐπακτῆρες· πρὸ δ' ἄρ' αὐτῶν
ἴχνη ἐρευνῶντες κύνες ἤισαν· αὐτὰρ ὄπισθεν
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤιεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
ἔνθα δ' ἄρ' ἐν λόχμη πυκινῇ κατέκειτο μέγας σῦς·
τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
οὔτε μιν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνὴ
ἦεν· ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
τὸν δ' ἀνδρῶν τε κυνῶν τε περὶ κτύπος ἦλθε ποδοῖιν,

430. δῖϝος. 431. προσέβαν] δ' ἐπέβαν V. ib. καταϝειμένον. 436. ἴχνη] ἴχνια H. ἴχνι' W. 437. δῖϝος. 444. τὸν δ'] τῶν δ' H. V.

γενόμενος. ἐδυσσάμενος[x]. Vulg. 432. Παρνησοῦ τάχα δὲ ἵκανον πτύχας ἠνεμοέσσας] Φιλωνὶς ἡ Δηϊόνος θυγάτηρ οἰκοῦσα τὸν Παρνασσὸν ἐν αὐτῷ παρελέχθη καὶ Ἀπόλλωνι[y]. εἶχε γὰρ τὸ κάλλος ἐράσμιον ἐπὶ τοσοῦτον, ὥστε καὶ τοὺς θεοὺς ζηλοτυποῦντας κατὰ τὸ αὐτὸ θελῆσαι μίσγεσθαι. εἶτα ἐκ μὲν τοῦ Ἀπόλλωνος γίνεται Φιλάμμων ἀνὴρ σοφιστής, ὃς καὶ πρῶτος ἐδόκει χοροὺς συστήσασθαι παρθένων, ἐκ δὲ τοῦ Ἑρμοῦ Αὐτόλυκος, ὃς οἰκῶν τὸν Παρνασσὸν πλεῖστα κλέπτων ἐθησαύριζεν. εἶχε γὰρ ταύτην τὴν τέχνην παρὰ τοῦ πατρός, ὥστε τοὺς ἀνθρώπους ὅτε κλέπτοι τι λανθάνειν, καὶ τὰ θρέμματα τῆς λείας ἀλλοιοῦν εἰς ὃ θέλοι μορφῆς, ὥστε πλείστης αὐτὸν δεσπότην γενέσθαι λείας. ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ (Sturz. num. 18.). Vulg. in fine libri. Πτύχας] Τὰς ἀνακλίσεις. Vulg. 434. Ἀκαλαῤῥείταο λέγει τοῦ ἀκαλῶς καὶ ἡσυχῆ ῥέοντος. B. 435. Βῆσσαν] Τὴν πρόβασιν τοῦ ὄρους. Vulg. 439. Λόχμῃ] Ὑλώδει χωρίῳ, πρὸς κοίτης ἐπιτηδείῳ, ἀπὸ τοῦ λέξασθαι. B. Συνδένδρῳ τόπῳ. Vulg. 440. Διάη] Διέπνει. Vulg. 443. Ἤλιθα] Γίνεται ἐκ τοῦ ἀλίζω, τὸ συναθροΐζω. ἀθροίσεως ἐπίῤῥημα, σημαίνει τὸ ἀθρόως. τάττεται δὲ καὶ ἀντὶ τοῦ ματαίως. οἷον, ἀνέχραον ἤλιθα χερσὶ (Apollon. 2, 283.), ἀντὶ τοῦ μα-

* Posui hoc scholium, ut aliis etiam suum judicium esset de ultima hac voce quam edd. ant. addunt, recentt. omittunt. BUTTM.

y Mercurium inserendum esse omnes viderunt. Sed duplicanda etiam particula καὶ ita, παρελέχθη καὶ Ἑρμῇ καὶ Ἀπόλλωνι. Verbum autem παρελέχθη pro παρελέγη vel παρελέξατο, et in sermone quidem prosario miror. Mox κατὰ τὸ αὐτὸ e MS. reposuit Barn. pro κ. τὸ αὐτῷ quod est in edd. ant. et unde recentt. fecerant κ. τὸ αὐτῇ. BUTTM.

ὡς ἐπάγοντες ἐπῆσαν· ὁ δ' ἀντίος ἐκ ξυλόχοιο,
φρίξας εὖ λοφιὴν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκὼς,
στῆ ῥ' αὐτῶν σχεδόθεν· ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
ἔσσυτ', ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς
γουνὸς ὕπερ· πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
λικριφὶς ἀΐξας, οὐδ' ὀστέον ἵκετο φωτός.
τὸν δ' Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
ἀντικρὺ δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός.
τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο·
ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος, ἀντιθέοιο,
δῆσαν ἐπισταμένως· ἐπαοιδῇ δ' αἷμα κελαινὸν
ἔσχεθον· αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πατρός.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε, καὶ υἱέες Αὐτολύκοιο
εὖ ἰησάμενοι, ἠδ' ἀγλαὰ δῶρα πορόντες,
καρπαλίμως χαίροντα φίλην χαίροντες ἔπεμπον
εἰς Ἰθάκην· τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
χαῖρον νοστήσαντι, καὶ ἐξερέεινον ἕκαστα,
οὐλὴν, ὅ, ττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξεν,
ὥς μιν θηρεύοντ' ἔλασεν σῦς λευκῷ ὀδόντι
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα,
γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
ἐν δὲ λέβητι πέσε κνήμη· κανάχησε δὲ χαλκὸς,
ἂψ δ' ἑτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.

445. ἐπάγοντες] ἀπάγοντες et ἐ super ἀ H. 455. φίλοι omittit H.
461. φίλην] φίλως H. 463. ϝέκαστα. lege ἅπαντα.

ταῖς. Vulg. 450. Γουνὸς ὕπερ] Κατὰ τὴν ἀρχὴν τοῦ μηροῦ· λέγει γοῦν πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι. Διὰ δὲ τοῦ, λικριφὶς, δηλοῖ ὅτι οὐ μέχρι τῶν ὀστέων καθίκετο. ἐτυμολογοῦσι δὲ τὸ λικριφὶς οἷον λίαν κεκρυμμένως· οἱ δὲ, περὶ τὰ λικρία, ὅ ἐστι τὰ πλάγια ξύλα, καὶ τὸ λίαν. B. 457. Ἐπαοιδῇ δ' αἷμα] Διοκλῆς ἐπαοιδὴν παρέδωκε τὴν παρηγορίαν. ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου προσεχὲς ᾖ. καὶ ὥσπερ προσηρτημένον τῷ παρηγοροῦντι. ὡς καὶ δι' ἑτέρων, Ἀλλὰ σὲ μὲν θεράπων ποτιτέρπετο (Il. ό. 401.). Ἔσχεθον, δὲ ἀντὶ τοῦ ἔπαυσαν. Vulg. Ἰστέον ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς θεραπεία, ὥστε καὶ Πίνδαρος (Pyth. 3. 91.) ἐπὶ τοῦ Ἀσκληπιοῦ, μαλακαῖς

τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα· τὼ δέ οἱ ὄσσε
δακρυόφιν πλῆσθεν· θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἔγωγε
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι.
Ἦ, καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη, οὔτε νοῆσαι·
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
χεῖρ' ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῆφι,
τῇ δ' ἑτέρῃ ἕθεν ἆσσον ἐρύσσατο, φώνησέν τε·
Μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,
σίγα, μήτις τ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
εἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς,
οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ' ἂν ἄλλας
δμωὰς ἐν μεγάροισιν ἐμοῖς κτείναιμι γυναῖκας.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
οἶσθα μὲν, οἷον ἐμὸν μένος ἔμπεδον, οὐκ ἐπιεικτόν·
ἕξω δ', ὡς ὅτε τις στερεὴ λίθος, ἠὲ σίδηρος.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἴ χ' ὑπό σοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,

471. 472. Fοι. 473. προσέFειπεν. 475. ἀμφαφάασθαι] ἀμφιφάασθαι ex emend. H. ib. Fάνακτ'. 478. ἡ δ' οὔτ'] οὐδ' αὖτ' et mox οὐδὲ Apollonius v. ἀθρῆσαι. PORS. 481. Fέθεν. Fερύσσατο. 484. ἦλθον ἐFεικοστῷ Fέτεϊ. 487. τὸ δὲ καὶ] καί μιν H. τὸ δέ κεν V. ib. ἐκFερέω. 490. ἐν] ἐνὶ H. ib. κτείναιμι] κτείνωμι H. 491. προσέFειπε. 492. Fέπος. 493. οὐκ] οὐδ', (sed fortasse ex emend. PORS.) H. V. ib. Fοῖσθα. 495. Fερέω.

ἐπαοιδαῖς, λέγει. MS. Barnes. 471. 490. Κτείνωμι] Γρ. τείνωμι (sic). Χάρμα καὶ ἄλγος] Σοφοκλῆς χάρμα Harl. 494. Ἕξω] Ἐν ἑαυτῇ (sic) ἐφόρτει δάκρυον ἐκκαλουμένη*. Vulg. κατάσχω. Vulg. 497. Καταλέξω]

* Ἐκκαλούμενον Barnes. ex Eustathio, recte: sed ὡς χάρμ' non item; ex eo quod ibi est, φησὶ Σοφοκλῆς ὡς χάρμα ὑφ. BUTTM.

αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἳ νηλητεῖς εἰσι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή·
εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ' ἑκάστην·
ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει,
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ' ἔκχυτο πάντα.
αὐτὰρ ἐπεὶ νίψεν τε, καὶ ἤλειψεν λίπ' ἐλαίῳ,
αὖτις ἄρ' ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή·
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἡδέος ἔσσεται ὥρη,
ὅντινά γ' ὕπνος ἕλοι γλυκερὸς, καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων, ἐνὶ οἴκῳ·
αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς ἀηδὼν,

498. νηλητεῖς] νηλίτιδες V. 500. τὰς] τάςδε V. 501. ϝεκάστην. lege ϝεκάστας. 502. ἔχε σιγῇ] ἔγχεσι τῇ V. 510. ἡδέος ἔσσεται] ἔσσεται ἡδέος H. W. ib. κοίτοιο τάχα ϝηδέος. 514. ϝέργ'. ϝοίκῳ. 515. ἐπὴν] ἐπεὶ H. ib. ἕλῃσί τε] ἕλῃσι δὲ V. 516. ἐνὶ λέκτρῳ] ἐν ἠλέκτρῳ H. ib. μοι] οἱ V. 517. μελεδῶναι] μελεδῶνες a m. recentiori H. 518. Πανδαρέου] Hic genitivus in scholiis infra ad υ'. 66. scribitur Πανδάρεω H. PORS.

Ἑκάστην εἶπεν. Vulg. 498. Νηλίτιδές εἰσι] Παρὰ τὸ ἀλιτεῖν. Ἀρίσταρχος δὲ τὰς πολυαμαρτήτους, τοῦ νη ἐπιτατικοῦ ὄντος. ἄμεινον δὲ τὰς ἀναμαρτήτους. B. Νηλιτεῖς] Λίαν ἁμαρτωλαὶ ἄλλοι ἀπέδοσαν τοῦ νη ἐπιτατικοῦ ὄντος, ὡς ἐν τῷ, Νήχυτος ὄρπηξ (Nicand. Ther. 33. Conf. Etym. M. in νη). ἄμεινον δὲ τὰς ἀναμαρτήτους, συγκειμένης τῆς λέξεως ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀλιταίνειν, ἵν' ᾖ, ὅσαι ἁμαρτάνουσαι καὶ ὅσαι οὔ. Vulg. Conf. ad π'. 317. 510. Κοῖτος] Ἀντὶ τοῦ ὕπνος. Vulg. 511. Ὃν τινά γ' ὕπνος ἕλῃ] Οἷον, ἐμὲ μὲν γὰρ οὐχ αἱρεῖ. Vulg. 513. Τέρπομ' ὀδυρομένη] Ἀντὶ τοῦ τρέπομαι, τῶν λυπηρῶν ἀπάγομαι. B. 515. Ἦλθεν] Γράφεται, ἔλθῃ. B. 518. Ὡς δ' ὅτε Πανδαρέου κούρη *] Διαφόρως τοῖς νεω-

* Conf. omnino schol. ad υ'. 66. BUTTM.

καλὸν ἀείδῃσιν, ἔαρος νέον ἱσταμένοιο,

τέρας, οὐχὶ Πανδίονος[b], εἰ μὴ ἄρα διώνυμος ἦν. Πανδάρεω τοῦ Μέροπος Μιλησίου τὸ γένος γίνονται ἐξ Ἁρμοθόης γ' θυγατέρες, Ἀηδὼν, Κλεοθήρα, Μερόπη. οὗτος κύνα κλέψας χρυσοῦν ἡφαιστότευκτον ἔμψυχον ἐκ Κρήτης ἐκ τοῦ Διὸς τεμένους, παρακατέθετο Ταντάλῳ. Διὸς δὲ καὶ Ἑρμοῦ ἀπαιτοῦντος αὐτὸν, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. ὅθεν ὁ Ζεὺς κατέστρεψεν αὐτῷ Σίπυλον τὸ ὄρος[c]. τὸν μὲν οὖν κύνα Ζεὺς δι' Ἑρμοῦ ἀπέλαβεν. ὁ δὲ Πανδάρης ἔφυγεν εἰς Ἀθήνας, κἀκεῖθεν εἰς Σικελίαν, ἔνθα διεφθάρη μετὰ τῆς γυναικός. συνέβη δὲ τῶν θυγατέρων αὐτοῦ Κλεοθήραν μὲν καὶ Μερόπην, ὡραίας γενομένας, ἁρπασθῆναι ὑπὸ ἀνέμων καὶ παραδοθῆναι Ἐρινύσιν ὑπηρετεῖν. Ἀηδὼν δὲ ἡ πρεσβυτάτη Ζήθῳ γαμηθεῖσα τῷ Διὸς μὲν παιδὶ, Ἀμφίονος δὲ ἀδελφῷ, Ἴτυλον ἔσχε παῖδα. φθονοῦσα δὲ τῇ ὁμονύμφῳ τῇ Ἀμφίονος γυναικὶ Νιόβῃ τῇ Ταντάλου, τινὲς δὲ Ἱπποδαμείᾳ (?) ... ὁμοσυμφῳ... — Ἱππομεδούσῃ, πλείονας ἐχούσῃ παῖδας, ὧν ὁ ἄριστος ἦν Ἀμαλεὺς[d], ἐπεβούλευεν τούτῳ. καὶ τῶν ἀνεψιῶν συντρεφομένων, ὅθεν καὶ συγκοιμᾶσθαι συνέβη, κρύφα παρῄνεσεν τὴν ἐνδοτέρω κοίτην ἑλέσθαι, ὅπως εἰσεπιβουλεύοντος αὐτῇ νύκτωρ ὁ Ἀμαλεὺς γένηται[e]. καὶ τοῦ πάθους αὐτὴν σφόδρα καταλαβόντος, ηὔξατο πᾶσι θεοῖς μεταστῆναι ἐξ ἀνθρώπων. καὶ ἠλλάγη εἰς τὸ ὁμώνυμον ὄρνεον. Vulg. Ἑρμοῦ καὶ Μερόπης γίνεται Πανδάρεως, οὗ καὶ Ἁρμοθόης Ἀηδὼν, Μερόπη, Κλεόθηρα. ἀλλ' ἡ μὲν Ἀηδὼν Ζήθῳ γαμηθεῖσα, καὶ κτείνασα τὸν Ἀμφίονος υἱὸν, φόβῳ τῆς γυναικὸς αὐτοῦ καὶ τὸν ἴδιον υἱὸν Ἴτυν ἔσφαξε, προλαβοῦσα τὴν ἐκ τῆς δυσμενοῦς κόλασιν. Τινὲς δέ φασιν, ὅτι Ἀηδὼν ζηλοτυποῦσα τὴν πολυπαιδίαν Νιόβης τῆς Ἀμφίονος γαμετῆς, διὰ τῆς αὐτῆς ἀνοίας ὥρμησε νύκτωρ μετὰ ξίφους ἀποκτεῖναι τὸν μείζονα τῶν Νιόβης παίδων, ἔλαβε δὲ τὸν ἴδιον φονεύσασα. διωκομένη δὲ ὑπὸ Ζήθου διὰ τὸν φόνον τοῦ παιδὸς εἰς ὄρνεον μετεβλήθη τὴν ἀηδόνα. Μερόπη δὲ καὶ Κλεόθηρα ἀνετράφησαν ὑπὸ Ἀφροδίτης. ἐπεὶ δὲ Πανδάρεως δεξάμενος παρακαταθήκην ὑπὸ Ταντάλου τὸν ἐκ Κρήτης κλαπέντα κύνα χρυσοῦν ἔξαρνος ἐγένετο μὴ λαβεῖν, ἁρπασθεῖσαι ὑπὸ Ἁρπυιῶν Ἐρινύσι παρεδόθησαν. B. Τῇ Νυκτέως[f] Ζεὺς μίγνυται. ἐξ ἧς Ζῆθος γίγνονται (sic nimis eleganter ed. ant.) καὶ Ἀμφίων. οὗτοι τὰς Θήβας οἰκοῦσι πρῶτοι, καὶ καλοῦνται Διὸς κοῦροι λευκόπωλοι[g]. γαμεῖ δὲ Ζῆθος μὲν Ἀηδόνα τὴν τοῦ Πανδαρέου, τῶν δὲ γίνεται Ἴτυλος καὶ Νηΐς. Ἴτυλον δὲ ἡ μήτηρ Ἀηδὼν ἀποκτείνει διὰ νυκτὸς, δοκοῦσα εἶναι τὸν Ἀμφίονος παῖδα, ζηλοῦσα τὴν τοῦ προειρημένου γυναῖκα, ὅτι αὐτῇ (scr. ταύτῃ) μὲν ἦσαν ἓξ παῖδες, αὐτῇ δὲ δύο. ἐφορμᾷ δὲ ταύτῃ ὁ Ζεὺς ποινήν· ἡ δὲ εὔχεται ὄρνις γενέσθαι, καὶ ποιεῖ αὐτὴν ὁ Ζεὺς ἀηδόνα. θρηνεῖ δὲ ἀεί ποτε τὸν Ἴτυλον, ὥς φησι Φερεκύδης (Sturz. num. 29. p. 137.). Vulg.

[b] Edd. ant. οὐχ ἱππιδίονος, recentt. οὐχ ὁ Ἱππιδ. Barnesius (qui ex MS. scholium se emendasse praedicat sed de singulis diserte non monet) καὶ οὐχὶ Πανδίονος. Ego istud καὶ illi adhuc relinquo. BUTTM.

[c] Supra in schol. λ'. 582. Jupiter dicitur Tantalum ἐξαρτῆσαι ὑπ' ὄρους ὑψηλοῦ—, καὶ τὴν Σίπυλον (urbem) ἀνατρέψαι. Conf. etiam schol. Pind. Ol. α'. 97. BUTTM.

[d] Ἀμαλεὺν pro Ἀμανὸν his reposui Barnesio credens non apud Eust. solum sed in MS. Aloys. quoque sic scriptum esse. BUTTM.

[e] Lacunosam hanc narrationem supple e scholio sq. et ex Eustathio p. 710, 13. BUTTM.

[f] Alterum hoc de hac re in Vulgatis scholium cum illo de Autolyco ad 432. in edd. ant. rejectum est ad finem libri; simulque accidit ut post illius extrema verba (παρὰ Φερεκύδῃ), hujus lemma periret cum prima ipsius scholii voce, Ἀντιόπῃ. BUTTM.

[g] Vid. Barnes. ad Eurip. Herc. F. 29. et Valck. ad Phoeniss. 610. BUTTM.

δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥτε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος·
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδί, καὶ ἔμπεδα πάντα φυλάσσω,
κτῆσιν ἐμήν, δμωάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν·
ἦ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν, ὅστις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμός, ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,

520. δενδρέων] δένδρεων V. δενδρέω Æliani edd., sed δένδρεων cod. Mediceus. PORS. 521. τρωπῶσα] τρωπῶσα H. Cætera omnino ut vulgantur. Sed aliam lectionem ministrat scholiastes Leidensis apud Valckenaerium ad Ammon. p. 243. ubi schol. referendum erat ad Il. ί. 496. non 308. κέχρηται τῷ τρόπῳ [l. τροπῷ] καὶ ἐπὶ φωνῆς καὶ ἐπὶ μελῶν ἐξαλλαγῆς· καὶ ὡς ἐπὶ τῆς ἀηδόνος [dele καί. ὡς omittit Harl.] ἥτε θαμὰ τρωπῶσα χέει μελιηδέα γῆρυν, ἀοιδήν. Videntur duæ lectiones in unum confusæ; μελιηδέα γῆρυν et μελίγηρυν ἀοιδήν. At vero idem scholion exstat in Harl. ad primum Odyssеæ versum, et nullam varietatem præbet, nisi τρωπῶσα. PORS. 523. Fάνακτος. 525. παρὰ] παρ^ὰ H. 526. ὑψερεφὲς] ὑψ'ερεφὲς ex emend. H. 527. φῆμιν] φῆμιν V. 528. Ἀχαιϝῶν. 529. ἐνὶ μεγάροισι] ἐνὶ" μεγάροισι H. ib. ἕδνα] ἔδνα, sed additum alterum ε inter ἔ et δ H. δῶρα V. ib. Fέδνα.

Χλωρηῒς h] Ἤτοι ἐν χλωροῖς φαινομένη· ἢ διὰ τὸ χρῶμα. B. Ἤτοι ἐν χλωροῖς ὕλαις διατρίβουσα, ἢ ἅμα τοῖς χλωροῖς φαινομένη. ἔαρος γὰρ φαίνεται. ἢ διὰ τὸ χρῶμα. καὶ παρὰ Σιμωνίδην δὲ χλωραύχενες λέγονται αἱ ἀηδόνες. Vulg. 521. Πολυηχέα] Πολλὰς μεταβολὰς ποιουμένην. Vulg. Vid. et schol. ά. 1. cum not. 524. Ὀρώρεται] Κεκίνηται, τετάρακται, μεταβάλλεται ὡς ἡ τοῦ ὀρνέου φωνή. B. 530. Χαλίφρων] Κεχαλασμένας ἔχων τὰς φρένας, ἀσύνετος καὶ ἄφρων, ἐναντίος τῷ, Πυκινὰ φρεσὶ μήδε' ἔχοντι (supra 353.). ἔνιοι δὲ χαλίφρονα τὸν ἀκρατήφρονα. χάλις i γὰρ ὁ οἶνος ὁ ἀναχαλῶν τὰς φρένας.

h Fragmentum *Simonidis* plenius extat in Etym. M. v. Χλωρηΐς. et inde inter Simonidis fragm. num. 158. ap. Gaisfordum. Glossa Etymologi integra hæc est: Χλωρηΐς (sic Gaisf. e cod. Dorv.) ἀηδών, ἀπὸ τοῦ χρώματος. ἢ διότι ἐν ἔαρι φαίνεται ὅτε πάντα τὰ (del. τὰ) χλωρά. οἱ δὲ, τὴν χλωροῖς δένδρεσιν. πρῶτον δὲ τὸ πρῶτον, τοιαύτην γὰρ τὴν στέρνοις ἔχει. καὶ Σιμωνίδης, εὖτ' ἀηδόνες πολυκωτίλαι χλωραύχενες εἰαριναί. Cetera quas præter illud χλωρηΐς variationes attulit Gaisfordus, menda sunt. BUTTM.

i In ed. ant. χάμι: cui recentiores substituerunt χάλιξ. Ego cum Barnesio reposui χάλις; non quo mendosum credam formam in ξ de vino: vid. infr ad ψ'. 1.: sed quoniam sub eadem voce χαλίφρων in Etym. M. scriptum est χάλις, in Etymol. Gud. (p. 562.) χάμις, in nostro scholio χάμι. Mox ἀκρατόφρονα videtur esse alterius formæ, ἀκρατήφρονα, correctio non suo loco inserta. BUTTM.

γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιπουσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ, καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τὴν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε, μοι τὸν ὄνειρον ὑπόκριναι, καὶ ἄκουσον·
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχένας ἦξε, καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις· ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον, ἔν περ ὀνείρῳ·
ἀμφὶ δέ μ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαὶ,
οἴκτρ' ὀλοφυρομένην, ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρῳ·
φωνῇ δὲ βροτέῃ κατερήτυε, φώνησέν τε·
  Θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλὸν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν, μνηστῆρες· ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.
  Ὣς ἔφατ'· αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε.

532. ἱκάνει] ἵκηται V. 534. ἀσχαλόων] ἀσχάλλων V. ib. Fοι. ἈχαιFοί. 536. Fοῖκον ἐFείκοσι. 539. πᾶσι κατ' αὐχένας] πᾶσι δὲ κατ' αὐχένος H. 540. μεγάροις] μεγάρῳ V. ib. δῖFαν. 542. Ἀχαιαὶ] Ἀχαιοὶ V. ib. ἈχαιFαί. 547. ὅ τοι] ὅτι H. ὅ, τι V. 550. ἀFεικέα. 551. μελιFηδής.

ἀκρατέφρονα. ἐναντίον οὖν τὸ, φρεσὶ γὰρ κέχρηται οὐκ (del. οὐκ) ἀγαθῇσι (γ'. 266.). τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ, Χαλαφρόσυνά γ' ἔμ' ἔχουσι (π'. 310.), δηλοῦται, οἷον ἄφρονα[k]. Vulg. 533. Vid. not. ad schol. praec. 534. Γρ. ἀσχάλλων. Harl. 536. Πυρὸν ἔδουσιν ἐξ ὕδατος] Ἢ ἀντὶ τοῦ βεβρεγμένον ὕδατι σῖτον· ἢ ἐξιόντες τοῦ ὕδατος ἔνθα διατρίβουσιν. Pal. B. Ἔξω καὶ χωρὶς ὕδατος. Vulg. 547. Ὕπαρ] Τὸ μεθ' ἡμέραν φαινόμενον ἐνύπνιον. Vulg. B.

[k] In ed. ant. huic voci subjicitur sine interpunctione, ἀντὶ τοῦ ἐξελθεῖν. In recentt. vero scholium seorsim proxime subjunctum: 533. Ἐλθέμεν] Ἀντὶ τοῦ ἐξελθεῖν: huic nostro autem scholio addita in fine vox πάλιν (ἄφρονα πάλιν). Nimirum voluerunt: 533. Πάλιν ἐλθέμεν] Ἀντὶ τοῦ ἐξελθεῖν. BUTTM.

παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, οὔπως ἔστιν ὑποκρίνασθαι ὄνειρον
ἄλλῃ ἀποκλίναντ'· ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
πέφραδ', ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ' ὄλεθρος
πᾶσι μάλ'· οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
ξεῖν', ἤτοι μὲν ὄνειροι ἀμήχανοι, ἀκριτόμυθοι,
γίνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισι·
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων·

552. μεγάροισι νόησα] μεγάροις ἐνόησα V. 555. ὑποκρίνασθαι] κρίνασθαι H. 556. ἀποκλίναντ'· ἐπεὶ ῥά] ἀποκλίναντα, ἐπεί ῥα V. 559. προσέειπε. 562. ψευστάων etiam habent Photius et Suidas v. Τυφλῶν ὀνείρων. PORS.

553. Παρὰ πύελον] Παρὰ τὸ ἄγγος ἐν ᾧ αὐταῖς βάλε (sic) πιεῖν. ἐπὶ δὲ τῶν πλυνουσῶν τὰ ἱμάτια πυλυέλους (f. πλυνούς) λέγει· ἀσαμίνθους (sic) δὲ τὰς πρὸς τὸ λουτρὸν, παρὰ τὸ μινύθειν τὴν ἄσιν. B. 558. Post hunc versum in text. Vind. 50. et 133. leguntur duo versus qui habentur etiam infra ύ. 369. 370. 560. Ἀμήχανοι] Πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν. Vulg. Ἀκριτόμυθοι] Ἄκριτα καὶ ἀδιάτακτα (Vulg. ins. καὶ ἀδιάσταλτα) λέγοντες. B. Vulg. 562. Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων] Οἱ μέν φασι κερατίνην πύλην συνεκδοχικῶς τοὺς ὀφθαλμούς· κερατοειδὴς γὰρ ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ· ἐλεφαντίνην δὲ στόμα καὶ ἔσωθεν ἐλεφαντοχρῶτας τοὺς ὀδόντας (hucusque Pal. nisi quod ibi melius — τὸ στόμα, ἐλεφαντοχρῶτες γὰρ οἱ ὀδόντες). ἐκ δὲ τούτων πιστότερα εἶναι τὰ ὁρώμενα τῶν λεγομένων. καὶ ὅτι διὰ μὲν κέρατος οἷόν τε καὶ ἰδεῖν, διὰ δὲ ἐλέφαντος οὔ. ἢ ὅσα ἄν τις ἐν πλησμονῇ τροφῆς ἴδοι ταῦτα εἶναι ψευδῆ. Κερατίνην μὲν τὴν ἀληθῆ τὸ ἔτυμα κραίνειν καὶ τελειοῦν[1]. ἐλεφαντίνην δὲ τὴν ψευδῆ· ἐλεφήρασθαι γὰρ τὸ παραλογίσασθαι καὶ ἀπατῆσαι. Οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων (Il. ψ'. 388.). Τινὲς δὲ οὕτως ἀπέδοσαν. κερατίνην μὲν τὴν ἀληθῆ καὶ διαφανῆ καὶ λάμπουσαν· ἐλεφαντίνην δὲ τὴν ψευδῆ καὶ ἀσαφῆ καὶ συγκεχυμένην. Οἱ δέ φασιν κέρασιν ἀπεικάζειν τοὺς οὐρανίους ὀνείρους οἵτινες καὶ ἀληθεύουσι, τῷ τὰ κέρατα εἰς ὕψος ἀνατείνειν· ἐλέφαντι δὲ τοὺς χθονίους· τὰ γὰρ τῶν ἐλεφάντων κέρατα κάτω νεύει. Διττοὺς δὲ οἶδεν ὀνείρους. ἐπὶ μὲν γὰρ τῶν οὐρανίων φησὶν, Ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν (Il. ά. 63.)· ἐπὶ δὲ τῶν χθονίων, Πὰρ δ' ἴσαν ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην, Ἠ (sic ed. ant. non ἠ δὲ, neque ἠδ') παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων (Od. ώ. 12.). Vulg. Ἀμενηνῶν εἰσὶν ὀνείρων] Ἀνυποστάτων. φαντασίαι γάρ εἰσιν ὀνείρων.

[1] Sic ed. ant. Recentt. post μὲν inserunt γὰρ εἶναι, male: nam particula γὰρ nullus hic locus, ubi nova potius explicatio, quia novum scholium incipit. Sed recte eadem editt. ante τὸ inserunt παρά. Vid. schol. Ambr. ad v. sq. BUTTM.

αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
οἳ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον
ἐλθέμεν· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
στὰς δ' ὅγε πολλὸν ἄνευθε, διαῤῥίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,

565. οἵ ῥ'] οἵ γ'. In marg. οἵ τ' ἐλεφέρονται H. Ex quatuor lectionibus οἵ γ', οἱ δ', οἵ ῥ', et οἵ τ', omnino probanda est tertia, quæ usurpatur eodem modo 567. et tum οἳ μὲν et οἳ δὲ clarius opponuntur. PORS. ib. ϝέπε'. 567. τίς κε ϝίδηται. 570. ϝερέω. 572. ϝοίκου. 573. ἑϝο[illegible] 577. ἐντανύσῃ] ἐντανύσει V. 578. διοϊστεύσῃ] διεύσῃ text. sed si propius inspicies, videbis eadem manu suprascriptum οιστ H. PORS. διοϊστεύσει V.

B. 563. Αἱ μὲν γὰρ κεράεσσι] Οἱ μὲν κέρατα τοὺς ὀφθαλμούς, ἢ (del. ἢ) παρόσον κερατοειδὴς ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ, ἐλέφαντας δὲ τοὺς ὀδόντας. πιστότερα δὲ τῶν λεγομένων τὰ ὁρώμενα. οἱ δὲ κερατίνην μὲν τὴν ἀληθῆ παρὰ τὸ κραίνειν, ἐλεφαντίνην δὲ τὴν ψευδῆ παρὰ τὸ ἐλεφαίρεσθαι. ἢ παρόσον τὰ μὲν κέρατα ἀγχιστεύει ἡγεμονικωτάτῳ, οἱ δὲ ὀδόντες τῇ πλησμονῇ τῆς γαστρός. ἢ ὅτι οἱ μὲν ὀδόντες τῶν ἐλεφάντων κάτω νεύουσιν, τὰ δὲ κέρατα ἄνω. Ὁ δὲ ποιητὴς (ins. δύο) γένη οἶδεν ὀνείρων, ὡς ὅταν λέγῃ, Καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι, καὶ πάλιν, Ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων. B. Q. 573. Πελέκεας] Τὰ σιδήρια τετρυπημένα. Vulg. 574. Ἵστασχ' ἑξείης, δρυόχους ὥς] Οὕτως ἵστησι τοὺς πελέκεις ὡς δρυόχους. δρύοχοι δὲ ξύλα εἰσὶν ὀρθὰ ὑποκάτω τῆς τρόπιδος ἐφ' ὧν ὑπερείδεται, ἵνα μὴ αὐτὴν ἡ ψάμμος ἐσθίῃ. τινὲς δὲ δρυόχους φασὶ τὰ πρῶτα πηγνύμενα ξύλα εἰς ναυπηγίαν. τινὲς δὲ τοὺς πελέκεις τοὺς δρυόχους στελεοὺς ἔχειν εἰωθότας. τὸ δέ, ὡς δώδεκα στοχαστικόν, οἷον, ἴσως δώδεκα. B. Q. Δρυόχους] Κυρίως μὲν τοὺς πασσάλους, ἐφ' ὧν τὴν τρόπιν ἱστᾶσι (hoc verbum e MS. add. Barn.) τῶν καινουργουμένων πλοίων· ἑξῆς δὲ μάλιστα οὕτω τίθενται ἕνεκα τοῦ ἴσην γενέσθαι τὴν ναῦν· νῦν δέ, ἐφ' ὧν ἐτίθει τοὺς πελέκεας. Vulg. 578. Διοϊστεύσει (sic)] Τοξεύσει, διαπεράσει. Vulg.

τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα,
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
τοῦ ποτε μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,
πρὶν τούτους, τόδε τόξον ἐΰξοον ἀμφαφόωντας,
νευρήν τ' ἐντανύσαι, διοϊστεῦσαί τε σιδήρου.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη·
ἀλλ' οὐ γάρ πως ἐστὶν ἀΰπνους ἔμμεναι αἰὲν
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
ἀλλ' ἤτοι μὲν ἐγὼν, ὑπερώϊον εἰσαναβᾶσα,
λέξομαι εἰς εὐνὴν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ' ἐνὶ οἴκῳ,
ἢ χαμάδις στορέσας, ἤ τοι κατὰ δέμνια θέντων.
Ὣς εἰποῦσ' ἀνέβαιν' ὑπερώϊα σιγαλόεντα,

583. Λαϝερτιάδεω. 586. τούτους] τούτοις H. 588. προσέϝειπε. 589. παρήμενος] παρειμένος V. 590. οὔ κέ μοι] οὐκε μοι H. οὐ κέ μοι V. 592. γάρ τε ϝεκάστῳ. 597. ὀνομαστήν] ὀνομαστὸν H. ib. κακοϝίλιον. 598. ἔνθα κε] ἔνθ' αὖ V. ib. λέξεο] λέξαιο H. Unde librarii de metro anxii, pro captu suo, vel λέξεο vel λέξαι efficerent PORS. ib. ϝοίκῳ. 600. ϝειποῦσ'.

Διοϊστεύσῃ] Γρ. διοϊστεύσει. Harl. 579. Ἑσπείμην (sic)] Ἀκολουθήσαιμι. Vulg. 585. Πρὶν γάρ] Τὸ ἑξῆς, πρὶν γὰρ τούτους νευρὴν ἐντανύσαι, πρότερον ἐλεύσεται Ὀδυσσεύς. B. 586. Τόδε] Γρ. ποτέ. Harl. 599. Θέντων] Ἀποθεμένων, δηλονότι τῶν θεραπαινῶν. Vulg. [m]

[m] Barnesius huic scholio subnexuit diversam plane rationem Eustathii, qui ita: θέντωσαν, αἱ δουλίδες δηλαδή. Est sane in explicatione scholiastæ aliquid σολοικοφανές: quod defendi tamen potest. Nam poeta forma masculina uti potuit, eo quod sexum non distincte cogitaret, quamvis revera feminarum hoc ministerium esset. BUTTM.

οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν· ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

603. Foι. 604. Fηδύν.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Υ.

Υ, βρονταῖς Ζεὺς θάρσυν' Ὀδυσσέα, καὶ σχέθ' Ἀχαιούς.

ΑΥΤΑΡ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς·
καμμὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθε
κώεα πόλλ' ὀΐων, τοὺς ἱρεύεσκον Ἀχαιοί·
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
ἔνθ' Ὀδυσεὺς, μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ,
κεῖτ' ἐγρηγορόων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
ἤϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
ἀλλήλῃσι γέλωτα καὶ εὐφροσύνην παρέχουσαι.
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι·
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν,
ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
ἦ ἔτ' ἑῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
ὕστατα καὶ πύματα· κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα,
ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι·

1. δῖϜος. 3. ἱρεύεσκον] ἱερεύεσκον H. ib. ὀϜίων. ἈχαιϜοί. 7. περ] γε περ H. 8. γέλωτα] γέλων τε H. V. γέλω τε W. 10. μερμήριζε] μερμήριξε H. 11. Ϝεκάστῃ. 12. ἑῷ] ἐῷ V. 13. Ϝοι. 14. ἀμαλῇσι] ἀπαλῇσι pro v. l. V.

Ὑπόθεσις. Βουληθεὶς ἀνελεῖν ὁ Ὀδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι θεραπαίνας, ὕστερον δὲ μεταγνοὺς, διὰ τῶν ἑξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται· ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία. Q. Pal. Vulg. 1. Εὐνάζετο] Ἀνεπαύετο. ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. Vulg. 2. Ἀδέψητον] Ἀνέργαστον,

ὥς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα·
στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δὴ, κραδίη· καὶ κύντερον ἄλλο πότ' ἔτλης,
ἤματι τῷ, ὅτε τοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
ἐξάγαγ' ἐξ ἄντροιο, ὀϊόμενον θανέεσθαι.
Ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα
νωλεμέως· ἀτὰρ αὐτὸς ἐλίσσετο ἔνθα καὶ ἔνθα.
ὡς δ' ὅτε γαστέρ' ἀνὴρ, πολέος πυρὸς αἰθομένοιο,
ἐμπλείην κνίσσης τε καὶ αἵματος ἔνθα καὶ ἔνθα
αἰόλλει, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι·
ὡς ἄρ' ὅγ' ἔνθα καὶ ἔνθα ἐλίσσετο, μερμηρίζων,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει,
μοῦνος ἐὼν πολέσιν· σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
οὐρανόθεν καταβᾶσα· δέμας δ' ἤϊκτο γυναικί·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπε·

16. ὥς ῥα] ὣς ἄρα H. ib. Ϝέργα. 17. στῆθος] στήθεα V. 19. τοι] μοι H. V. 23. Initio versus vulgatam servant Harl. et Hesychius v. πείσῃ. Sed scholiastes ad Il. κ'. 290. in cod. Wetsteniano apud Valckenaerium ad schol. in Euripidis Phœniss. 271. n. 71. p. 643. habet τῷ δ' ἄρα τ' ἔπεισα, unde is τῷ δ' ἄρα τ' aut τῷ δὲ μάλ'. In cod. Veneto, τῷ δ' ἄρ' ἐν. Sed in Townleiano, τοῖ δ' ἄρ' ἔτ' ἐν π. quæ certe probabilis lectio. PORS. 24. νωλεμέως· αὐτὸς δὲ Ϝελίσσετο. 27. αἰόλλει] αἰόλλῃ, (sic) H. Apollonius αἰολλῇ. PORS. αἰόλλῃ V. W. 28. Ϝελίσσετο. 29. ἐφήσει] ἐφήσῃ V. 30. Ϝοι. 31. δὲ ϜέϜικτο. 32. ἔϜειπε.

ἀμάλακτον. δεδευγμένου τὰ μεμακασμένον* καὶ ἠργασμένον. B. Q. 16. Ἀγαιομένου] Ἄγαν θαυμάζοντος· ἢ χαλεπαίνοντος. Q. Vulg. Μεμφομένου ἢ ἐκπληττομένου. B. 17. Ἠνίπαπε] Ἐνουθέτησεν. Vulg. 22. Καθαπτόμενος φίλον ἦτορ] Καταστέλλων, τὴν ἀπόστασιν ποιούμενος εἰς τὴν ψυχὴν ὥστε αὐτῆς ἅψασθαι τὰ λεγόμενα. Vulg. 23. Ἐν πείσῃ] Ἀντὶ τοῦ κατὰ χώραν. οὐκέτι ἦν ἐν κινήσει, ἀλλ' ἐν δεσμοῖς ἔμενεν. ἢ ἐν οἷς ἐπέπειστο καὶ ἐγνώκει. οἷον, οὐκ ἔμελεν αὐτῷ. Vulg. (Barn.) Πείσῃ ἡ πειθοῖ ἀπὸ τοῦ πείσω. B. "Interpr. ἐν "πειθοῖ." PORS. ex Harl. 27. Αἰόλλῃ (sic Vulg. et Ambrr.)] Ποικίλως στρέφῃ ἢ κινεῖ (sic). Vulg. Καὶ παρὰ ἄελλαν, ὅθεν καί, Πόδας αἰόλος ἵππος (Il. τ'. 404.). ὁ εὐκίνητος τοὺς πόδας· καί, κορυθαίολος, ὃν ἀλλαχοῦ Κορυθάϊκα (Il. χ'. 132.) εἶπε· καί, Αἰόλαι εὐλαί (εὐλαί. Il. χ'. 509.)· καί, Αἰολοπώλα (scr. -ους, Il. γ'. 185.)· καί, Σφῆκες μέσον αἰόλαι (Il. μ'. 167.).

* Scr. vid. δεδεψημένον τὰ μεμαλαγμένον. BUTTM.

Τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκῳ,
καὶ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ναὶ δὴ ταῦτά γε πάντα, θεὰ, κατὰ μοῖραν ἔειπες·
ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω
μοῦνος ἐών· οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔασι.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω,
εἴπερ γὰρ κτείναιμι, Διός τε σέθεν τε ἕκητι,
πῆ κεν ὑπεκπροφύγοιμι; τὸ σὲ φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
ὅσπερ θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδεν·
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοις· ἐρέω δέ τοι ἐξαναφανδόν·
εἴπερ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες ἄρηϊ,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
ἀλλ' ἑλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
πάννυχον ἐγρήσσοντα· κακῶν δ' ὑπὸ δύσεαι ἤδη.
Ὣς φάτο· καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν·
αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων,
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
λυσιμελής· ἄλοχος δ' ἄρ' ἐπέγρετο κέδν' εἰδυῖα·

34. Ϝοῖκος. Ϝοίκῳ. 37. ἔϜειπες. 41. δ' ἔτι] δέ τοι (τι) H. 42. Ϝέκητι. 43. τὸ σὲ] τά σε H. V. 44. προσέϜειπε. 46. θνητός τ' ἐστὶ] θνητός ἐστι H. ib. Ϝοῖδεν. 48. Ϝερέω. 51. Ϝίφια. 53. ὑπὸ δύσεαι] ἀποδύσεαι, ex emend. H. V. 54. Ϝοι. 55. αὐτὴ δ' ἂψ] αὐτὴ δ' αὖτ' ex emend. H. ib. et 60. δῖϜα. 57. κεδνὰ Ϝιδυῖα.

B. Q. 49. Εἴπερ πεντήκοντα λόχοι] Ὁ λόχος ἐξ ἀνδρῶν λ'. οἱ ν' λόχοι ἐκ τοσούτων ἀνδρῶν συνάγουσι μίαν ἡμίσειαν χιλιάδα. B. 50. Ἄρης νῦν ὁ σίδηρος. Vulg. 52. Ἀνίη καὶ τὸ φυλάσσειν] Ἀνία ἐστὶ καὶ τὸ δι' ὅλης νυκτὸς ἀγρυπνεῖν. Vulg. et B. qui addit, ὥσπερ τινὰ φυλάσσοντα. 53. Κακῶν δ' ὑποδύσεαι ἤδη] Κάκωσιν ὑπεισέλθῃς (κακώσεως ὑπεξέλθῃς em. Barn.). Ἤδη] Παραυτίκα. Vulg. Κακῶν δ' ὑπὸ δύσεαι] Ἢ κοιμηθεὶς ἢ (del. ἢ) ἀπαλλαγήσῃ τῶν κακῶν, ἢ μὴ κοιμηθεὶς κακώσῃ. Ὑπεισέλθῃς. Ἀντὶ τοῦ κακωθῆ-

κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμὸν,
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·
Ἄρτεμι, πότνια θεὰ, θύγατερ Διὸς, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
αὐτίκα νῦν· ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
ἐν προχοῇς δὲ βάλοι ἀψοῤῥόου Ὠκεανοῖο.
ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι·
τῇσι τοκῆας μὲν φθῖσαν θεοί· αἱ δὲ λίποντο

59. ἕν. 67. τῇσι] τοῖσι et suprascrip. γρ. τῇσι H.

ση, βλαβήσῃ. B. Q. 63. Ἢ καὶ ἔπειτα (sic)] Νῦν ἀντὶ τοῦ παραυτίκα. Vulg. 64. Ἠερόεντα κέλευθον (sic)] Τὸν ἀέρα· ἢ τὸν ᾅδην. Vulg. 65. Ἀψόῤῥου (sic Vulg. et Ambrr.) ὠκεανοῖο] Τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν καὶ ἄψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. B. Q. Vulg. Ὁποῖόν ἐστι καὶ τὸ Ἂψ περιτελλομένου ἔτεος (λ'. 295.). B. Q. 66. Ὡς δ' ὅτε Πανδαρέου[b] κούρας] Πανδάρεως ὁ Μέροπος καὶ νύμφης ὀρείας (Vulg. ὀρειάς, f. ὀρειάδος) παῖς, Μιλήσιος τὸ γένος γήμας Ἁρμαθόην τὴν Ἀμφιδάμαντος ἴσχει (Q. ἔσχε) παῖδας τρεῖς, Ἀηδόνα καὶ Κλεοθήραν καὶ Μερόπην, ἃς τρέφουσιν Ἀφροδίτη καὶ Ἀθηνᾶ καὶ Ἥρα. Πανδάρεως δὲ παραγενόμενος εἰς Κρήτην κλέπτει τὸν τοῦ Διὸς κύνα. καὶ αὐτὸν οὐκ ἤνεγκεν εἰς Μίλητον δείσας τὸν Δία, παρὰ Ταντάλῳ δὲ εἰς Φρυγίαν κατατίθεται φάμενος ἄγειν ἐκ Φοινίκης τοῦτον. ὁ δὲ Τάνταλος δεξάμενος ἐφύλασσεν. ἔπειτα κελεύσαντος Διὸς ἐρευνῆσαι τὸν κύνα παραγίνεται πρὸς τὸν Τάνταλον ὁ Ἑρμῆς. ὁ δὲ ἀρνεῖται καὶ ὄμνυσι τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς μὴ συνειδέναι τι περὶ τοῦ κυνός. ὁ δὲ Ἑρμῆς εὑρίσκει αὐτὸν παρ' αὐτῷ. Ὡς δὲ ὁ Πανδάρεως ἐπύθετο, φεύγει ἐκ τῆς πατρίδος σὺν τῇ γυναικὶ Ἁρμαθόῃ καὶ ταῖς θυγατράσιν ἀγάμοις οὔσαις Κλεοθήρᾳ τε καὶ Ἀηδόνι καὶ Μερόπῃ εἰς Ἀθήνας, ἐκ δὲ Ἀθηνῶν εἰς Σικελίαν. ὁ δὲ Ζεὺς αὐτὸν ἰδὼν κτείνει σὺν τῇ γυναικὶ, ταῖς δὲ θυγατράσιν αὐτοῦ τὰς Ἁρπυίας ἐφορμᾷ. αἱ δὲ ἀνελόμεναι Ἐριννύσιν αὐτὰς διδόασι δουλεύειν. οὐ μὴν ἀλλὰ καὶ νόσον αὐταῖς ἐμβάλλει Ζεύς. καλεῖται δὲ αὕτη κύων. Q. Vulg. Κούρας ἀνέλοντο θύελλαι] Καὶ τοῦτο συναπτέον τοῖς ἄνω. ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα οἴχοιτο προφέρουσα, ὡς ὅτε (omisso δ', quod est in textu) Πανδάρεω κούρας. Λέγει δὲ τὰς παρθένους Μερόπην καὶ Κλεοθήραν. ἡ γὰρ φονεύσασα τὸν Ἴτυν ἐγαμήθη Ζήθῳ. B. Q. 67. Τῇσι τοκῆας (Q.) vel Αἱ δὲ λίποντο ὀρφαναί (Vulg.)] Προσέθηκε τὸ κεφάλαιον[c]. ὕστερον γὰρ συνέβη. καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεθρέψατο Ἀφροδίτη, ἀλλὰ

[b] Sic Q. et Vulg. Et in hoc quidem scholium hoc ad rhapsodiae finem rejectum pro lemmate habet versus integros 66—71. cum nulla varietate praeter δ' ἐλίποντο pro δὲ λ. et meris aliquot mendis. Narrationem scholii confer cum scholio ad τ'. 518. BUTTM.

[c] Mediol. addit ὕστερον, mendose, opinor, repetitum. Videturque adeo legendum συνέθηκε. BUTTM.

ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῷ, καὶ μέλιτι γλυκερῷ, καὶ ἡδέϊ οἴνῳ·
Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
εἶδος καὶ πινυτὴν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνὴ,
ἔργα δ' Ἀθηναίη δίδαε κλυτὰ ἐργάζεσθαι.
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃσ' αἰτήσουσα τέλος θαλεροῖο γάμοιο,
ἐς Δία τερπικέραυνον· ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
μοῖράν τ', ἀμμορίην τε, καταθνητῶν ἀνθρώπων·
τόφρα δὲ τὰς κούρας Ἅρπυιαι ἀνηρείψαντο,
καί ῥ' ἔδοσαν στυγερῇσιν Ἐρινύσιν ἀμφιπολεύειν·
ὣς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
ἠέ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη, καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακὸν, ὁππότε κέν τις
ἤματα μὲν κλαίῃ πυκινῶς ἀκαχήμενος ἦτορ,
νύκτας δ' ὕπνος ἔχῃσιν· ὁ γάρ τ' ἐπέλησεν ἁπάντων
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψῃ·
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων.
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
τοῖος ἐὼν, οἷος ᾖεν ἅμα στρατῷ· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ', ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη.



68. δῖϜ. 69. Ϝηδέϊ Ϝοίνῳ. 71. Ϝεῖδος. 72. Ϝέργα. Ϝεργάζεσθαι. 73. δῖϜα. 74. κούρῃσ'] κούρῃς V. 75. Ϝοῖδεν. 80. ἠέ μ'] ἢ ἐμ' W. 83. ἔχει] ἔχειν H. 86. ἀμφικαλύψῃ] ἀμφικαλύψαι H. V. W. 88. αὖ] αἱ, et ἂν pro v. l., V. ib. Ϝείκελος. 89. ᾖεν] ἔεν V.

πρὸ τῆς ὀρφανίας. οὕτω συντακτέον (Vulg. τὸ δὲ ἑξῆς τοῦ λόγου)· τῇσι τοκῆας (Q. γονῆας) μὲν φθῖσαν θεοί. Ἀφροδίτη δὲ πρὸς τὸν Δία αἰτήσουσα αὐταῖς γάμον παρεγένετο. ἐν δὲ τούτῳ Ἅρπυιαι αὐτὰς ἀνηρείψαντο. Δι' ὅλου δὲ αὐτὰς αἱ θεαὶ ἀνεθρέψαντο ἀγνοοῦσαι τὸ πεπρωμένον. μόνος γὰρ ὁ Ζεὺς οἶδε μοῖράν τ' ἀμμορίην τε (76.) ἀμφοῖν. Vulg. Q. 71. Μῆκος δ' ἔπορε] Κουροτρόφος γὰρ ἡ θεὸς ὁμοίως τῷ ἀδελφῷ Ἀπόλλωνι. Vulg. 74. Τέλος θαλεροῖο γάμοιο] Περιφραστικῶς τὸν γάμον. B. Q. 76. Μοῖραν] Εὐμοιρίαν, εὐδαιμονίαν. Ἀμμορίην] Κακομοιρίην, ὅ ἐστι κακομοιρίαν. Vulg. 80. Ἠέ μ' ἐϋπλόκαμος βάλοι] Τὸ ἑξῆς, ἵνα καὶ γαῖαν ὑπὸ στυγερὴν ἀφικοίμην θεασαμένη Ὀδυσσέα. B. 82. Ἀνδρὸς ἐϋφραίνοιμι νόημα] Μηδὲ ἄλλῳ τινὶ συμμιγείην

Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν ἠώς.
τῆς δ' ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς·
μερμήριζε δ' ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
ἤδη γινώσκουσα παρεστάμεναι κεφαλῆφι.
χλαῖναν μὲν συνελὼν καὶ κώεα, τοῖσιν ἐνεῦδεν,
ἐς μέγαρον κατέθηκεν ἐπὶ θρόνου· ἐκ δὲ βοείην
θῆκε θύραζε φέρων· Διῒ δ' εὔχετο, χεῖρας ἀνασχών·
Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
ἤγετ' ἐμὴν ἐς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν· ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητιέτα Ζεύς·
αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου
ὑψόθεν ἐκ νεφέων· γήθησε δὲ δῖος Ὀδυσσεύς.
φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο ποιμένι λαῶν.
τῇσι δὲ δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες,
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.
αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν·
ἡ δὲ μί' οὔπω παύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο·
ἥ ῥα μύλην στήσασα, ἔπος φάτο, σῆμα ἄνακτι·
Ζεῦ πάτερ, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,

92. Ϝόπα. δῖϜος. 93. μερμήριζε a m. pr. μερμήριξε ex emend. H. ib. Ϝοι. 97. εὔχετο] εὔξατο H. V. W. 100. φήμην primo scriptum, sed circumflexus super acutum positus et ιν super ην H. PORS. φημην V. 104. δῖϜος. 105. φήμην] φῆμιν sine ulla varietate H. ib. Ϝοίκοιο. 106. Ϝοι. λαϜῶν. 107. τῇσι δὲ] τῇσιν H. 108. ἀλείατα] ἀλείφατα H. 109. πυρὸν et suprascr. σῖτον H. 110. δ' ἐτέτυκτο] γὰρ τέτυκτο, sed δ' ἐ super γὰρ H. 111. Ϝέπος. Ϝάνακτι. 112. Ϝανάσσεις.

ἀνδρί. Q. 97. Θύραζε φέρων] Ἐνταῦθα οἱ μνηστῆρες. Vulg. 104. Ὑψόθεν ἐκ νεφέων] Πῶς οὖν φησιν ἡ ἀλετρὶς, οὐδέποτε (sic) νέφος ἐστίν; νῦν τὸν τόπον ἔφη Ἀττικῶς ἐν ᾧ εἰώθει συνίστασθαι τὰ νέφη. ἢ τῶν χρυσῶν νεφῶν ἃ ἦν ἐν οὐρανῷ· Ἀλλ' ὅ γ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν (Il. ν'. 523.). Vulg. Ἐκ τοῦ τόπου ὅπου εἰώθασιν εἶναι τὰ νέφη. ἐπιφέρει γὰρ ἡ ἀλετρὶς οὐδέποθι νέφος ἐστίν. B. Q. (sed male ad 114.) 106. Εἵατο, φιλῶς, ὑφ' ἧ. ἧσαν. Vulg. 107. Ἐπερρώοντο] Ἐῤῥωμένως ἐνήργουν. Vulg. Ἐῤῥωμένως ἐκίνουν. B. 108. Ἄλφιτα] Τὰ ἀπὸ κριθῆς ἄλευρα. B. (ad 119.) Ἀλείφατα (sic mendose B. et Vulg. ed. ant.) δὲ τὰ ἀπὸ (Vulg. ἐκ τῶν) πυρῶν ἄλευρα.

ἦ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος,
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις·
κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅ, ττι κεν εἴπω·
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινήν·
οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν,
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν.
Ὣς ἄρ' ἔφη· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς,
Ζηνός τε βροντῇ· φάτο γὰρ τίσασθαι ἀλείτας.
Αἱ δ' ἄλλαι δμωαὶ κατὰ δώματα κάλ' Ὀδυσῆος
ἀγρόμεναι ἀνέκαιον ἐπ' ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο ἰσόθεος φὼς,
εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ·
ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, πρὸς δ' Εὐρύκλειαν ἔειπε·
Μαῖα φίλη, πῶς ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκῳ
εὐνῇ καὶ σίτῳ; ἢ αὔτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμοὶ μήτηρ, πινυτή περ ἐοῦσα,
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·

115. ϝέπος. ϝείπω. 120. δῖϝος. 124. ϝισόθεος. 125. ϝείματα ϝεσσάμενος. 126. ὑπαὶ] ὑπὸ H. W. 128. ἔϝειπε. 129. πῶς ξεῖνον] πῶς τὸν ξεῖνον H. τὸν ξεῖνον W. ib. ϝοίκῳ. 131. ἐμοὶ] ἐμὴ H. 132. ἐμπλήγδην] ἐκπλήγδην V. 134. περίφρων] φίλη τροφὸς V. ib. προσέϝειπε.

B. Vulg.: et cod. B. quidem hoc utrumque non bene ad 119. 113. Ἐβρόντησας ἀπ' οὐρανοῦ] Οὕτως ἡ ἀλετρίς φησιν κατὰ τὴν κοινὴν ὑπόνοιαν. ἢ ὅτι τὰ ὑψηλὰ τοῦ Ὀλύμπου ἐπουράνιά ἐστι. Vulg. 130. Ἀκηδὴς] Ἀτημέλητος. Vulg. 131. Τοιαύτη γὰρ ἐμοὶ μήτηρ] Οὐ διαβάλλει τὴν μητέρα, ἀλλὰ λέγει ὅτι τοὺς μὲν πτωχοὺς εὐαγγελιζομένους περὶ Ὀδυσσέως τιμᾷ καίπερ ψευδομένους, τοὺς δὲ ἀγαθοὺς διὰ τὸ μὴ ψεύδεσθαι ἀτιμάζει. Q. 132. Ἐκπλήγδην[a]] Ἐκπληκτικῶς. ἢ ἀκρίτως καὶ ὡς ἂν τύχῃ ἐμπελάζουσα τοῖς πράγμασι. Vulg. Ἐμπλήγδην] Παραφρόνως. ὅθεν καὶ ἐκπληκτικοὶ οἱ παράφρονες. Q. Ὡς ἔτυχεν ἐμπελάζουσα τοῖς πράγμασι. B. 134. Εὐρύκλεια] Γρ. Πηνελόπεια. Harl.

[a] Sic ed. ant. Sed apparet in utroque scholio ἐμπλήγδην, ἐμπληκτικῶς et -εἰ scribendum esse. BUTTM.

οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο.
οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὄφρ' ἔθελ' αὐτός·
σίτου δ' οὐκέτ' ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
ἡ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμωῇσιν·
αὐτὰρ ὅγ', ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
ἔδραθεν ἐν προδόμῳ· χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς.
Ὣς φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο.
βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' ἐϋκνήμιδας Ἀχαιούς.
ἡ δ' αὖτε δμωῇσιν ἐκέκλετο δῖα γυναικῶν
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
ῥάσσατέ τ'· ἐν δὲ θρόνοισ' εὐποιήτοισι τάπητας
βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας,
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ' ὕδωρ
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι·
οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,

135. αἰτιόῳο] αἰτιόῳ, et ἀντιόωσιν pro v. l. V. 136. πῖνε] πίνε et suprascr. ἔπινε H. ib. ϝοῖνον. 141. ἔθελ' ἐν] ἔθελε H. 143. ἔδραθεν ἐν] ἔδραθ' ἐνὶ H. V. W. ib. ἐπιϝέσσαμεν. 146. Ἀχαιϝούς. 147. δῖα. 150. ἐν δὲ θρόνοισ' εὐποιήτοισι] ἔν τε θρόνοισιν εὐ. H. ἔν τε θρόνοις εὐποιητοῖσι V. ἔν τε θρόνοις εὐ. W. 153. δέπα] δέπα' H.

137. Σίτου δ' οὐκέτ' ἔφη] Κατὰ τὸ σιωπώμενον ἐκδεκτέον τοῦτο. Vulg. 149. Κορήσατε] Σαρώσατε. εἴρηται δὲ κατ' ἀντίφρασιν, ὡς καὶ τὸ σάρον ὄφελμα καλεῖται οὐκ αὖξόν τι ἀλλὰ τοὐναντίον παραιρούμενον καὶ μειοῦν. Vulg. 152. Ἀμφιμάσασθε] Ἀπομάξατε (Barn. e MS. ἀπομάξατε). Vulg. Καθήρατε δὲ κρητῆρας] Καθάρατε. ὅθεν κόρημα. τινὲς γὰρ οὖν κόρη ἡ καθαρά· καὶ ὀφθαλμοῦ κόρη τὸ διειδέστατον. τόγε ἐκκορηθείης ἐκβληθείης ὡς κάθαρμα. Καθήρατε καὶ καθάρατε. B. Q. 153. Καὶ δέπα ἀμφικύπελλα τετυγμένα] Καὶ τὰ ποτήρια γεγονημένα περιφερῆ. B. 155. Οὐ γὰρ δὴ μνηστῆρες απεσσονται (sic sine accentu, quippe in majusculis) μεγάροιο ἀλλὰ μάλα εἰρηταῖ σε ἐπεὶ καὶ πᾶσιν ἑορτή *] Τὴν νουμηνίαν πάντων τῶν θεῶν νομίζουσιν εἶναι. ταύτῃ γὰρ οἱ

* Juvabit mendosa haec cum textu conferre. BUTTM.

ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή.
Ὣς ἔφαθ'· αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
αἱ δ' αὐτοῦ κατὰ δώματ' ἐπισταμένως πονέοντο.
Ἐς δ' ἦλθον δρηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα
εὖ καὶ ἐπισταμένως κέασαν ξύλα· αἱ δὲ γυναῖκες
ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι·
Ξεῖν', ἦ ἄρτι σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
ἦέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
αἲ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
ἣν οἵδ' ὑβρίζοντες ἀεικέα μηχανόωνται
οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν,

157. αἱ] αἳ V. 158. ἐϝείκοσι. 160. ἐς] ἐκ H. V. ib. ἀγήνορες] Ἀχαιῶν W. 161. αἱ] ταὶ H. W. 166. ἄρτι] ἄρ τί W. ib. Ἀχαιϝοὶ. 170. ἀεικέα] ἀτάσθαλα H. W. ib. ἀϝεικέα. 171. ϝοίκῳ.

τρόγωνα τοῖς θεοῖς ἀνέθεσαν διὰ τὸ πρώτην αὐτὴν εἶναι τοῦ μηνός, πάσας τε τὰς ἀρχὰς προσῆψαν αὐτοῖς, ὀρθῶς ποιοῦντες. τοὺς γὰρ ἀπάντων ἄρχοντας τοὺς ἡμᾶς (τοῖς ἡμᾶς em. Barn.) χρὴ γεραίρειν. καὶ τῶν σίτων τὰς ἀπαρχὰς πᾶσι τοῖς θεοῖς ἀπονέμομεν. τοῦ δ' Ἀπόλλωνος ταύτην εἶναι νομίζειν τὴν ἡμέραν εἰκότας τὸ πρῶτον φῶς τῷ αἰτιωτάτῳ τοῦ πυρός[f], ἐκάλουν τε αὐτὸν καὶ Νεομήνιον. ἡ ἱστορία παρὰ Φιλοχόρῳ (fr. Siebelis p. 93.). Vulg. in fine libri.

Ἐπεὶ καὶ πᾶσιν ἑορτή] Ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νουμηνίαν παρατίθεται Ἀπόλλωνος ἱεράν, ἵνα τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. Vulg. 160. Ἐκ δ' ἦλθον] Γρ. ἐς. Harl. 163. Τρεῖς σιάλους] Διὰ τὴν ἑορτὴν τρεῖς ἄγει. ἕνα γὰρ καθ' ἡμέραν εἰώθει. Σιάλους δὲ τοὺς εὐτραφεῖς καὶ ἡμέρους, χλούνας δὲ τοὺς ἀγρίους. B. 166. Ξεῖν' ἦ ἄρ τι] Δύο μέρη λόγου τὸ ἄρ καὶ τὸ τί. B. 171. Οὐδ' αἰδοῦς μοῖραν ἔχουσι] Οὐδὲ

[f] Barnes. pro εἰκότας reposuit εἰκὸς, ὡς. Siebelis melius proposuit νομίζομεν pro νομίζειν. Mihi tamen verius videtur ἐνόμιζον—ἐκάλουν τε. Dativus τῷ αἰτιωτάτῳ negligentiae exscriptoris videtur tribuendus, participium ἀναθέντες vel simile mente concipientis. Ad rem conf. infra schol. φ'. 258. quod pariter ex Philochoro excerptum esse observat Hemst. ad scholium hoc itidem faciens in Aristoph. Plut. 1127. Cognomen Apollinis Neomenii nondum usquam hinc inveni enotatum. BUTTM.

αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα,
ἀνέρας αἰτίζων; ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω,
πρὶν χειρῶν γεύσασθαι· ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν.
Ὣς φάτο· τὸν δ' οὔτι προσέφη πολύμητις Ὀδυσσεύς,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
βοῦν στεῖραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας·
πορθμῆες δ' ἄρα τούς γε διήγαγον, οἵ τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην, ἄγχι παραστάς·
Τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ' ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
δύσμορος· ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι.
ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀϊζύν.

176. κατέδησεν H. Sed primo, ut opinor, erat κατέδησαν. PORS. κατέδησαν V. 180. διακρινέεσθαι] διακρίνασθαι V. 182. αἰτίζεις] αἰτίζῃς H. αἰτίζοις V. ib. ἄλλαι] ἄλλοθι V. ib. Ἀχαιϝῶν. 188. εἰσαφίκηται] εἰσαφίκηται (superscr. οντο) H. 189. κατέδησεν] κατέδησαν V. 193. ϝοι. 194. ϝέϝοικε. ϝάνακτι. 196. ἐπικλώσωνται] ἐπικλώσονται H. V.

ὀλίγον αἰδοῦνται. Vulg. 182. Εἰσὶ δὲ καὶ ἄλλοθι (sic ed. ant.)] Οὐ διαπαντός. ἀλλ' ὁρᾷ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος. Vulg. Εἰσὶν δὲ καὶ ἄλλαι] Γρ. καὶ ἄλλοθι. Harl. 186. Βοῦν στεῖραν] Τῶν γὰρ ἀτόκων τὸ κρέας κάλλιστον. B. 187. Πορθμῆες δ' ἄρα τούσγε διήγαγον] Οὗτοι γὰρ ἐν τῇ ἠπείρῳ ἐνέμοντο καὶ χρεία ἦν πορθμέως. φησὶ γάρ, Δώδεκ' ἐν ἠπείρῳ ἀγέλας, τόσα πώεα οἰῶν (ξ. 100.). ἡ δὲ ἤπειρος ἀντικρὺ τῆς Ἰθάκης. Κεφαληνία δὲ καὶ αὐτὴ ὠνομάζετο ὑπ' Ὀδυσσέα οὖσα. Deest sigla cod. Πορθμῆες] Οἱ παραφέροντες. Vulg. Cf. Barn. Γρ. Πορθμῆες γὰρ αὐτούς γε. Harl. 195. Δυόωσι] Εἰς δύην καὶ κακοπάθειαν βάλλουσι. Q. Δυόωσι superscripto υ text. Γρ. καὶ δυόωσιν, ἤτοι ἐν δύῃ καὶ κακώσει μεταβάλλουσιν, ἢ εἰς δύαν ἐμβάλλουσιν. Vind. 133. 196. Ἐπικλώσονται ὀϊζύν] Οὐδὲ ἀξίων δυναστῶν

Ἦ, καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Χαῖρε, πάτερ, ὦ ξεῖνε, γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτὸς,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
μνησαμένῳ Ὀδυσῆος· ἐπεὶ κἀκεῖνον ὀΐω
τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
εἰ δ' ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤ μοι ἔπειτ' Ὀδυσῆος ἀμύμονος, ὅς μ' ἐπὶ βουσὶν
εἷσ' ἔτι τυτθὸν ἐόντα, Κεφαλλήνων ἐνὶ δήμῳ.
νῦν δ' αἱ μὲν γίνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ' ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ' ἄλλοι με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι· οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ' ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι

198. Fέπεα. 199. ἔς περ] ὥσπερ H. 200. ἀτὰρ μὲν] ἄταρ μὲν, et ν post α in ἄταρ et γρ. ἐμὲ supra μὲν H. 202. αὐτὸς] αὐτοὺς V. 204. μοι ὄσσε] παρειαὶ pro v. l. V. 211. ἄλλως] ἄλλῳ, sed ex rasura H. ἄλλῳ V. 212. ὑποσταχύοιντο Apollonius in v. PORS. 213. ἀγινέμεναι] ἀγεινέμεναι V. 216. Fάνακτος.

τοι. B. 202. ΕΠΕΩΔΗ[a] ΓΕΙΝΕΑΙ. καθὸ πατὴρ ἀνδρῶν τε θεῶν (add. τε). ΓΕΙΝΕΑΙ. γεννήσεις (scr. γεννήσῃς). Vulg. 204. Ἴδιον ὡς ἐνόησα] Ψιλωτέον τὸ ἴδιον. κυρίως μὲν ἴδρωσα[b] νῦν δὲ ἠγωνίασα. παρακολουθεῖ γὰρ τοῖς ἀγωνιῶσι καὶ ἴδρως (sic), καθὸ ἴδος τὸ θέρος ἢ τὸ θερινὸν κατάστημα ἐπειδὴ ὑγρόν. οὕτως δὲ καὶ τὸ, Ἴδει ἐν αἰνοτάτῳ[c]. παρὰ τὸ ἴδιον δὲ καὶ τὸ ἔνδιος, καὶ ἐν συγκοπῇ, Ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλὸς (δ. 450.), ὅτε ὁ ἥλιος καίει. B. 206. Λαίφεα] Ῥάκη ἢ λεπτὰ ἱμάτια. Vulg. Κυρίως τῶν πλοίων αἱ ὀθόναι, νῦν δὲ τὰ παχέα ἱμάτια. Q. 209. Ἐπὶ βουσίν] Γρ. ἐνὶ. Harl. 212. Ὑποσταχύοιτο]

[a] Sic ed. Argent. mendose pro ἐπειδή: text. ed. ἐπὴν δή. BUTTM.
[b] Sic cum leni etiam glossa vulg. in ed. ant. Ἴδιον, ἴδρωσα, ἠγωνίασα. BUTTM.
[c] Dixeris ex Homero citatum pro illo Στείνει ἐν αἰνοτάτῳ Il. θ. 476. sed est ex Hesiod. Ἀ. 297. Vid. Heyn. ad illum locum. BUTTM.

πόλλ' ἐπιδινεῖται· μάλα μὲν κακὸν, υἷος ἐόντος,
ἄλλων δῆμον ἱκέσθαι, ἰόντ' αὐτῇσι βόεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἐπ' ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων· ἐπεὶ οὐκέτ' ἀνεκτὰ πέλονται·
ἀλλ' ἔτι τὸν δύστηνον ὀΐομαι, εἴποθεν ἐλθὼν
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Βουκόλ', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,
γινώσκω δὲ καὶ αὐτὸς, ὅ τοι πινυτὴ φρένας ἵκει,
τοὔνεκά τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ἦ σέθεν ἐνθάδ' ἐόντος ἐλεύσεται οἴκαδ' Ὀδυσσεύς·
σοῖσιν δ' ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ' ἐθέλῃσθα,
κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσι.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
γνοίης, οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
ἤρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,
αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν·
Ὦ φίλοι, οὐχ ἡμῖν συνθεύσεται ἥδε γε βουλὴ,

219. ἄλλων] ἄλλον V. ib. αὐτῇσι] αὐτοῖσι H. 220. τὸ δὲ] τόδε H. 221. ἀλλοτρίῃσι ex emend. H. 227. ϝέϝοικας. 228. ὅ τοι] ὅτι H. 229. ϝερέω. 230. ϝίστω. 231. ϝιστίη. 232. οἴκαδ'] ἕως V. ib. ϝοίκαδ'. 235. προσέϝειπε. 236. ϝέπος. 237. γνοίης] γνοίης χ' H. V. W. 238. ἐπεύξατο] ἐπηύξατο V. 239. ϝόνδε. 244. μετέϝειπεν.

Αὔξοιτο. Q. Ὑποσταχύοιτο] Ἐπαύξοιτο. Vulg. 218. Πόλλ' ἐπιδινεῖται] Ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμὸς, πολλὰς στροφὰς λαμβάνει. Vulg. 230. Ξενίη τε τράπεζα] Γρ. ὕπατος καὶ ἄριστος. Harl. 245. Συνθεύσεται] Συν-

Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
ἐλθόντες δ' ἐς δώματ' Ὀδυσσῆος θείοιο,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων· ἐν δ' ἄρα οἶνον
κρητῆρσιν κερόωντο· κύπελλα δὲ νεῖμε συβώτης.
σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
καλοῖς ἐν κανέοισιν· ἐῳνοχόει δὲ Μελανθεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδόν,
δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν·
πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν
ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων· ἐπεὶ οὔτοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος· ἐμοὶ δ' ἐκτήσατο κεῖνος.

247. ἐπεϝήνδανε. 250. ὄϝις. 252. δ' ἄρα] δέ τε H. W. ib. ϝοῖνον. 255. ἐῳνοχόει] ἐνῳνοχόει a m. pr., ν additum e recensione H. PORS. ib. ϝεωνοχόει. 259. παραθεὶς] καταθεὶς suprascr. pro v. l. H. καταθεὶς etiam Apollonius Lexico v. ἀεικέλιον PORS. καταθεὶς W. ib. ἀϝεικέλιον. 260. καὶ ϝοῖνον. 261. ἔϝειπεν. 262. ϝοινοποτάζων. 265. Ὀδυσῆος ἐμοὶ] Ὀδυσῆος θείοιο ἐμοὶ H. ib. ϝοῖκος.

τελεσθήσεται. B. 250. Οἱ δ' ἱέρευον ὄϊς] Παρατηρητέον ὅτι μόνους τοὺς μνηστῆρας θεοῖς θύοντας οὐκ οἶδεν[k]. Vulg. 251. Βοῦν ἀγελαίην] Ἀγελαστικήν, ἔτι ἐν ἀγέλαις οὖσαν, καὶ μήπω ὑπὸ ζυγὸν οὖσαν. B. 252. Ἐν δ' ἄρα οἶνον] γρ. ἐν δέ τε οἶνον. Harl. 255. Ἐῳνοχόει] Οἶνον τοῖς κυπέλ-

[k] Bene huic scholio respondet lemma sicut ex ed. Argentin. reposui, pro eo quod est in edd. recent. et in textu, οἱ δ' ἱέρευον. Neque tamen illo modo procedit sermo poetæ. Sed mendosum esse ipsum scholium ex Eustathio patet, qui ita: Σημειοῦνται δ' ἐν τούτῳ βεβαιῶν οἱ παλαιοί, ὡς ἐνθάδε καὶ μόνον οἱ μνηστῆρες ἱερεύουσιν ὄϊς καὶ τὰ ἑξῆς ὡς ἱερεῖα, ἀλλαχοῦ δὲ τῆς ἐμφερείας ταύτης ποιήσεως οὐχ εὕρηνται τοῦτο ποιοῦντες. Unde Barnesius, servato lemmate vulgato, scholio nostro attexuit hæc, εἰ μὴ ἐνταῦθα μόνον. BUTTM.

ὑμεῖς δὲ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
καὶ χεῖρας· ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοὶ,
Τηλεμάχου· μάλα δ' ἧμιν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῷ κέ μιν ἤδη
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν.
Ὣς ἔφατ' Ἀντίνοος· ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύθων.
κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
ἦγον· τοὶ δ' ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα·
πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν θέσαν, οἳ ῥ' ἐπένοντο,
ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος· ὄφρ' ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ, ἀθεμίστια εἰδὼς,
Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμῃ δ' ἐνὶ οἰκία ναῖεν·
ὃς δή τοι κτεάτεσσι πεποιθὼς πατρὸς ἑοῖο

267. χεῖρας] χειρῶν H. V. 269. ἀγόρευε] ἀγορεύει V. 271. 277. Ἀχαιϝοί. 275. μύθων] μύθῳ V. 276. ϝάστυ. 278. ϝεκατηβόλου. 279. ϝερύσαντο. 281. οἳ ῥ' ἐπένοντο] οἳ πονέοντο W. 282. ϝίσην. 286. Λαϝερτιάδην. 287. ϝειδώς. 288. ϝοικία. 289. πατρὸς ἑοῖο] θεσπεσίοισι W. ib. ἑϝοῖο.

λοις ἐπέβαλον, οὐκ ἐκίρνα. εἶπε γὰρ ἄνω, κρητῆρσι κεράσσαντο. B. 266. Ἐνιπῆς] Ἐπιπλήξεως. ἐνιπὴ ἡ διὰ λόγων ἐπίπληξις καὶ ἀπειλὴ, ἀπὸ τοῦ ἐνέπω. Vulg. In Harl. voci ἐνιπῆς suprascriptum ἀπειλῆς. 276. Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην] Οὐχ οἱ τῶν μνηστήρων ἀλλ' οἱ τῶν Ἰθακησίων, οἱ δημόσιοι βουλευταί (del. vocem). βούλεται δὲ δεῖξαι ὅτι Ἀπόλλωνος ἡ ἑορτή. Τὸ, οἱ δ' ἐπεὶ ὤπτησαν, μετέβη πάλιν ἐπὶ τῶν μνηστήρων. B. 289. Ὃς δή τοι κτεάτεσσι πεποιθὼς] Ἠθικῶς διέσυρεν ὁ ποιητὴς ὅτι οὐδὲν συλλαμ-

μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἀλλ' ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον· ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόῳ δώῃ γέρας, ἠέ τῳ ἄλλῳ
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ὣς εἰπὼν, ἔῤῥιψε βοὸς πόδα χειρὶ παχείῃ,
κείμενον, ἐκ κανέοιο λαβών· ὁ δ' ἀλεύατ' Ὀδυσσεὺς,
ἦκα παρακλίνας κεφαλήν· μείδησε δὲ θυμῷ
Σαρδόνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.

292. Fεῖπω. 293. ἐπέFοικεν. 294. Fίσην. 296. ἀλλ' ἄγε] ἀλλά τε V. ib. Fοι. 299. Fειπών. 302. Σαρδόνιον μάλα] Σαρδάνιον δ' ἄρα et suprascr. γρ. μάλα H. Σαρδάνιον μάλα W.

βάνει πλεῦτες πρὸς σωφροσύνην. Vulg. "Γρ. θεσπεσίοιο supra πατρὸς ἑοῖο"[1]. PORS. ex Harl. 297. Λοετροχόῳ] Νῦν τῷ τὰ λουτρὰ παρέχοντι (MS. Barn. ἐπιχέοντι τῷ λούοντι), ἢ παρασκευάζοντι. Vulg. Ἴσως τινὶ πρὸς τὰ λουτρὰ ἀποδεδειγμένῃ γυναικί. τοὺς γὰρ βασιλικωτέρους εὐγενεῖς ἔλουον παρθένοι. B. 302. Σαρδόνιον] Σεσηρὸς, σαρκαστικὸν, ἐπιπλαστόν. παρὰ τὸ μόνον σεσηρέναι τὰ χείλη μὴ μέντοι γελᾶν. B. Σαρδόνιον μάλα τοῖον] Σεσηρὸς ἐπ' ὀλέθρῳ. Φασὶ τὸν ἡφαιστότευκτον ὑπὸ Διὸς Εὐρώπῃ δοθέντα φύλακα τοὺς ἐπιβαίνοντας τῇ Κρήτῃ ἰδίως τιμωρεῖσθαι. πηδῶντα γὰρ εἰς πῦρ καὶ θερμαίνοντα τὸ στῆθος περιπτύσσεσθαι αὐτούς. ὧν καιομένων ἐκείνων σεσηρέναι. ἔνιοι δὲ γίνεσθαι λέγουσιν ἐν Σαρδοῖ τῇ νήσῳ σέλινον τοιοῦτον, ὃ τοὺς φαγόντας ξένους μετὰ σπασμοῦ σεσηρότας ἀπόλλυσθαι ποιεῖ. Τίμαιος δέ φησι τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς πρὸς βόθρον καὶ καταβάλλειν εἰς αὐτὸν τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν. ἄλλοι δὲ ἄλλως. ἄμεινον δὲ, τὸν ἐπὶ καταμωκήσει προσποίητον γέλωτα, παρὰ τὸ σεσηρέναι ὅ ἐστιν ἀνοίγειν τὰ χείλη. Vulg. ΣΑΡΔΙΟΝ (sic) ΜΑΛΑ ΤΟΙΟΝ[m]. Οἱ τὴν Σάρδον (Σαρδόνα em. Barn.) κατοικοῦντες ἀπὸ Καρχηδονίων ὄντες χρῶνται νόμῳ τινὶ βαρβαρικῷ καὶ πολὺ τῶν Ἑλληνικῶν[n] διηλλαγμένῳ. τῷ γὰρ Κρόνῳ θύουσιν ἡμέραις τισὶ (MS. Barn. τρισὶ) τεταγμέναις οὐ μόνον τῶν αἰχμαλώτων τοὺς καλλίστους ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγενημένους. τούτους δὲ θυομένους τὸ μὲν δα-

[1] Ita Pors. in Append. corrigit quod sine sigla Γρ. antea dederat "θεσπεσίοιο pro πατρὸς ἑοῖο." Verum tamen esse varietatem θεσπεσίοιο aliunde satis notum. Ut fere suspicio sit, istud θεσπεσίοιο sensu destitutum per errorem irrepsisse in alteram Porsoni notam, θεσπεσίοιο hic etiam dare, et formam tantum relationis suae mutare volentis. BUTTM.
[m] Hoc scholium in edd. ant. ad finem libri rejectum. BUTTM.
[n] Ed. ant. Ἑλληνικῶν, recentt. Ἑλλήνων. BUTTM.

Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός·
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
ἐνθάδε· τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλ' ἔμπης τάδε μὲν καὶ τετλάμεν εἰσορόωντες,
μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
ἀλλ' ἄγε, μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν, ἢ τάδε αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους, δμῳάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·

308. ἀϝεικείας. ϝοίκῳ. 309. ϝεῖδα ϝέκαστα. 310. δ' ἔτι nunc scriptum H. Sed non, ut opinor, ab ipsa prima manu. PORS. 312. ϝοίνοιο. 315. εἰ δ' ἤδη] εἰ δὴ μή H. V. 317. τάδε αἰὲν] τάδ' αἰὲν H. ib. ἀϝεικέα ϝέργ'. 319. ἀϝεικελίως. 321. μετεϝέειπε. ib. Ἀγέλαϝος.

κρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ δειλόν[o]. τὸ δὲ ἀσπάζεσθαι[p], καὶ γελᾷν ἔσχατον καὶ πρεϊόντων[q] ἀνδρῶδές τε καὶ καλόν. ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ προσποιητῶς γελῶντα κληθῆναι σαρδόνιον. ἡ δὲ ἱστορία παρὰ Δήμωνι[r]. Vulg. 304. Τόδε κέρδιον] Τὸ μὴ βαλεῖν, ἐπεὶ αὐτὸς (ἂν ins. Ernest.) ἀνῄρητο, ἢ τὸ βαλεῖν τὸν ξένον, αἱρεῖται τὸ κέρδιον. Vulg. 311. Τετλάμεν] Παροξυτόνως, εἴτε ἀπὸ τοῦ τλῆμι εἴτε ἀπὸ τοῦ τετλάκαμεν συγκέκοπται[s]. B. 316. Ἣν text. Γρ. εἴη, ὃ καὶ κρεῖττον. Vind. 133. 319. Ῥυστάζοντας] Ῥυστάζειν γὰρ τὸ μετὰ βίας

[o] Ita in ed. ant. In recentt. δῆλον, quod Barnesius, e MS. ut ait, mutavit in δειλόν. BUTTM.
[p] Hesych. v. Σαρδ. γελ. addit ἀλλήλους. BUTTM.
[q] Scrib. vid. ἔσχατον καὶ προσιόντων. BUTTM.
[r] In libro περὶ παροιμιῶν. Vid. Siebelis Atthidum fragmenta, pag. 22. BUTTM.
[s] Malum hoc praeceptum in Homeri textu hucusque (nisi quod Barnesius tacite id migravit) ab omnibus observatum hic video; dum δείδιμεν, μίμνομεν, μίμνετον, τέτλαθι secure edunt. Nam infinitivi, cujus τετλάμεν legitima forma est, nullam hic rationem perspicio. BUTTM.

Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτ᾽ ἔτι τὸν ξεῖνον στυφελίζετε, μήτε τίν᾽ ἄλλον
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἰ σφῶϊν κραδίῃ ἅδοι ἀμφοτέροισιν·
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
τόφρ᾽ οὔτις νέμεσις μενέμεν τ᾽ ἦν, ἰσχέμεναί τε
μνηστῆρας κατὰ δώματ᾽· ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ νόστησ᾽ Ὀδυσεὺς, καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ᾽ ἤδη τόδε δῆλον, ὅτ᾽ οὐκέτι νόστιμός ἐστιν.
ἀλλ᾽ ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ᾽ ὅστις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν·
ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
ἔσθων καὶ πίνων· ἡ δ᾽ ἄλλου δῶμαθ᾽ ἵκηται.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
οὐ μὰ Ζῆν᾽, Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
ὅς που τῆλ᾽ Ἰθάκης ἢ ἔφθιται, ἢ ἀλάληται,
οὔτι διατρίβω μητρὸς γάμον· ἀλλὰ κελεύω
γήμασθ᾽, ᾧ κ᾽ ἐθέλῃ, ποτὶ δ᾽ ἄσπετα δῶρα δίδωσι.
αἰδέομαι δ᾽ ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.
Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
ἄσβεστον γέλον ὦρσε, παρέπλαγξεν δὲ νόημα.
οἱ δ᾽ ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισιν·
αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ᾽ ἄρα σφέων

323. ϝεπέεσσι. 324. μήτε τίν᾽] μήτέ τι H. μή τε τι V. μήτε τι W. 327. ἀμφοτέροισιν] ἀμφοτέροιιν H. ἀμφοτέροιϊν W. ib. ϝάδοι. 328. ϝεϝόλπει. 329. ϝόνδε. 337. δῶμαθ᾽ ἵκηται] δῶμα κομίζῃ, H. δῶμα κομίζῃ W. 339. Ἀγέλαϝε. 342. δίδωσι] δίδωμι H. 343. δίεσθαι] διέσθαι V. ib. ἀϝέκουσαν. 346. γέλον] γέλω H. W. Sic in Il. ἀ. 416. quidam legebant ἰχῶ per Apocopen pro ἰχῶρα. PORS. 347. γελοίων] γελώων ex rasura H.

ἕλκω παρὰ τὸ ἐρύω, ῥύω. Vulg. 341. Οὔτι διατρίβω] Οὐχ ὑπερτίθεμαι. B. Διατρίβω] Κωλύω. Vulg. 344. Ἀναγκαίῳ] Ἀναγκαστικῷ. Vulg. B. 348. Αἱμοφόρυκτα δὲ δὴ κρέα] Ἡμαγμένα. Τοῦτο δὲ σημεῖον ὅτι ἠμέλλετο τὸ (scr. ἤμελλε τὸ) σῶμα αὐτῶν αἵματι μολύνεσθαι. Οὐ ταῖς μνηστῆρσι δὲ ἀλλὰ τῷ

δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε, πρόσωπά τε, νέρθε τε γοῦνα.
οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·
αἵματι δ' ἐῤῥάδαται τοῖχοι, καλαί τε μεσόδμαι·
εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ,
ἱεμένων Ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν·
Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
εἰς ἀγορὴν ἔρχεσθαι· ἐπεὶ τάδε νυκτὶ ἐΐσκει.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Εὐρύμαχ', οὔτι σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω,
καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής·
τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
ἐρχόμενον, τό κεν οὔτις ὑπεκφύγοι, οὐδ' ἀλέαιτο,
μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος

350. μετέϝειπε. θεοϝειδής. 351. ἆ] ἃ V. 352. ϝειλύαται. 355. ϝειδώλων. 356. ϝιεμένων. 358. ϝηδύ. 362. ἐΐσκει] ἔΐσκει H. ἔφκει V. ib. ϝεϝίσκει. 363. προσέϝειπε. θεοϝειδής. 366. ἀϝεικής. 368. τό κεν] τὸ μὲν H. ib. ἀλέαιτο] ἀλέοιτο pro v. l. V.

Θεοκλυμένῳ ταῦτα ἐφαίνετο τῷ μάντει τῷ παρὰ τοῦ Τηλεμάχου ἀχθέντι ἀπὸ τῆς Πύλου. B. 353. Δέδηε] Διεγήγερται. Vulg. Ἀπὸ τοῦ δαίω τὸ καίω γίνεται τὸ δέδηε, ἀντὶ τοῦ φαίνεται. B. 355. Εἰδώλων δὲ πλέον] Ὡς τῶν ψυχῶν αὐτῶν ἐπὶ τὸν ᾅδην ἀπιουσῶν. B. 356. Ἱεμένων text. cum glossa πορευομένων. Vind. 133. Ἠέλιος δὲ οὐρανοῦ (Vulg. οὐρανῷ) ἐξαπόλωλεν] Οὐ γὰρ ἡλίου ἔκλειψις ἐγένετο, ἀλλὰ Θεοκλύμενος οὕτως ὁρᾷ ὑπό τινος ἐνθουσιασμοῦ μαντευόμενος ὅτι ἐκλείψει αὐτοὺς ὁ ἥλιος. ἀμέλει οἱ μνηστῆρες ὡς οὐδὲν τοιοῦτον θεωροῦντες καὶ ἐκβληθῆναι αὐτὸν ἀξιοῦσιν ὡς παραπαίοντα. B. Οὐχ ὡς ἐκλείψεως γεγενημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐκλελοίπει [*]. Ἐξέρχεται δὲ οὕτως ἐκ τῆς οἰκίας οἰκονομικῶς. Vulg. 362. Εἰς ἀγορὴν ἔρχεσθαι] Χειραγωγήσατε αὐτὸν εἰς τὴν ἀγορὰν ἵνα ἴδῃ τὸ φῶς. τὰ γὰρ κατ' οἶκον νυκτὶ εἰκάζει. B. 369. Γρ.

[*] Barn. em. ἐπελέλειπτο ex Eust. qui habet: τοῦ—οὐκ ἐγένετο ἐπὶ τοῦ ἐκλειπεῖν, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἤδη ἐπελέλειπτο ὡς τεθνηξομένοις. BUTTM.

ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε.
  Ὧς εἰπὼν, ἐξῆλθε δόμων εὖ ναιεταόντων·
ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
  Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος·
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
ἀλλ' εἰ δή τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
τοὺς ξείνους ἐν νηῒ πολυκληῗδι βαλόντες
ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.
  Ὧς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων·
ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεὶ,
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
  Ἡ δὲ κατάντηστιν θεμένη περικαλλέα δίφρον
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουε.
δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο

371. ϝειπών. 375. ϝείπεσκε. 378. ἔργων] ἔργον H. ib. ϝοίνου. ϝέργων. 380. μαντεύεσθαι] μαντεύσασθαι H. V. 381. εἰ δή τι] εἴ μοί τι H. V. 383. τοι H. Ergo alius T. Bentleii MS. PORS. 385. δέγμενος] δεγμένος V. 387. κατάντηστιν] κατ' ἄντηστιν, et ἄντης τιθεμένη pro v. l. V. 389. ϝεκάστου. 390. γελοίωντες] γελώωντες a m. pr., γελόωντες ex emend. H. γελόωντες V.

ἀνδρῶν οἱ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. Harl. 374. Ἐρέθιζον] Γρ. θαύμαζον. Harl. Γελόωντες] Γελωτοποιούμενοι, καταγελῶντες. Vulg. 377. Ἐπίμαστον ἀλήτην] Ἐνδεᾶ ἐπαίτην, παρὰ τὸ μαστεύειν τροφήν. B. Ἐπιμαστεύοντα καὶ ἐπιζητοῦντα. Vulg. 379. Ἔμπαιον] Ἔμπειρον. Vulg. Ἔμπαιον] Ἀπὸ τοῦ παίω τὸ τύπτω. διὰ τὸ μέτρον γράφεται ψιλὸν τὸ π. B. 380. Μαντεύσασθαι] Γρ. μαντεύεσθαι. Harl. 383. Ἐς Σικελούς] Ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς Σικελούς. οὐκ εἰκὸς δὲ ἐκεῖ τὴν πλάνην γεγονέναι. Διαφέρουσι δὲ Σικελιῶται Σικελῶν. οἱ μὲν γὰρ Ἕλληνες, οἱ δὲ βάρβαροι. Vulg. Ἄξιον ἄλφοι] Ἀξίαν εὕροι τιμὴν ἡ τῶν ξένων πρᾶσις. B. 387. Κατ' ἄντησιν (sic ed. ant.)] Ἀντικρὺς τοῦ ἀνδρῶνος ἐν τῇ γυναικωνίτιδι. Vulg. 390. Γελοίωντες] Ἀντὶ τοῦ γελῶντες (sic properisp.) καὶ γελωτοποιοῦντες, ἐν γέλωτι διατρίβοντες. B.

ἡδύ τε, καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

391. ϝηδύ. μενοϝεικές. 394. ἀϝεικέα.

394. Πρότεροι γάρ] Οἱ μνηστῆρες δηλαδή. B.

ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Φ.

Φῖ δὲ βιὸν προτίθησιν ἄεθλον Πηνελόπεια.

Τῌ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ
τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον,
ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια, καὶ φόνου ἀρχήν.
κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο·
εἵλετο δὲ κληῗδ' εὐκαμπέα χειρὶ παχείῃ
καλὴν, χαλκείην· κώπη δ' ἐλέφαντος ἐπῆεν.
βῆ δ' ἴμεναι θαλαμόνδε, σὺν ἀμφιπόλοισι γυναιξὶν,
ἔσχατον· ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος,
χαλκός τε, χρυσός τε, πολύκμητός τε σίδηρος.

5. προσεβήσατο] προσεβήσετο H. ib. ϝοῖο. 7. χαλκείην] χρυσείην et χαλκείαν suprasc. H. 9. ϝοι. ϝάνακτος.

Ὑπόθεσις. Τόξου θέσιν Πηνελόπη μνηστῆρσι. καὶ ὡς ἀναγνωρισθεὶς τοῖς θεράπουσι συντίθεται Ὀδυσσεὺς τὸν κατὰ τῶν μνηστήρων φόνον. καὶ ὡς μὴ δυναμένων αὐτῶν ἀνατεῖναι τὸ τόξον ἐγκρατὴς γέγονεν ὅλου Ὀδυσσεύς. Q. Πηνελόπη τῷ τείναντι τὸ τόξον ὁμολογεῖ τὸν αὐτῆς γάμον. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων ἄλλων τεῖναι τὸ τόξον μὴ δυνηθέντων. Pal. Vulg. 1. Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε] Ὁ δὲ ἀντὶ τοῦ γάρ. Pal. Vulg. Τίθησι δὲ τὸ τόξον ἵνα ἐὰν μὲν πλείους ἐντείνωσι στασιάσωσιν, ἐὰν δὲ μηδεὶς, ἀνάξιοι τῆς μνηστείας φανῶσιν. Vulg. Τὸ δὲ ἀντὶ τοῦ γάρ. Οὐχ ἡ Πηνελόπη δὲ τὸν φόνον ἐνόησεν ἀλλ' ὁ ποιητὴς ἀφ' ἑαυτοῦ τὸ συμβησόμενόν φησι. B. Q. 5. Κλίμακα δ' ὑψηλήν] Τὴν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην, ἵνα τὴν κλεῖν λάβῃ. Pal. Vulg. 6. Κληῗδα οὐ μόνον τὸ κλεῖθρον, ἀλλὰ καὶ τὴν κλεῖν. B. 7. Κώπη δὲ ἐλέφαντος ἐπῆεν] Ἡ λαβὴ τοῦ ξίφους ἡ κόπτειν δυναμένη, παρὰ τὸ κοπὴ, ἀναβιβασμῷ καὶ τροπῇ, κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ. Vulg. 9. Ἔσχατον] Νῦν τὸ ἐνδότατον. Pal. Vulg. 10. Πολύκμητος] Ἐφ' (Vulg.

ἔνθα δὲ τόξον ἔκειτο παλίντονον, ἠδὲ φαρέτρη
ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί·
δῶρα, τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας,
Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,
οἴκῳ ἐν Ὀρσιλόχοιο δαΐφρονος· ἤτοι Ὀδυσσεὺς
ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
νηυσὶ πολυκλήϊσι τριηκόσι᾽, ἠδὲ νομῆας.
τῶν ἕνεκ᾽ ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς,
παιδνὸς ἐών· πρὸ γὰρ ἧκε πατὴρ, ἄλλοι τε γέροντες.
Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο,

11. ἔκειτο] κεῖτο H. V. W. 13. 17. 22. 24. 29. Fοι. 14. ἐπιFεί-κελος. 15. ἀλλήλοιϊν] ἀλλήλοισι V. 16. Ὀρσιλόχοιο] Ὀρτιλόχοιο H. ib. Fοίκῳ. δαFίφρονος. 17. μετὰ] ἐπὶ in marg. H. 19. νομῆας] νομῆες (ας) H.

ὑφ') ᾧ πολλὰ κάμνουσιν. Pal. Vulg. 11. Ἔνθα δὲ τόξον ἔκειτο] Πρανοητικῶς οὐκ ἐν τῷ ἀνδρῶνι, ἵνα μὴ ὑπὸ τοῦ καπνοῦ ἡ νευρὰ ῥαγῇ. Vulg. 13. Λακεδαίμονι] Νῦν ἐπὶ τῇ Λακωνικῇ χώρᾳ ἧς μέρος κατὰ τοὺς ἡρωϊκοὺς χρόνους ἡ Μεσσήνη. διχασθῆναι δέ φασι τὴν Λακωνικὴν τῆς Μεσσηνίας ἐπὶ τῶν Ἡρακλειδῶν οἳ μετὰ τὴν τοῦ Ἰλίου ἅλωσιν κατέσχον τὴν Πελοπόννησον. B. Q. 15. Μεσσήνῃ] Τῇ Μεσσηναίᾳ χώρᾳ ἥτις ἦν μέρος τῆς Λακεδαίμονος πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. Vulg. 16. Οἴκῳ ἐν Ὀρσιλόχοιο] Ἐν Φεραῖς. Pal. Vulg. 17. Μετὰ χρεῖος] Ἐπὶ χρεῖος, χρέος ἀπαιτήσων καὶ ὀφείλημα. οὐ δάνειον, ἀλλὰ ἐξ ἁρπαγῆς. B. Q. Διὰ ὄφλημα. Vulg. 18. Ἄειραν] Νῦν, ἥρπασαν. Vulg. Pal. 20. Ἐξεσίην] Δημοσίαν ἔκπεμψιν. Vulg. et Pal. qui addit: καὶ πρᾶξιν. Δημοσίαν ἔκπεμψιν ποιήσω ἐσία καὶ ἐξεσία. B. Δ. ε. ἥσσω αἰτίαν καὶ ἐξεσίαν. Q.[a] 22. Ἴφιτος αὖθ' ἵππους] Αὐτόλυκος ὁ Ἑρμοῦ κλέψας τὰς Εὐρύτου ἵππους πέπρακεν αὐτὰς τῷ Ἡρακλεῖ. ἃς ζητῶν Ἴφιτος περιῄει. τὸν γὰρ Ἰόλης ἔρωτα οὐκ οἶδεν ὁ ποιητής, εἰ δὲ αὐτὸς ἀποτυχὼν (f. οὐδὲ ὡς ἀπ.) τοῦ ἔρωτος τῆς Ἰόλης ἔκλεψε τὰς ἵππους Εὐρύτου. B. Q. Ἴφιτος[b] Εὐρύτου μὲν παῖς Οἰχαλιεὺς δὲ τὸ γένος ἀπολομένων αὐτῷ τῶν ἵππων περιῄει τὰς πέριξ ἐρευνῶν πόλεις εἴ που φανεῖεν. Πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῇ τινι καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν (ed. ant. αὐτῶν ἄγει) εἰς ἐπίκρημνον τεῖχος καὶ καταστρέψαι, διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον

[a] Fuisse videtur: Δ. ε. ἀπὸ τοῦ ἥσω, ἐσία καὶ ἐξεσία. BUTTM.

[b] Ad finem libri rejectum hoc scholium in edd. ant. ubi lemma e v. 22. 23. praepositum ita scriptum ut animi causa hic appono: ΔΩΔΕΚΑ ΙΦΙΤΟΣ ΑΤΤΑΙ. ἵππους διζήμενος. αἶσον ἔλασεν θέθεμαι. Quanquam hoc ex Argent. exscribo, non ex Aldina. BUTTM.

δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·
αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο·
ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον
φῶθ' Ἡρακλῆα, μεγάλων ἐπιίστορα ἔργων,
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ·
σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν,
τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν·
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.
τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο· δῶκε δὲ τόξον,
τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὃ παιδὶ
κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσι.
τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ, καὶ ἄλκιμον ἔγχος, ἔδωκεν,
ἀρχὴν ξεινοσύνης προσκηδέος· οὐδὲ τραπέζῃ
γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
Ἴφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν,
ὅς οἱ τόξον ἔδωκε· τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς,
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν,
ᾕρεῖτ'· ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
κέσκετ' ἐνὶ μεγάροισι· φόρει δέ μιν ἧς ἐπὶ γαίης.

23. ταλαϝεργοί. 26. Ἡρακλῆα] ἡρακλεῖα H. ib. ἐπιϝίστορα ϝέργων. 27. ϝῷ ἐνὶ ϝοίκῳ. 29. τὴν δή οἱ] τὴν οἱ scripserat, deinde δὴ superaddidit inter voces H. PORS. 32. ῥ' omittit H. V. 37. ἐπιϝείκελον. 38. ϝοι. δῖϝος. 41. κέσκετ'] θέσκετ' pro v. l. V. ib. φόρει δὲ τὰ ϝῆς.

τὴν Ἰόλην γαμετὴν οὐκ ἔδωκαν ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν. λέγεται δὲ ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ προσέταξεν Ἑρμῇ λαβόντα τὸν Ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου· τὸν δὲ εἰς Λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ Ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων. ἡ ἱστορία παρὰ Φερεκύδῃ (Sturz. n. 46. p. 185.). Vulg. 26. Μεγάλων ἐπίστορα ἔργων] Μεγαλουργὸν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, ἐπιστήμονα. Vulg. 27. Ξεῖνον ἐόντα κατέκτανεν] Ξενιζόμενον παρ' αὐτῷ. Οἱ δὲ νεώτεροί φασιν ὡς ὅτι αὐτὸν ἀπὸ τοῦ τείχους κατέβαλεν. B. 29. Ἔπειτα δέ] Ὁ δὲ ἀντὶ τοῦ γάρ. Καὶ αὐτὸν ἔκτεινε καὶ τοὺς ἵππους κατέσχε. B. 31. Τὰς ἐρέων] Ἀνερευνῶν, ζητῶν. ὁμοίως τῷ, Κνημοὺς ἐξερέῃσι (Υ. 337.). Δῆλον δὲ ὅτι καὶ πρὸ Ἡρακλέους ἦν ὁ Εὔρυτος. B. 32. Μέγας Εὔρυτος] Ἐπὶ τοξικῇ. Vulg. 35. Ἀρχὴν ξεινοσύνης] Ἀρχὴν ποιούμενα ξενίας. Προσκηδέος] Τῆς ποιούσης κηδεμονικῶς ἔχειν πρὸς ἀλλήλους. Vulg. Κηδεμονικῆς φιλίας. κήδονται γὰρ ἀλλήλων οἱ φίλοι καὶ ξένοι. B. Οὐδὲ τραπέζῃ] Οὐδὲ ἕτερος ἑτέρῳ ἐπιξενωθέντι παρέθηκε τράπεζαν. B. 38. Ὅς οἱ τόξον ἔδωκε] Τρίτον εἴρηκε τὴν δόσιν, ἐπεὶ διὰ μέσου τινὰ παραδιηγεῖται. Vulg. Τὸ δ' οὔ ποτε] Δοκεῖ μὲν παρέλκειν τὸ ποτέ. ἴσως δέ φη-

Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν,
οὐδόν τε δρύϊνον προσεβήσατο, τόν ποτε τέκτων
ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς·
αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
ἐν δὲ κληῗδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας,
ἄντα τιτυσκομένη· τὰ δ' ἀνέβραχεν, ἠΰτε ταῦρος
βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα
πληγέντα κληῗδι, πετάσθησαν δέ οἱ ὦκα.
ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ, ἔνθα δὲ χηλοὶ
ἕστασαν· ἐν δ' ἄρα τῇσι θυώδεα εἵματα κεῖτο.
ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου αἴνυτο τόξον
αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.
ἑζομένη δὲ κατ' αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
κλαῖε μάλα λιγέως· ἐκ δ' ἥρεε τόξον ἄνακτος.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς,
τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
ἰοδόκον, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.

42. δὴ omittit H. ib. δϜῖα. 43. προσεβήσατο] προσεβήσετο H. 49. καλὰ] κακὰ V. 50. Ϝοι. 52. εἵματα κεῖτο] εἵματ' ἔκειτο H. V. W. ib. Ϝείματα. 54. Ϝοι. 56. τόξα Ϝάνακτος. 58. ἴμεναι] ἤιεν ἐς H.

σιν, οὐδὲ ἄλλοτε. B. 46. Αὐτίκ' ἄρ' ἥγ' ἱμάντα] Ἱμάντα τὸν ἀνοίγοντα τὸ ἔνδοθεν περιαγόμενον κοχλῷ ἐοικὸς κλεῖθρον. δύο γὰρ ἱμάντες ἦσαν, ὁ μὲν κλείων ὁ δὲ ἀνοίγων. ἑκάτερος δὲ κρίκου τινὸς ἐξήρτητο. ἡ Εὐρύκλεια οὖν θύραν Ἐπέρυσσε κορώνῃ Ἀργυρέῃ (α'. 441.), κλείουσα. Τὸ δὲ, ἄντα τιτυσκομένη, ὥστε τὰς βαλάνους ἀντίας γίνεσθαι τοῖς τῆς κλειδὸς γόμφοις. ἢ αὐτὴ ἀντικρὺ καὶ ἔμπροσθεν τῆς θύρας ἑστῶσα καὶ οὕτως καταστοχαζομένη. Q. Ἀπέλυσε κορώνης] Τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρὸς κρίκον ὥστε δι' οὗ διελκομένου εἰς τοὐναντίον ἀνοίγεσθαι. Vulg. Κορώνης*] Κρίκου, κόρακος. Vulg. Κορώνη ὁ κρίκος. B. 50. Πληγέντα κληῗδι] Πρότερον τοῦ κλεῖθρου παραχθέντος ἡ κλεὶς ὅτι ἦν κρατοῦσα. B. Q. 47. Ἀνέκοπτεν] Ἀνέκρουεν, ἀνέθει. Vulg. Ὀχῆας] Νῦν τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ κατ' ἀντικρὺ τῆς κλειδὸς, ὡς περόνονται καὶ ἀνοίγονται. Vulg. Τὰς βαλάνους. ἐν Ἰλιάδι δὲ (μ'. 455.) τοὺς μοχλούς. B. 54. Γωρυτῷ] Τῇ θήκῃ τοῦ τόξου. Vulg. Ἐλύτρῳ τοῦ τόξου.

* Sic Vulg. et B. Nam Vulg. edd. rec. ante Barn. adaptarunt textui suo inepte ita: Κορώνη] Ἄκρον, κορώνης, κρίκου. κόρακος. BUTTM.

τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον· ἔνθα σίδηρος
κεῖτο πολὺς, καὶ χαλκὸς, ἀέθλια τοῖο ἄνακτος.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη·
αὐτίκα δὲ μνηστῆρσι μετηύδα, καὶ φάτο μῦθον·
  Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ,
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,

61. τῇ δ' ἄρ' ἅμ'] τῇ ῥ' ἅμ' H. ib. ὄγκιον] ὀγκίον et supra finem vocis ους H. Videntur duæ fuisse lectiones ὀγκίον et ὄγκους. PORS. 62. Fάνακτος. 63. δῖFα. 66. omittit H. Uncinis includit W. ib. Fοι. Fεκάτερθε.

καὶ ἔστι γυρωτῷ παρὰ τὸ ἀφεῖν τὸν φυτόν. B. 61. Ὄγκιον] Ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις, σημαίνει δὲ ὀγκεῖον σχιστοειδὲς[d] ἐν ᾧ ἔγκειντο οἱ ὄγκοι. ὄγκοι δέ εἰσιν οἱ πώγωνες τῶν ἀκίδων. καὶ ἐν ἄλλοις, Ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας (Il. δ'. 151.). Συνεκτικὸν[e] τῶν ὄγκων ἀγγεῖον, ὡς κρεῖον τὸ κρεοδόχον ἀγγεῖον. ὄγκιον οὖν ἡ θήκη τῶν ἀκίδων. εἴρηται δὲ παρὰ τὸ ὀγκῶδες εἶναι. Vulg. Προπαροξυτόνως τὸ ὄγκιον. ἔστι δὲ κυρίως τὸ δεκτικὸν τῶν ὄγκων ὅ ἐστιν ἀκίδων. B. 62. Τοῖο] Τοῦ ἰδίου. Vulg. 69. Ἐχράετε] Ἐβιάσασθε, ἐβαρήσατε. Vulg. 71. Μύθου] Νῦν τῆς στάσεως. ὅθεν καὶ Ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστὰς φησιν, Μυθηταὶ δ' ἀνὴν νήσῳ μεγίστῃ διέπουσιν ἱερὸν ἄστυ. ἀντὶ τοῦ στασιασταὶ, μυθηταί[f]. Vulg. Ἐπισχεσίην]

[d] Ita ed. ant. Recentt. ὀγκεῖον, quod nemo mutavit, etsi videntur voluisse ἀγγεῖον, quod unice verum. Pro adjectivo autem Barnesius em. κιστοειδές. Idem mox ἐνέκειντο. Utrumque fortasse e MS. BUTTM.

[e] Novum scholium ad eandem vocem: in cujus fronte aptius videtur Χαλλιστικόν. BUTTM.

[f] Fragm. est in Fischeri collectione 47. Pro ἀνήνῳ ap. Eustath. ad h. l. est ἐν νήσῳ, unde ni fallor Barnesius primus in nostrum scholium et in Anacreontis verba induxit ἀνὰ νῆσον. Certe in Schreveliana scholiorum ed. adhuc est ἐν νήσῳ. Eustathius porro non habet vocem μεγίστῃ. Denique pro voce μυθηταὶ Etym. M. v. μῦθος unam hanc vocem, sed ex hoc fragmento (quod e secundo τῶν μελῶν excitat), tangens ait Anacreontem στασιαστὰς vocasse μυθίας, Apollonius autem in Lexico μυθιστάς. Atque hanc formam unice veram esse ex illis quæ Schneider in Lex v. μῦθος attulit facile assequaris, simulque docearis vocem μυθιήτης eo sensu descendere per Ionismum a voce μῦθος, tumultus. Nam ipsum μῦθος neque in hoc Homeri loco neque usquam alibi pro illo μῦθος usurpatum fuisse crediderim: quamvis ubi μῦθος τὴν βουλὴν significat aliqua significationum cognatio sit. Immo vocem μυθιήτης, ut a μῦθος derivatum (sicut σφηγκεὺς, a μύγος, βρόχους a βροχὴ βρέχω, et in Æolismo quam plurima) primam brevem habuisse ex hoc ipso Anacreontis fragmento patere puto, quod ex iis quæ huc usque attulimus sponte fere coit ita: Μυθιῆται δ' ἀνὰ νῆσον διέπουσιν ἱρὸν ἄστυ. Cujus versus metrum est illud ipsum quod omnes novimus e fragmento Ἀνὰ νεβρὸν νεοθηλέα γαλαθηνὸν ὅς τ' ἐν ὕλῃ κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη. BUTTM.

ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, θέσθαι τε γυναῖκα.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον·
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
τοῦ ποτε μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ.
  Ὣς φάτο· καί ῥ' Εὔμαιον ἀνώγει, δῖον ὑφορβὸν,
τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον.
δακρύσας δ' Εὔμαιος ἐδέξατο, καὶ κατέθηκε·
κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ ἴδε τόξον ἄνακτος.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
  Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
ἆ δειλὼ, τί νυ δάκρυ κατείβετον, ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ᾗ τε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμὸς, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην.
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε,

72. Ϝιέμενοι. 73. φαῖνετ' ἄεθλον a m. pr. et sic pro v. l. in marg. In textu nunc φαίνεται ἐσθλὸν ex emend. sed manus antiquæ, fortasse ejusdem, quæ variam lectionem adscripsit H. PORS. 80. δῖϜον. 83. ἄλλοθ'] ἄλλως H. V. ib. Ϝίδε τόξα Ϝάνακτος. 84. ἐνένιπτεν] ἐνένιπεν H. V. ib. Ϝέπος. 86. ἆ] ἃ V. ib. δειλὼ] δειλὰ H. 87. ᾗ] ἡ V.

Πρόφασιν. Q. Νῦν σημαίνει πρόφασιν. ἐπιμονῆς[a] γὰρ χρεία τῷ προφασιζομένῳ εἰς τὸ ψεύδεσθαι καὶ τὸ μὴ ἀληθεύειν. καὶ Ἀλκαῖος, Οὐδέ τι μυνάμενος ἀλλὰ τὸ νόημα[b], ἀντὶ τοῦ προφασιζόμενος, ἀλλαχοῦ ἀποτρέπων τὸ ἑαυτοῦ νόημα. Vulg. 73. Τὸ δὲ φαίνετ' ἄεθλον] Τὸ ἐμὲ γῆμαι. Vulg. Τὸ γῆμαι τὴν Πηνελόπην πρόκειται νικητήριον. εἰ γὰρ τὸν ἀγωνισμὸν ἔλεγεν, ἀρσενικὸν ἂν ἔφη. B. (quanquam ad 106. ubi eadem verba). 76. Δυοκαίδεκα πάντων] Εἰ γὰρ ἐν μέσοις ἐστὶ (f. ἔστη) τὸ βέλος, ἔξαθλος ἦν, ὡς ἐλλείπων τῇ δυνάμει. Vulg. 85. Ἐφημέρια φρονέοντες] Τὸ παραυτίκα μόνον φρονοῦντες οὐ προνοοῦντες τοῦ μέλλοντος. Vulg. 90. Τόξα] Νῦν τὴν σύμπασαν σκευήν. Vulg.

[a] Inde ab hoc verbo omnia spectant ad v. 111. Vid. quæ ibi notabo. BUTTM.

[b] Sic ed. ant. Recentt. ἄλλο τὸ νόημα. Eustath. ἄλλο νόημα. Blomfieldius, apud quem hoc est Alcæi fragmentum 55.: "Forsan corrigendum ἄλλᾳ τὸ νόημα. Videtur autem μυνάμενος æolice dici pro μυνόμενος." Verum utrumque mihi videtur: nam illud nititur scholiastæ explicatione, verbum autem μύνομαι ex hoc tantum fragmento lexica intravit, in posterum omittendum. Accedunt rhythmi qui optime claudunt metrum quale est illud ionicum Alcæi Ἐμὲ δειλάν. BUTTM.

μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω
ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοῖσδεσι πᾶσιν,
οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα,
καὶ γὰρ μνήμων εἰμὶ, πάϊς δ' ἔτι νήπιος ἦα.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
ἤτοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν ποτ' ἀτίμα
ἥμενος ἐν μεγάρῳ, ἐπὶ δ' ὤρνυε πάντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων·
μήτηρ μέν τοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλῳ ἅμ' ἕψεσθαι, νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω, καὶ τέρπομαι ἄφρονι θυμῷ.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ' Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς, οὔτ' Ἄργεος, οὔτε Μυκήνης,
οὔτ' αὐτῆς Ἰθάκης, οὔτ' Ἠπείροιο μελαίνης·
καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου;
ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, μηδ' ἔτι τόξου

93. τοῖσδεσι] τοῖσιδε V. 96. ϝεϝόλπει. 98. γεύσεσθαι] γεύεσθαι H. γεύσασθαι V. 99. ὃν ποτ'] ὃν τότ' H. 100. μεγάρῳ] μεγάροις H. 101. μετέϝειφ'· ϝίς. 103. τοί] μοι H. 107. Ἀχαιϝίδα. 109. omittit H. Quare abesse non posse dicat Ernestus non video. PORS. Uncinis includit W. 110. τόδε ϝίστε. 111. μηδ' ἔτι] μηδέ τι H.

91. Ἀάατον] Ἐπιβλαβῆ, ἢ ἄνευ βλαβῆς. Vulg. 93. ΜΕΤΑ. ἀντὶ τοῦ ὑπάρχει. Vulg. 106. Φαίνετ' ἄεθλον] Τὸ γῆμαι τὴν Πηνελόπην. εἰ γὰρ τὸν ἀγωνισμὸν ἔλεγεν, ἀρσενικὸν ἂν ἔφη. B. 107. Κατ' Ἀχαιΐδα γαῖαν] Γενικῶς εἶπε, καὶ αὖθις τοὺς ἐπισημοτάτους τόπους ἐδήλωσε. B. 111. Μὴ μύνῃσι] Προφάσεσιν. ἅπαξ δὲ κεῖται. B. Q. Προφάσεσι. μύσαντα τὰ ὄμματα σκέπτεσθαι[i] τί χρὴ δρᾶν. τούτου γὰρ χάριν προφασίζονται ἵνα ἐπιμείνωσιν[k]. εἰ δὲ, κατασιωπῶντες,

[i] Hoc sane clausis quis oculis viderit, scribendum hic esse σκέπτεσθαι. Sed in seriem orationis hæc redigere non valeo nisi ante μύσαντα inseratur παρὰ τό. Videtur enim esse derivatio vocis μύνη ab habitu ejus qui dum spectare simulat quid agendum sit, oculos claudit. BUTTM.

[k] Hoc spectat ad aliam vocis μύνη derivationem παρὰ τῆς μονῆς; sicut alteram ejusdem derivationis rationem habes supra ad v. 71. ἐπισχεσίης γάρ χρείω κ. τ. ἑ. Nimirum apud Eustathium ad illum versum voci σχεσίη additur, καὶ μόνην τὴν τοιαύτην

δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω, διοϊστεύσω τε σιδήρου,
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην,
οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελέσθαι.
Ἦ, καὶ ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν,
ὀρθὸς ἀναΐξας· ἀπὸ δὲ ξίφος ὀξὺ θέτ' ὤμων.
πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν·
ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ' ἕλε πάντας ἰδόντας,
ὡς εὐκόσμως στῆσε· πάρος δ' οὐ πώποτ' ὀπώπει.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, καὶ τόξου πειρήτιζε·
τρὶς μέν μιν πελέμιξεν, ἐρύσσεσθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τόγε θυμῷ,
νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
καί νύ κε δή ῥ' ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
ἀλλ' Ὀδυσεὺς ἀνένευε, καὶ ἔσχεθεν ἱέμενόν περ.
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ὦ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς,

112. ϝίδωμεν. 113. πειρησαίμην] πειρήσομαι γρ. πειρησαίμην H. 119. ὤμων] ὤμω V. 122. πάντα ϝιδόντα. 123. εὐκόσμως] εὔκοσμος et supra γρ. εὐκόσμως H. 125. πελέμιξεν] πολέμιζεν, sed ε super ο, et ξ supra ζ H. ib. ϝερύσσεσθαι. 126. τόγε] τόδε H. ib. ἐπιϝελπόμενος. 127. ἐντανύσειν] ἐντανύειν V. 128. Nullam varietatem video neque in MSS. neque in editis. Scholiastes vero ad Il. θ΄. 215. in cod. Townleiano hæc habet. Εἴσατο: εὐκτικὸν ἀντὶ ὁριστικοῦ τοῦ ἐδόκει, ὡς τό· καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης (Il. ε΄. 388.) καί νύ κεν δὴ τανύσειε βίῃ τὸ τέταρτον ἀνέλκων. Est et aliud exemplum ejusdem constructionis Il. ε΄. 311. καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας. PORS. 129. ϝιέμενον. 130. μετέϝειφ'. ϝίς. 131. ἄκικυς] ἄναλκις V.

παρὰ τὸ μύειν τὸ στόμα. Vulg. 114. Σιδήρου] Τῶν πελέκεων. Vulg. 117. Ἀνελέσθαι] Ἀναλαβεῖν, μεταχειρίσασθαι, ὑποστῆναι. B. Q. 120. Διὰ τάφρον ὀρύξας] Δηλονότι πρότερον ἴθυνε τὴν τάφρον, μετὰ ταῦτα ἔστησε. B. 122. Ἔναξε] Συνεπίλησεν. Vulg. Ἀντὶ τοῦ ἔνηξε (scr. ἔνησε), ὅ ἐστιν ἀνέ-

ἐπισχεῖν μετ' ὀλίγα ἰεῖ: quibus statim subjungitur ibi hujus etiam vocis explicatio. Idque videtur apud antiquiorem enarratorem, unde sua Eustathius quoque, ita fuisse: nam inscitus ille nostrorum scholiorum compilator in utroque tamen scholio habet quæ apud Eustathium non leguntur. BUTTM.

ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνεσθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ' ἄγεθ', οἵπερ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς εἰπὼν, τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν·
αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ·
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου, ὅθεν τέ περ οἰνοχοεύει.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱὸς,
ὅς σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
ἷζε μυχοίτατος αἰεί· ἀτασθαλίαι δέ οἱ οἴῳ
ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν·
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, καὶ τόξου πειρήτιζεν·
οὐδέ μιν ἐντάνυσεν· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων,
ἀτρίπτους, ἁπαλάς· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω· λαβέτω δὲ καὶ ἄλλος·
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς· ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι
τεθνάμεν, ἢ ζώοντας ἁμαρτεῖν, οὗθ' ἕνεκ' αἰεὶ

133. ἀπαμύνεσθαι] ἀπαμύνασθαι W. 135. τόξου πειρήσασθε] τόξου πειρήσεσθε H. πειρήσεσθε V. ib. ἐκτελέωμεν] ἐκτελέσωμεν V. 136. χαμᾶζε] χαμάζε V. ib. ϝεϝόν. ϝέο. 142. τέ περ οἰνοχοεύει] τ' ἐπὶ οἰνοχεύειν V. ib. τ' ἐπιϝοινοχοεύει. 143. ἐπεϝάνδανε. 145. ὃς] ὃ H. 146. ϝοι. 150. ἐντάνυσεν] εἰτάνυσεν, γρ. ἀντάνυσεν V. 151. ἔϝειπεν.

μυσε. B. 138. Κορώνῃ] Τῷ ἄκρῳ τοῦ τόξου. Vulg. 141. Ἐπιδέξια] Ἐκ τοῦ δεξιοῦ μέρους. Vulg. 142. Ὅθεν τ' ἐπιοινοχοεύει[1]] Εὔλογόν ἐστιν εἰσιόντος εἰς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. Vulg. 145. Θυοσκόος] Ἱεροθύτης. Q. Ὁ μάντις· ἀπὸ τῶν θυομένων κοῶν, ὅ ἐστι νοῶν, καὶ διὰ πυρὸς μαντευόμενος. MS. Barnes. 146. Μυχοίτατος (sic)] Ἐνδότατος. Vulg.

[1] In ed. Arg. Τ' ΕΠΙΟΙΝΟΚΕΥΕΙ mendose. In text. ed. ὅθεν τέ περ οἰνοχοεύει. BUTTM.

ἐνθάδ' ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ' ἐνὶ φρεσὶν, ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν·
αὐτὰρ ἐπὴν τόξου πειρήσεται, ἠδὲ ἴδηται,
ἄλλην δή τιν' ἔπειτα Ἀχαιϊάδων εὐπέπλων
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ', ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
κλίνας κολλητῇσιν ἐϋξέστης σανίδεσσιν,
αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ·
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
δεινόν τ' ἀργαλέον τε; νεμεσσῶμαι δέ τ' ἀκούων,
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς· ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι·
οὐ γάρ τοί σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ,
οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι, καὶ ὀϊστῶν·
ἀλλ' ἄλλοι τανύσουσι τάχα μνηστῆρες ἀγαυοί.
Ὣς φάτο· καί ῥ' ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν·
ἄγρει δὴ, πῦρ κεῖον ἐνὶ μεγάροισι, Μελανθεῦ,
πὰρ δὲ τίθει δίφρον τε μέγαν, καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξου πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς φάθ'· ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ·
πὰρ δὲ φέρων δίφρον θῆκεν, καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ'· οὐδ' ἐδύναντο

156. ποτιδέγμενοι] προτιδέγμενοι H. 157. Fέλπετ'. 159. Fίδηται. 160. εὐπέπλων] ἐυπέπλων W. ib. Ἀχαιιϊάδων. 161. ἐFέδνοισιν. 162. γήμαιθ' ὅς κεν] γήμεθ' ὅσκε H. ὅς τις V. ὅς κε W. ib. ἔλθοι] εἴη V. 163. Fέο. 165. προσέκλινε] προσέθηκε V. 167. ἐνένιπτεν] ἐνένιπεν H. V. ib. et 168. Fέπος. 173. ὀϊστῶν] ὀϊστοῦ, sed ῶν super οῦ H. 174. τανύσουσι] τανύουσι H. W. 181. ὣς φάθ'· ὁ δ' αἶψ'] ὣς φάτο· αἶψα δ' H. V.

161. Ἐέδνοισιν διζήμενος] Πλήθει ἕδνων ζητῶν. βίᾳ γὰρ καὶ ῥώμῃ οὐ λήψε-

ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν.
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε, καὶ Εὐρύμαχος θεοειδής,
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τὼ δ' ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ' ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἤλυθε δῖος Ὀδυσσεύς.
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν, ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφ' ἐπέεσσι προσηύδα μειλιχίοισι·
Βουκόλε, καὶ σὺ, συφορβὲ, ἔπος τί κε μυθησαίμην,
ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει·
ποῖοί κ' εἶτ' Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι
ὧδε μάλ' ἐξαπίνης, καί τις θεὸς αὐτὸν ἐνείκῃ;
ἤ κεν μνηστήρεσσιν ἀμύνοιτ', ἦ Ὀδυσῆϊ;
εἴπαθ', ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
γνοίης χ', οἵη ἐμὴ δύναμις, καὶ χεῖρες ἕπονται.
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὄνδε δόμονδε.
αὐτὰρ ἐπειδὴ τῶν γε νόον νημερτέ' ἀνέγνω,

186. δ' ἔτ'] δέ τ' H. ib. θεοϝειδής. 187. ἀρχοὶ] ἀρχὴ H. 188. ὁμαρτήσαντες] ἀμαρτήσαντες et ὁ super ἀ in initio H. ib. Ϝοίκου. 190. δῖϝος. 191. ἔσαν] ἴσαν V. 192. σφ' ἐπέεσσι] μιν ἔπεσσι H. V. ib. et 206. σφε Ϝέπεσσι. 193. Ϝέπος. 195. κ' εἶτ'] κ' ἦτε pro v. l. V. 196. ἐνείκῃ] ἐνεῖκαι H. ἐνείκοι W. 197. ἀμύνοιτ'] ἀμύνοιτ' H. 198. Ϝείπαθ'. 199. προσέϝειπε. 201. ϝε. 202. ἕπονται] ἕσονται H. 203. ἐπεύχετο] ἐπηύχετο V. 204. Ϝόνδε.

ται. Vulg. 185. Βίης ἐπιδευέες] Δυνάμεως ἐνδεεῖς, ἤτοι τοῦ τόξου ἢ τοῦ Ὀδυσσέως. Vulg. 186. Ἐπεῖχε] Ἐπέκειτο. Ὁ Ἀντίνοος ἐπεῖχε καὶ ἐκώλυσεν αὐτοὺς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ. φαίνεται γὰρ ὁ Ἀντίνοος ἑξῆς λέγων μὴ δεῖν τεῖναι τὸ τόξον, ἑορτῆς οὔσης τοῦ τοξικοῦ θεοῦ. καὶ Εὐρύμαχος πείθεται. Vulg. 188. Τὼ δ' ἐξ οἴκου βῆσαν] Εἰς τὸν πρόδομον ἐξῆλθον. πιθανῶς. ἐπεὶ μακρῷ πρόσθεν ὁ Ἀντίνοός φησιν, Κλαίετον ἐξελθόντες (90.)· καὶ ἅμα ἵνα τῷ Ὀδυσσεῖ συμβάλωσιν. Vulg. 195. Ποῖοι κεῖτε (sic)] Τὸ πλῆρες ποῖοι κέειτε (lege, ποῖοί κε εἶτε: recentt. π. κεν εἴητε.) τὸ δὲ σημαινόμενον ποῖ (recentt. ποῖοι) ἂν εἴητε κατὰ τὴν γνώμην. Vulg. 196. Ἐνείκαι] Ἐνέγκοι, ἀγάγοι. Vulg. Ἐνείκαι] Γρ. ἐνείκῃ. Harl. 202. Δύναμις καὶ χεῖρες ἕπονται] Τῇ δυνάμει καὶ χεῖρες ἀκολουθοῦσιν. Vulg. Ἔσσονται text.

ἐξαῦτις σφ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
Ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγὼ, κακὰ πολλὰ μογήσας,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
γιγνώσκω δ', ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω
οἴοισι δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα
εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
σφῶϊν δ' ὡς ἔσεταί περ, ἀληθείην καταλέξω·
αἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς,
ἄξομαι ἀμφοτέροις ἀλόχους, καὶ κτήματ' ὀπάσσω,
οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον.
εἰ δ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
ὄφρα με εὖ γνῶτον, πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
οὐλὴν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα, σὺν υἱάσιν Αὐτολύκοιο.
Ὣς εἰπὼν, ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
τὼ δ' ἐπεὶ εἰσιδέτην, εὖ τ' ἐφράσσαντο ἕκαστα,
κλαῖον ἄρ', ἀμφ' Ὀδυσῆα δαΐφρονα χεῖρε βαλόντε,
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.
ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε, φώνησέν τε·
Παύεσθον κλαυθμοῖο, γόοιό τε· μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω.

206. προσέϜειπεν. 208. ἤλυθον ἐικοστῷ H., sed ε huic voci præfixum, quasi aliam vellet innuere lectionem ἦλθον ἐεικοστῷ. PORS. ib. ἦλθον ἐϜεικοστῷ Ϝέτεϊ. 211. Ϝοῖκαδ' ὑπότροπον αὖτις ἱκέσθαι. 215. ἐμεῖο] ἐμοῖο H. ib. Ϝοικία. 216. Τηλεμάχου in text., Τηλεμάχῳ in marg. V. 218. με εὖ] μ' ἐΰ a m. pr. H. κ' εὖ V. μ' ἐΰ W. 220. Παρνησόνδ'] πὰρ νησὸν δ' H. 221. Ϝρακέα. ἀποϜέργαθεν. 222. εἰσϜιδέτην. Ϝέκαστα. 223. Ὀδυσῆα δαΐφρονα] Ὀδυσῆϊ δαΐφρονι H. V. W. ib. δαϜίφρονα. 228. Ϝίδηται: scribendum forsitan ἐρῆται. 229. Ϝείπῃσι.

Γρ. ἔσονται. Vind. 133. 211. Ὑπό- τροπον] Γρ. ἀπότροπον. Harl. 212. Σφῶϊν] Σημείωσαι τὸ σφῶϊν καὶ ἐπὶ τοῦ δευτέρου προσώπου ταττόμενον*.

* Scholium hominis indocti, quod ideo tamen ponendum erat, ut augurari liceat cujus originis et farinæ intermista sint iis quoque quæ dudum e marginibus corrasa sunt. BUTTM.

ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ' ἅμα πάντες·
πρῶτος ἐγὼ, μετὰ δ' ὔμμες· ἀτὰρ τόδε σῆμα τετύχθω·
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοὶ,
οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
ἀλλὰ σὺ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον,
ἐν χείρεσσιν ἐμοὶ θέμεναι· εἰπεῖν τε γυναιξὶ
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
σοὶ δὲ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
κληῖσαι κληῗδι, θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν, ἔνθεν περ ἀνέστη·
ἐς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
θάλπων ἔνθα καὶ ἔνθα σέλᾳ πυρός· ἀλλά μιν οὐδ' ὣς
ἐντανύσαι δύνατο· μέγα δ' ἔστενε κυδάλιμον κῆρ·
ὀχθήσας δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὢ πόποι, ἦ μοι ἄχος περί τ' αὐτοῦ καὶ περὶ πάντων·
οὔτι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, ἡμὲν ἐν αὐτῇ
ἀμφιάλῳ Ἰθάκῃ, ἠδ' ἄλλῃσιν πολίεσσιν·
ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
ἀντιθέου Ὀδυσῆος, ὅτ' οὐ δυνάμεσθα τανύσσαι
τόξον, ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.

231. ἐγὼ] ἐγὼν H. 234. δῖ'] δὴ H. V. ib. δῖϜ'. 235. τε] δὴ H. ib. Ϝειπεῖν. 237. κτύπου] κτύποιο H. 239. Ϝέργῳ. 240. δῖϜε. 242. Ϝειπών. 248. εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν] εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν H. V. ib. Ϝεῖπε, Ϝέπος. 251. ἡμὲν] αἱ μὲν H. ib. ἈχαιϜΐδες. 252. ἠδ'] αἱ δ' H. V.

Vind. 133. 230. Προμνηστῖνοι] Εἷς παρ' εἷς, τὸ λεγόμενον, ἄλλος πρὸ ἄλλου, ἀλληπάλληλοι, ὅ ἐστι παραμένοντες ἀλλήλους. Q. 235. Θέμεναι] Γρ. δόμεναι. Vind. 133. 238. Ἐν ἕρκεσι] Τοῖς τοίχοις. Vulg. 239. Προβλώσ-

νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
κάτθετ'· ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα.
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν,
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ
τόξου πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
οἱ δ' ἐπεὶ οὖν σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
τοῖσδε δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα
λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε·
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν.
ἀλλ' ἄγε μοι δότε τόξον, ἐΰξοον, ὄφρα μεθ' ὑμῖν
χειρῶν καὶ σθένεος πειρήσομαι, εἴ μοι ἔτ' ἐστὶν
ἲς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ', ἀκομιστίη τε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,

259. Fέκηλοι. 260. γε] τε V. 262. ΛαFερτιάδεω. 263. ἄγε, Fοινοχόος. 269. ἐπεFάνδανε. 276. omittunt H. V. Uncinis includit W. ib. ὥς Fείπω. 277. θεοFειδέα. 278. Fέπος. Fέειπε. 283. Fίς.

κεω] Ἐξέρχεσθαι, προέρχεσθαι, προβλέπειν. Q. Προϊέναι ἔξω. Vulg. 258. Τοῖο θεοῖο] Τοῦ θεοῦ τὸ (τοῦ em. Barn.) ἀπὸ τοῦ τοξοῦ. Vulg. 274. Μετέφη] Γρ. προσέφη. Harl. 278. Ἐπεὶ καὶ τοῦτο ἔπος] Ὁ Ἀντίνοος. πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον. Vulg. 279. Ἐπιτρέψαι δὲ θεοῖσιν] Ἐᾶσαι καὶ

δείσαντες, μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ' ἠβαιαί·
οὐκ ἀγαπᾷς, ὅθ' ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν
δαίνυσαι; οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδής, ὅστε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.
οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ἄασεν ἐν μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ'· ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,

287. ἐνένιπτεν] ἐνένιπεν H. V. ib. Fέπος. 288. οὐδ' ἠβαιαί] οὐ δὲ βαιαί. γρ. οὐδ' ἠβαιαί H. 289. ὅθ'] ὃ H. W. ib. ὃ Fέκηλος. 293. τρώει] τρύχει pro v. l. V. ib. μελιηδὴς] μελιειδὴς V. ib. et 295. Fοῖνος. μελιFηδής. 294. πίνῃ] πίνει H. 296. ἄασεν ἐν] ἄασ' ἐνὶ H. V. W. ib. ἄFασεν. 297. ἄFασε Fοίνῳ.

συγχωρῆσαι τῇ ἑορτῇ. Vulg. 289. Ὑπερφιάλοισι] Νῦν τοῖς κατ' ἀρετὴν διαφέρουσι. Vulg. (vid. Barnes.) 291. Ῥήσιος] Γνώμης. Vulg. 295. Οἶνος καὶ Κένταυρον ἀγακλειτόν] Εὐρύτην Ὅμηρος μὲν [a], ἕνα τῶν ἐν τῷ Πειριθόου γάμῳ Κενταύρων ἀπολομένων τὸν Εὐρυτίωνα λέγει, ὅτε τὴν Ἀδράστου [o] θυγατέρα, λέγω δὴ Ἱπποδάμειαν, Πειρίθους πρὸς γάμον ἀγόμενος ἐκάλεσε κατὰ συγγένειαν Λαπίθας καὶ Κενταύρους. ὑπὸ μέθης δὲ οἱ Κένταυροι κρατηθέντες τῶν Λαπιθῶν ἁρπάσαι τὰς γυναῖκας ἐπεχείρησαν. οἱ δὲ ὀργισθέντες ἀνεῖλον τοὺς Κενταύρους. Βακχυλίδης δὲ διάφορον οἴεται τὸν Εὐρυτίωνα. φησὶ γὰρ ἐπιξενωθέντα Δεξάμενος ἐν Ἤλιδι [p] ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδεχοῦντος θυγατρί, καὶ διὰ τοῦτο ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι καιρίως τοῖς οἴκοις (τοῖς ἐκεῖ ex

[a] Hæc tria prima verba in edd. rec. omissa sunt. Sed Barnesius reposuit Ὅμηρος μὲν "ad fabulæ dilucidationem" ut ait "nec sine MSto Aloysii." Ego quid eo lucremur non video: et mallem eam in MS. invenisse Εὐρυτίων Ὅμηρος μὲν Εὐρυτίωνα λέγει, ἕνα τῶν—ἀπολομένων, ὅτε κ. τ. λ. BUTTM.

[o] Pro Ἀδράστου quod in edd. omnibus et in ipso Aloysii MSto, item in Eustath. p. 760, 44. obtinet, audacter tamen, ut ipse ait, Ἄτρακος reposuit Barnesius, eundemque, quem dicit, errore Hyginum quoque (c. 33.) liberavit: idque non alio probare conatus est quam quod *Atracis* et *Atracia* poetis Latinis dicitur Hippodamia. Quæ tamen appellationes rectius ab urbe Atrace repetuntur, quamvis heros etiam ejus nominis, quem Cænei patrem tradiderunt nonnulli, in fabulis sit. Inter veras autem varietates memorandum est, quod hanc Pirithoi sponsam scholiastes ad Il. α'. 263. Ἱπποδαμίαν τὴν Βουτάδα dicit, pro quo in Ven. est Ἱπποβοτείαν τὴν Βούτου; Tzetzes autem ad Scut. Herc. 178. Δίαν τὴν Βουτάνου. Add. infra ad 303. BUTTM.

[p] Barnes. em. Δεξαμενῷ ἐν Ὠλένῳ ex Apollod. 2, 5, 5. bene, quoad nomen hominis: sed Ἤλιδι intactum relinquendum puto. Olenus enim, finitima Elidi civitas in illis præsertim temporibus huic regioni commode potuit accenseri. Cf. Paus. 5, 3. Eustathius p. 760, 33. habet ἐπιξενωθέντα τινὶ ἐν Ἤλιδι, unde apparet eum integriora nostris ante oculos hic certe non habuisse. BUTTM.

μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο·
ἥρωας δ' ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέϊ χαλκῷ
ῥῖνάς τ' ἀμήσαντες· ὁ δὲ, φρεσὶν ᾗσιν ἀασθεὶς,
ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ·
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
οἷ τ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
ὣς καί σοι μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις

301. Fῇσιν ἀFασθείς. 302. ὀχέων] ὀχέων a m. pr. ἀχέων ex emend. H. ἀχέων V. ib. Fήν. 303. ἀνδράσι νεῖκος] ἀνδράσιν εἰκὼς V. 304. τ'] δ' H. V. ib. Fοῖ. Fοινοβαρείων. 306. ἐπητύος] ἐδητύος ex emend. H. ib. τι Fεπητύος.

Eust. reposuit Barn.) ἐπιστάντος. Vulg. 298. Μαινόμενος κάκ' ἔρεξε] Ἤθελε γὰρ συμμιγῆναι τῇ γυναικὶ τοῦ Πειρίθου. Q. 302. Ὀχέων] Ὑποφέρων, ἢ ἔχων καὶ βαστάζων. Vulg. Ἀεσίφρονι] Φρενοβλαβεῖ. Vulg. 303. 304. Ἐξ οὗ Κενταύροισι——ΕΡΑΤΟ (voluit εὕρατο) οἰνοβαρείων [q]] Ἰξίων ὁ Διὸς παῖς Λαπίθης τὸ γένος κοινωνὸς τῆς θεῶν τραπέζης γενόμενος καὶ πιὼν πολὺ τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας ἀψάμενος, οὐχ ὅπως αὐτὸς ἀμοιβὰς τῷ Διὶ εὐεργεσίας ἐσκέπτετο, ἀλλὰ διὰ τῆς ἐμφύτου κακίας ἐπείραζε τὸν τῆς Ἥρας γάμον. ὑποπτεύσασα δὲ ἡ θεὸς ἀνήνεγκε τῷ Διὶ τὴν Ἰξίονος λύσσαν. ὁ δὲ ἐνθυμούμενος ζήλῳ πάλιν τοῦτο ταύτην ὀρθῶς διαβάλλουσαν τοὺς ἐξ αὐτοῦ γεγεννημένους, ἔκ τινος ὅμως ἐπιτεχνήσεως τῆς Ἰξίονος ἐπειρᾶτο γνώμης. σκοπῶν δὲ εὗρε τὸ ἀληθές. νεφέλην γὰρ Ἥρᾳ παρεικάσας μόνην ἐν τῷ θαλάμῳ τοῦ Ἰξίονος κατέλιπεν, ὁ δὲ ὡς Ἥραν ἐβιάσατο. τοῦτον οὖν ὁ Ζεὺς ἀγανακτήσας ἴσῳ (ἴσῃ em. Barn.) θανάτῳ περιέβαλε τιμωρίᾳ. γευσάμενον γὰρ τῆς ἀμβροσίας οὐκ ἦν αὐτὸν ἀποθανεῖν. ἀλλὰ τροχοὺς ποιήσας ὑποπτέρους ἔδησε τὸν Ἰξίονα πρὸς τὰς τῶν τροχῶν κνημῖδας καὶ εἴασε κατὰ τοῦ σφαιροειδοῦς φέρεσθαι βοῶντα, ὡς τοὺς εὐεργέτας ἀμείβεσθαι προσῆκε. Γίνεται δὲ ἐκ τῆς νεφέλης παῖς Ἰξίονι διφυὴς τὰ μὲν κατώτερα μέρη τῆς μητρὸς ἔχων· αἱ γὰρ νεφέλαι ἵπποις ἐοίκασι· τὰ δὲ ἀνώτερα μέρη ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τῆς κεφαλῆς τοῦ πατρὸς Ἰξίονος. φερόμενος δὲ οὗτος κατὰ Μαγνησίαν ἀκόλαστον εἶχε τὴν ὁρμὴν πρὸς τὰς συνουσίας· ἐῴκει γὰρ τοῦ πατρὸς ἀκολασίᾳ καὶ πολλάκις ἐπλησίαζε ταῖς κατὰ τὸ Πήλιον ἵπποις. ἐντεῦθεν λέγεται τὸ τῶν Κενταύρων ἀναφῦναι γένος. ὅθεν καὶ τὸν Πειρίθουν, ἐπίκλησιν Ἰξίονος υἱὸν ὄντα, λαμβάνειν ἐθέλει γύναιον παρὰ τῶν συγγενῶν Κενταύρων τὴν βάσιν τε προύχοντος αὐτῶν παρθένον Ἱπποδάμειαν [r]. ἡ ἱστορία παρὰ Πινδάρῳ (Pyth. 2. 39—88.) Vulg. 306. Ἐπητύος]

[q] Rejectum in ed. ant. ad calcem libri. BUTTM.

[r] Reliqui postrema hæc corruptissima prout leguntur in ed. Argent. Recentiores habent ἐθέλει—αὐτῶν παρθένων: e quibus verbis ultimum nonnisi per sphalma, duo autem prima rectissime mutata puto. Ita sat manifesta vestigia habemus narrationis secundum quam Pirithous solus e Lapitharum, Hippodamia autem e Centaurorum genere fuit. Et sponsæ quidem patris nomen e corrupto illo βάσιν alii fortasse eruent. Nisi excidit forte aliquid quod explicaret quomodo cum Centauri filia consuescere potuerit Pirithous; ut: τὴν ἀνθρωπίνην τὴν (h. e. κατὰ τὴν) βάσιν, τοῦ προὔχοντος αὐτῶν παρθένον, Ἱπποδάμειαν. BUTTM.

ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
πέμψομεν· ἔνθεν δ' οὔτι σαώσεαι· ἀλλὰ ἕκηλος
πῖνέ τε, μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἀντίνο', οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ, χερσίν τε βίηφί τε ἦφι πιθήσας,
οἴκαδέ μ' ἄξεσθαι, καὶ ἑὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπε·
μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
ἐνθάδε δαινύσθω· ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν.
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα·
κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
οὔτι σε τόνδ' ἄξεσθαι ὀϊόμεθ'· οὐδὲ ἔοικεν·
ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν, ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν·
ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται· ὅτ' οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν·
ἀλλ' ἄλλος τις, πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν,
ῥηϊδίως ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
ὣς ἐρέουσ'· ἡμῖν δὲ ἐλέγχεα ταῦτα γένοιτο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρύμαχ', οὔπως ἐστὶν ἐϋκλεῖας κατὰ δῆμον
ἔμμεναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος, μάλα μὲν μέγας, ἠδ' εὐπηγὴς,
ἀνδρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.

309. Ϝέκηλος. 311. προσέϜειπε. 314. Ϝέλπεαι. 315. ἦφι πιθήσας] ἧ,φι πιθήσας H. ib. Ϝῆφι. 316. Ϝοίκαδε. ἑϜήν. 317. ἔϜολπε. 319. 322. ἔϜοικεν. 324. Ϝείπῃσι. ἈχαιϜῶν. 329. δὲ] δ' ἂν H. V. W. ib. Ϝερέουσ'. 330. προσέϜειπε. 332. Ϝοῖκον. 333. ταῦτα] πάντα H. 335. ἀνδρὸς]

Μεταιτήσεως. Vulg. ed. ant. (et Eustath. qui addit ὡς ἀπὸ τοῦ ἐπαιτεῖν). 310. Μηδ' ἐρίδαινε] Γρ. μηδ' ἐρέεινε. Vind. 50. 318. Τοῦ εἵνεκα] Τούτου χάριν, ὅτι οὕτως ἐμὲ ἄξεται. Vulg. 319. Οὐδὲ ἔοικε] Τοῦτο ὑμᾶς ἐννοεῖν. Vulg. 333. Ἐλέγχεα πάντα] Γρ. ταῦτα. Harl. 334. Εὐπηγής] Εὐ-

ἀλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν·
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσῃ, δῴη δέ οἱ εὖχος Ἀπόλλων,
ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα·
πέμψω δ', ὅππῃ μιν κραδίη θυμός τε κελεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔτις ἐμεῖο
κρείσσων, ᾧ κ' ἐθέλω δόμεναί τε, καὶ ἀρνήσασθαι·
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσιν,
οὔθ' ὅσσοι ναίουσι πρὸς Ἤλιδος ἱπποβότοιο.
τῶν οὔτις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλοιμι
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ

πατρὸς H. W. πατρός V. 336. ϝοι. ϝίδωμεν. 337. ἐκϝερέω. 338. ϝοι. 339. καλά] πάντα, sed in marg. γρ. καλά H. ib. ϝέσσω. ϝείματα. 342. κελεύει] κελεύοι H. 344. Ἀχαιϝῶν. 346. 347. οὔθ'] οὐδ' H. 347. ναίουσι] νήσοισι H. νήσοισι V. W. 348. ἀϝέκοντα. 350. σαυτῆς] σ' αὐτῆς W. ib. ϝοῖκον. ϝέργα. 352. τόξον] τόξου post rasuram, sed, ut puto, ab eadem manu H. Fuerat μῦθος, quod scriba meminerat ex α'. 358. PORS. τόξου V. ib. ϝέργον. 353. ϝοίκῳ. 354. ϝοῖκόνδε.

παγής. Vulg. Εὐτραφής. Q. 346. Κραναὴν Ἰθάκην] Ὑψηλήν. Q. 347. Νήσοισι πρὸς Ἤλιδος] Ταῖς περὶ τὸ Δουλίχιον. Vulg. Ἔνιοι, ναίουσι. Vulg. Ed. Schrevel. Γρ. οὐδ' ὅσσοι ναίουσι. Harl. 349. Καθάπαξ] Καθόλου. Τοῦτο δὲ οὕτως ἔχει* παρὰ τῷ ποιητῇ ἐν ᾧ τῆς προηγουμένης λέξεως ληγούσης εἰς ξ, καὶ ἡ ἑξῆς ἄρχεται ἀπ' αὐτοῦ. Vulg. 352. Pro τόξον codd. aliquot, in his Vind. 56. habent μῦθος: nimirum ex α'. 358. Sed in Vind. 56. supra scriptum, Γρ. τόξον· ἢ περὶ τῆς τοῦ τόξου δόσεως μῦθος. 353. Post hunc versum in Vind. 133. legitur hic: Ὣς φάτο· ῥίγησε δὲ περίφρων Πηνελόπεια. quem ante illud ἡ μὲν ex more Homeri tantum non necessarium esse puto.

* Collato Eustathio Barn. em. οὕτως οὐκ ἔχει ἐπίζευξις: fortasse probabilius οὐχ ἐπίζευξις οὕτως ἔχει. Sed ne sic quidem recte procederet sequens ἐν ᾧ. BUTTM.

κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Πῆ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ' αὖ σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται,
οἶον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες· εἴ κεν Ἀπόλλων
ἡμῖν ἱλήκῃσι, καὶ ἀθάνατοι θεοὶ ἄλλοι.
Ὣς φάσαν· αὐτὰρ ὁ θῆκε φέρων αὐτῷ ἐνὶ χώρῳ,
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισι.
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·
Ἄττα, πρόσω φέρε τόξα· τάχ' οὐκ εὖ πᾶσι πιθήσεις·
μή σε, καὶ ὁπλότερός περ ἐὼν, ἀγρόνδε δίωμαι
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασι,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
ἡμετέρου ἐξ οἴκου· ἐπεὶ κακὰ μηχανόωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν
μνηστῆρες· καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
κληΐσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
κλήϊσσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.

357. ϝοι. 358. ϝηδύν. 359. δῖϝος. 361. ϝείπεσκε. 365. ἡμῖν] ἡμῖν γ' H. 366. αὐτῷ ἐνὶ χώρῳ] αὐτῇ ἐνὶ χώρῃ, H. 373. χερσίν τε] χείρεσσι V. 374. τῷ] τῷ V. 375. ϝοίκου. 376. ϝηδύ. 379. δαϊϝίφρονι. 385. ϝέργῳ. 387. κλήϊσσεν] κλήϊσεν V.

363. Πλαγκτέ] Παραπλὴξ, τὴν διάνοιαν πεπλανημένε. Vulg. 387. Με-

Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε,
κλήϊσσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤϊεν αὐτός.
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
εἰσορόων Ὀδυσῆα· ὁ δ' ἤδη τόξον ἐνώμα,
πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
μὴ κέρα ἶπες ἔδοιεν, ἀποιχομένοιο ἄνακτος.
ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων·
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
ἢ ὅγ' ἐφορμᾶται ποιησέμεν· ὡς ἐνὶ χερσὶ
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης.
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων·
αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεὺς
αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε, καὶ ἴδε πάντῃ,
ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηϊδίως ἐτάνυσσε νέῳ ἐπὶ κόλλοπι χορδήν,

388. Fοίκοιο. 390. ἀμφιFελίσσης. 395. Fῖπες. Fάνακτος. 396. Fείπεσκε Fιδών. 397. θηητὴρ] θηρητὴρ V. ib. ἐπίκλοπος] ἐπίκλοπος H. Et V. pro v. l. 398. Fοίκοθι. 401. αὖ Fείπεσκε. 405. Fίδε. 407. ἐπὶ] περὶ V. Et Apollonius. PORS.

γάρων εὐναιεταόντων] Οἰκημάτων καλῶς κατεσκευασμένων. Q. 390. Ὅπλον] Σχοινίον. Vulg. Q. 391. Βίβλινον (sic uterq. liber)] Καννάβινον. οἱ δὲ τὸ (Q. ἢ τὸ) ἐκ παπύρου. Vulg. Q. 395. Ἶπες] Θηρία ἐσθίοντα τὰ κέρατα, παραπλήσια κώνωψι. Κατανοεῖ δὲ μὴ ἄρα ἄχρηστα αὐτῷ γένηται, καὶ ἑτέρῳ δέον χρήσασθαι μηχανῇ. Vulg. 397. Θηητήρ] Θαυμαστικὸς, ἔμπειρος. Vulg. Ἐπίκλοπος] Ἐπιθυμητὴς, ὀρεκτικὸς, κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν, καὶ κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. Vulg. Ἐπίκλοπος] Γρ. ἐπίκλοπος Harl. 399. Ἐφορμᾶται] Προτεθύμηται. Vulg. 400. Ἔμπαιος] Ἔμπειρος. Q. 402. Τοσσοῦτον ὀνήσιος ἀντιάσειεν] Ὁ νοῦς· εἴθε καὶ ἀεὶ τοσοῦτον ὄνησιν ἂν βούλεται λάβοι. ἢ οὕτως· εἴθε τοσοῦτο μετάσχοι, ὡς οὐ (f. ὅσον) δυνήσεται ἐντανῦσαι. Vulg. Ὀνήσιος] Ὠφελείας ἢ τῆς βρώσεως ἣν εἰλήφει παρὰ τῶν μνηστήρων. Vulg. 407. Νέῳ] Ἀντὶ τοῦ, καινῷ. Vulg. Κόλλοπι] Κολλάβῳ. εἴρηται δὲ παρὰ τὴν κόλλαν (ol. κόλλα). Vulg. Ἔνθα τείνονται αἱ ἐν τῇ λύρᾳ

ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
ὣς ἄρ' ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς·
δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε, σήματα φαίνων·
γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου παῖς ἀγκυλομήτεω.
εἵλετο δ' ὠκὺν ὀϊστὸν, ὅς οἱ παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι·
τόν ῥ' ἐπὶ πήχει ἑλὼν εἷλκεν νευρὴν γλυφίδας τε,
αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ' ὀϊστὸν
ἄντα τιτυσκόμενος· πελέκεων δ' οὐκ ἤμβροτε πάντων
πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προσέειπε·
  Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
ἥμενος· οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός.
  Ἦ, καὶ ἐπ' ὀφρύσι νεῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ

410. πειρήσατο] πειρήσετο H. 411. ϝεικέλη. 414. δίϝος. 415. 416. ϝοι. 418. Ἀχαιϝοί. 419. εἷλκεν] ἕλκεν W. 422. διὰ δ' ἀμπερὲς] διαμπερὲς V. 423. προσέϝειπε. 425. ἤμβροτον] ἤμβροτεν H. ib. τόξον] τόξου H. 428. Ἀχαιϝοῖσιν.

χορδαί. Q. 408. Ἔντερον οἰός] Τὴν χορδήν. Vulg. 417. Κοίλης] Βαθείας, διὰ τὸ γεγλύφθαι. Vulg. 419. Πήχει] Τῷ τοῦ τόξου κέρατι. Vulg. 422. Πρώτης στειλειῆς] Ἀπρώτης (rec. διὰ πρώτης: rectius puto ἀπὸ πρώτης) γὰρ ὀπῆς τῶν πελέκεων διηνεκῶς ἦλθεν. Vulg. Vid. Barn. 423. Χαλκοβαρής] Ὁ ἀπὸ σιδήρου ἰσχυρός. Vulg. 428. Νῦν δ' ὥρη καὶ δόρπον] Παρέλκει τὴν διάνοιαν αὐτῶν. τὸ μὲν οὖν δεῖπνον ἀντὶ τοῦ θανάτου, τὸ δὲ, ἑψιάασθαι (sic), ἀντὶ τοῦ οἰμώζειν. Vulg. 429. ΕΨΙΑΑΣΘΑΙ. τέρπεσθαι. Vulg. Ἑψιάασθαι] Παῖξαι. Q. 431. Ἀμφέθετο] Ἐπεῖχεν, ηὐτρέπισεν. Vulg. Ηὐτρέπισε. Q.

Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ· ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνῳ εἱστήκει, κεκορυθμένος αἴθοπι χαλκῷ.

434. πὰρ θρόνῳ εἱστήκει] παρθρόνιον ἑστήκει H. πὰρ θρόνω ἑστήκει W.

THE

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Χ.

Χῖ, Ὀδυσσεὺς μνηστῆρας ἐκαίνυτο νηλέϊ χαλκῷ.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·
ἆλτο δ' ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν, ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην· ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
αὐτοῦ πρόσθε ποδῶν· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ,
εἴσομαι αἴ κε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε,

4. ἔFειπεν. 5. ἀάFατος. 7. τύχοιμι] τύχωμι W.

Ὑπόθεσις. Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς παρούσης Ἀθηνᾶς ἐν τοῖς ἑξῆς τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει ἅμα Μελανθίῳ. Pal. Vulg. Μνηστηροφονία. ἡ τῶν σωμάτων συγκομιδή. καὶ ὡς καθαίρει τοῦ φόνου τὸν οἶκον ὁ Ὀδυσσεύς. Q. Vulg. 1. Αὐτὰρ ὁ γυμνώθη ῥακέων] Τὴν ῥακώδη ἀπεδύσατο ἐσθῆτα, οὐχ ὅλως, ἀλλὰ τῶν περιττῶν καὶ ῥακωδῶν, τὰ σκέποντα τὰ ἀναγκαῖα ἔχων. ἑξῆς γοῦν ἡ Εὐρύκλειά φησιν, Μηδ' οὕτω ῥάκεσσι πεπυκασμένος εὐρέας ὤμους Ἕσταθι (488.). Vulg. 9—12. Ἤτοι ὁ καλὸν ἄλεισον ἀ. ἔμελλεν χρύσεον —— μετ' ἀνδράσιν [a]] Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς μελέταις ἵνα φησὶν τὴν, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρους (sic), ἀφ' οὗ παροιμίαν διαδεδόσθαι [b]. προστιθέμενος γὰρ Ἀντίνοος τὸ πῶμα

[a] Cum longo isto lemmate hoc scholium in ed. ant. ad finem libri rejectum est. Conferendum autem illud est cum Zenob. 5, 71. et Tz. ad Lycophr. 489. qui itidem Aristotelem testem laudat, et quidem τὸν τοὺς Πέπλους συντάξαντα: vid. Jacobs. ad Anthol. I. 1. p. 367. (Aristot. num. 3.). Locum autem hunc de Ancaeo in Peplo habuisse videntur in genealogia Agapenoris Ancaei filii. BUTTM.

[b] Sic ed. ant. Recentt. ἐν ταῖς μελέταις φησὶ τὴν παροιμίαν, πολλὰ—ἄκρου, ἀπὸ τούτου διαδεδόσθαι. Vind. ἐν τ. μ. φησὶ τὴν πολλὰ μ. π. κ. κ. χείλεος παροιμίαν ἐνθένδε ἐλθεῖν. προστιθέμενος γὰρ Α. τὸ πῶμα βάλλεται. BUTTM.

χρύσεον, ἄμφωτον· καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι,
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατόν τε κακὸν, καὶ κῆρα μέλαιναν;
τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ·
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
βλημένου· αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο· θοῶς δ' ἀπὸ οἷο τράπεζαν
ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε.
σῖτός τε, κρέα τ' ὀπτὰ, φορύνετο· τοὶ δ' ὁμάδησαν
μνηστῆρες κατὰ δῶμα, ὅπως ἴδον ἄνδρα πεσόντα·
ἐκ δὲ θρόνων ἀνόρουσαν, ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
οὐδέ πῃ ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος, ἑλέσθαι.
νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσι·
Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκ ἔτ' ἀέθλων
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος·
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος

11. Fοίνοιο. Fοι. 14. Fοῖ. 17. Fοι. 19. οἷο] εἷο H. W. ib. Fοῖο. 22. δῶμα] δώματ' H. W. ib. Fίδον. 23. ὀρινθέντες] ὀριθέντες V. 24. ποτὶ] κατὰ V. 25. πῃ] που H. 26. Fεπέεσσι. 27. οὐκ ἔτ'] οὐκέτ' W. 28. ἀντιάσεις] ἀντιάσειας H. 29. δὴ νῦν] νῦν δὴ V.

(scr. ἔκπωμα e Zenobio) βάλλεται (hucusque Vind. 5.). Λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως. Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος ἔχων ἱκέτην (οἰκέτην recte emendant e Zenob.) ἀπὸ Κρήτης ἐκέλευσεν αὐτῷ προσφέρειν ποτὸν οἴνου. εἰπόντος δὲ αὐτοῦ, ὡς οὐ δυνήσεται πιεῖν ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι τυγχάνουσιν [c], αὐτὸς ὁ Ἀγκαῖος κατακερτομήσας τοὺς θεράποντας ἔλαβε τὴν κύλικα καὶ προσέθετο. λέξαντος δὲ ἐκείνου, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου, ἅμα συνέβη χρῆμα συὸς μεγάλου ἐπιβαρῆσαι (sic; MS. Barnes. ἐπιζαρῆσαι) τοῖς τοῦ Ἀγκαίου χωρίοις. ἀκούσαντα δὲ αὐτὸν ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ δραμεῖν ὡς τὸν ἄγριον ὗν, συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. ἔνθα φασὶ κατανοῆσαι τὴν παροιμίαν. Vulg. 14. Μέλαιναν] Γρ. φυτεῦσαι. Vind. 5. et 50. 19. Αὐλὸς αἵματος] Τὸ ἐξακόντισμα, ὁ κρουνὸς τοῦ αἵματος. πᾶν γὰρ τὸ στενὸν αὐλὸν ἔλεγον. ὅθεν καὶ τοὺς στενοὺς ποταμοὺς ἐναύλους. Vulg. 27. Το-

[c] Confusa narratio. Inspice Zenobium, ubi videbis, servum longe antea, cum vineam plantaret Ancaeus, dixisse μὴ μεταλήψεσθαι δεσπότην τοῦ καρποῦ. [illegible]

κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται.
Ἴσκεν ἕκαστος ἀνήρ, ἐπειὴ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἴκαδ' ἱκέσθαι
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
δμῳῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι.
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε·
πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·
Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,

31. Ϝέκαστος. 34. Ϝιδών. 35. Ϝοῖκαδ': corrige αὖθις ἱκέσθαι ut supra φ'. 211. 36. Ϝοῖκον. 37. 38. transponit H. ib. παρευνάζεσθαι ἀνάγκῃ schol. Venet. ad Il. ι'. 336. Sed βιαίως codex Towaleianus. PORS. 40. ἔσεσθαι] ἴθεσθε V. 43. omittit H. Uncinis includit W. ib. Ϝέκαστος. 44. προσέϜειπεν. 46. Ϝεῖπες. ἈχαιϜοί. 49. Ϝέργα.

ἔδονται] Τεύξεσθε ἐπιτυγχάνεις. Vulg. 31. Ἴσκε] Ἄλλοι μὲν τὸ ἔλεγον σημαίνειν βούλονται. MS. Barnes. Οὐδέποτε Ὅμηρος ἐπὶ τοῦ ἔλεγε τό, ἴσκε, ἀλλ' ἐπὶ τοῦ ὁμοίου. ἠπάτηται οὖν ὁ διασκευαστὴς ἐκ τοῦ, Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα (τ'. 203.). Vind. 31. 35. Νέεσθαι] Ἐλθεῖν ἐπανήξειν [d]. Vulg. 36. Κατεκείρατε (sic)] Κατεδαπανᾶτε. Vulg. 38. Ὑπεμνάασθε] Ὑπεφθείρετε, λεληθότως ἐμνηστεύεσθε. περὶ δὲ τῆς ἐπιβουλῆς τοῦ Τηλεμάχου οὐκ ἀπέδειξεν, ἴσως ἐπεὶ προβεβουλευμένοι (scr. προστιθ. β.) ἠμύνοντο. ἔφη (γὰρ ins. recentt.), Πειρήσω ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω (β. 316.) ἰάλω ἀντὶ τοῦ ἐγγενήσατε. ΕΣΕΣΘΑΙ ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι [e]. Vulg. 49. Ἐπίηλεν] Συνέστησεν.

[d] Omiserunt scholium recentiores, quoniam hodie in textu οἴκαδ' ἱκέσθαι. Sed οἴκαδε νέεσθαι est in cod. Vind. 133. BUTTM.

[e] Sic ed. ant. In MS. Aloys. (si recte Barnesium intelligo) pro priori ἔσεσθαι scriptum ἴσεσθε, quod in aliquibus etiam codd. in textu est pro eo quod nunc editur ἴθεσθε. Hoc ipsum autem ἴθεσθε in scholiorum edd. recentt. instar lemmatis novi scholii ita positum est: 40. Ἴθεσθε] Ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι: sine sensu. Barnesius

οὔτι γάμου τόσσον κεχρημένος, οὔτε χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων·
ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτὸς, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται· σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισι,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰσόκε σὸν κῆρ
ἰανθῇ· πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμμ' ἐστὶ, καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
νῦν ὑμῖν παράκειται, ἐναντίον ἠὲ μάχεσθαι,
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
Ὣς φάτο· τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον, ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰσόκε πάντας
ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης·
φάσγανά τε σπάσσασθε, καὶ ἀντίσχεσθε τραπέζας

50. γάμου] γάμων H. 51. Ϝοι. 54. λαϜῶν. 57. Depravatum quidem videtur, sed non notatu indignum, quod habet Etymologus M. p. 758, 47. τιμὴν ἀλφίσκοντες et deinde ἑκάστου. PORS. ib. ἐϜεικοσάβοια Ϝέκαστος. vid. supra α'. 431. 60. Ϝιδών. 61. ἀποδοῖτε] ἀποδῶτε V. 72. ἄπο] ἐπὶ H.

Vulg. 54. Ἐν μοίρῃ] Δικαίως, δεόντως. Barnes. (non memorans unde.) 57. Ἀμφὶς ἄγοντες] Χωρὶς ἕκαστος δόντες. Vulg. 74. Φάσγανά τε σπά-

codicis sui rationem diserte non exponit, sed hoc verissimum vidit, [illegible] corruptum esse ex [illegible] quo explicaretur verbum [illegible]. Cetera quomodo constituerit, apud ipsum vide: mihi simplicissimum visum est, ut scholio priori in voce ἰάλλω terminato, et lemmate Ἔθεσθε loco alterius ἰάλλω posito, reliqua ita ordinentur: 40. Ἔθεσθε] Ἀντὶ τοῦ [illegible]. (ita δ) [illegible], ἵν' ᾖ, δόξαντες ἔσεσθαι. BUTTM.

ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
ἀθρόοι· εἴ κέ μιν οὐδοῦ ἀπώσομεν, ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο·
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξὺ,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· ἆλτο δ' ἐπ' αὐτῷ
σμερδαλέα ἰάχων· ὁ δ' ὁμαρτῇ δῖος Ὀδυσσεὺς
ἰὸν ἀποπροΐεὶς βάλλε στῆθος παρὰ μαζὸν,
ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
φάσγανον ἧκε χαμᾶζε, περιῤῥηδὴς δὲ τραπέζῃ
κάππεσε δινηθεὶς· ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε,
καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ,
θυμῷ ἀνιάζων· ποσὶ δὲ θρόνον ἀμφοτέροισι
λακτίζων ἐτίναξε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
ἀντίος ἀΐξας· εἴρυτο δὲ φάσγανον ὀξὺ,
εἴπως οἱ εἴξειε θυράων· ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ,
ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε·
δούπησεν δὲ πεσὼν, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος
αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε, μή τις Ἀχαιῶν
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειε,
φασγάνῳ ἀΐξας, ἠὲ προπρηνεῖ τύψας.

77. γένοιτο] γένηται V. ib. Ϝάστυ. 79. ἐϜερύσσατο. 81. ὁμαρτῇ] ὁμαρτεῖ V. ib. Ϝιάχων. δῖϜος. 82. ἀποπροΐεὶς] ἀποπροΐει V. ib. βάλλε] βάλε δὲ H. 83. 91. Ϝοι. 84. περιῤῥηδὴς] περιρρηδὴς H. 85. δινηθεὶς] δηνηθεὶς, et suprascr. δινωθεὶς H. 88. ἐτίναξε] ἐτίνασσε H. V. ib. δ' ἔχυτ'] κ' ἔχυτ' H. κέχυτ' V. 89. ἐϜείσατο. 90. ἐϜέρυτο. 96. ἈχαιϜῶν. 98. προπρηνέϊ sed α super ϊ H. ib. τύψας] τύψῃ H.

σασθε] Ἐξιφοφόρουν γὰρ οἱ παλαιοί. Vulg. 82. Ἰὸν ἀποπροΐεις, βάλε δὲ στῆθος text. Γρ. Ἰὸν ἀποπροΐεὶς βάλε (βάλλε) στῆθος. Vind. 133. 84. Περιῤῥηδής] Περικλινής. Q. Harl. ΠΕΡΙΡΗΔΕΙΣ (sic). περικλασθεὶς ἢ περιρρηγείς ἢ περιφερόμενος ἢ περιῤῥυείς. ἢ περιφερής. Vulg. 89. Ὀδυσσῆος ἐείσατο] Ὡς ἐπὶ Ὀδυσσέα ὁρμῆσαι. Vulg. 92. Τηλέμαχος κατόπισθε] Ἐγγὺς τοῦ Ὀδυσσέως γενόμενον τὸν Ἀμφίνομον παραλλάξας κατὰ τοῦ νώτου ἔβαλεν. πιθανῶς δὲ πρώτην ἀριστείαν Τηλεμάχου διέθετο ἐν ᾗ τὸν πατέρα διέσωσεν. Vulg. 97. Ἐλάσειε] Πλατεῖ τῷ ξίφει πλήξειεν. Vulg. 98. Προπρηνεῖ] Κατὰ στόμα τῷ

βῆ δὲ θέων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε,
καὶ κυνέην εὔχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών· δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
οἶσε θέων, εἵως μοι ἀμύνεσθαι πάρ' ὀϊστοὶ,
μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί.
βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο·
ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτὼ,
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν.
αὐτὸς δὲ πρώτιστα περὶ χροῒ δύσατο χαλκόν·
ὣς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλὰ,
ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
Αὐτὰρ ὅγ', ὄφρα μὲν αὐτῷ ἀμύνασθαι ἔσαν ἰοὶ,
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα·
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.

99. θέων] θεείου H. θέειν W. 100. Ϝέπεα. 102. εὔχαλκον] εὔγχαλκον H. W. 109. θάλαμόνδ'] θάλαμονδ' H. ib. Ϝοι. 110. ἔνθεν] ἔνθα H. ib. ἔξελε] εἵλετο H. 113. δύσατο] δύσετο H. W. 115. δαΐφρονα. 116. ἀμύνασθαι] ἀμύνεσθαι V. W. 117. Ϝῷ ἐνὶ Ϝοίκῳ. 119. Ϝάνακτα. 120. πρὸς] πρὸ V. 124. δεινὸν] δεγνὸν ex emend. ejusdem manus. In marg. δεινὸν H. PORS.

ξίφει ὀρθῶς εἰς τοὔμπροσθεν μὴ ἀνατείνας ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος οἱ δὲ πλήττοντες πλάγιον. Vulg. Προσφυᾶ] Προσφύων.

Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ·
ἀκρότατον δὲ παρ' οὐδὸν ἐϋσταθέος μεγάροιο
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι·
τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
ἑστάοτ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίνετ' ἐφορμή.
τοῖς δ' Ἀγέλαος ἔειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη,
καὶ εἴποι λαοῖσι; βοὴ δ' ὤκιστα γένοιτο;
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
οὔπως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅστ' ἄλκιμος εἴη.
ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πῃ ἄλλῃ
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.
Ὣς εἰπὼν, ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,

128. ἀραρυῖαι] ἀραρυῖαν V. 129. δῖϝον. 130. ἑστάοτ'] ἑστεῶτ' a m. pr. H. PORS. 131. Ἀγέλαος] Ἀγέλεως H. V. W. ib. ἔειπεν] μετέειπεν H. W. ib. πιφαύσκων] πιφάσκων V. ib. Ἀγέλαϝος ἔϝειπε, ϝέπος. 133. ϝείποι λαϝοῖσι. 135. προσέϝειπε. 136. Ἀγέλαϝε. 142. ϝειπών.

Q. Τύψη] Γρ. ἢ τύψειε [f]. Harl. 126. Ὀρσοθύρη] Ἐν τῷ τοῦ οἴκου ἐναντίῳ τοίχῳ θύρα ἦν δι' ἧς εἰς τὸν θάλαμον ἀναβῆναι, ἔνθα τὰ ὅπλα ἔκειτο. εἶπεν δὲ οὕτως, ἐπεὶ ὑψηλοτέρα ἦν ἐφ' ᾗ ἦν ὀροῦσαι καὶ ἀναθορεῖν. Vulg. 127. 128. Vid. not. ad 130. 128. Λαύρην] Στενὴν ὁδὸν, δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φέρονται· οἱονεὶ ἄμφοδον. Vulg. ΕΙΣΑΙ. καλῶς ἡρμοσμέναι. Sic ed. ant. Nam recent. reposuerunt lemma e textu edito εὖ ἀραρυῖαι [g]. 129. Φράζεσθαι] Τηρεῖν, φυλάσσειν. Q. 130. Ἐφορμή] Ἔξοδος. ἦν δὲ ἑνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰσόδου τοίχῳ τοῦ ἀνδρῶνος. ἐν τῇ δεξιᾷ γωνίᾳ ἦν ὀρσοθύρα, ἥτις εἰς τὴν λαύραν ἔφερεν. ἡ δὲ λαύρα στενωπός ἐστι παρακείμενος ἔξωθεν τοῦ ἐν δεξιᾷ τοίχου ἐν ᾧ καὶ ὁ θάλαμος, οὐχ ὁ Πηνελόπης ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο. αὕτη δὲ ἡ λαύρα ἔξοδον ὡς εἰς τὸν πρόδομον εἶχεν. ἑνὸς δὲ ἦν ἔξοδος ὀρσοθύρα, λαύρα,

[f] Nimirum præter receptam hodie lectionem ὃ προτερωΐ τύψας, quinque aliæ erant; cum præter dativum accusativus etiam, et præter participium conjunctivus etiam et optativus invenirentur, optativo autem conjunctio monosyllaba ἢ se adaptaret, ἢ προτερωΐ (vel -ῶ) τύψειε. BUTTM.

[g] Si versui fulcrum aliquod addas non male σανίδες dicantur etiam εἷσαι. BUTTM.

ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο·
ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα,
καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.
καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσὶ δὲ δοῦρα
μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
  Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶϊν ἐποτρύνει πόλεμον κακὸν, ἠὲ Μελανθεύς.
  Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, οὐδέ τις ἄλλος
αἴτιος, ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
καὶ φράσαι, εἴ τις ἄρ' ἐστὶ γυναικῶν, ἣ τάδε ῥέζει,
ἢ υἱὸς Δολίοιο, Μελανθεὺς, τόν περ ὀΐω.
  Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
οἴσων τεύχεα καλά· νόησε δὲ δῖος ὑφορβὸς,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν, ἐγγὺς ἐόντα·
  Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὃν ὀϊόμεθ' αὐτοὶ,

143. ἀνὰ ῥῶγας] ἀναρρῶγας H. 144. ἔνθεν δώδεκα] ἔνθα δυώδεκα V. 148. χερσὶ δὲ] χερσί τε H. W. ib. Ϝίδε. 149. Ϝέργον. 150. Ϝέπεα. 157. δῖ'] δὴ H. V. ib. δῖϜ'. 159. τόν] ὃν V. 162. δῖϜος. 164. ΔιϜογενὲς ΛαϜερτιάδη.

θάλαμον, ἀνδρῶν. ΟΥΔΟΣ, πρόδομος[h]. Vulg. 143. Ῥῶγας] Ῥήγματα, θυρίδας, ἢ τὰς τῆς οἰκίας ὑπερώας διόδους. Vulg. 154. Ἄμβροτον] Ἀντὶ τοῦ ἥμαρτον. Vulg. 158. Καὶ φράσαι] Τὸ φράσαι οὐ μόνον ἐπὶ ψυχικῆς ἐννοίας ἀλλὰ καὶ ἐπὶ ὄψεως φησιν ὁ ποιητής. Q. 165. Ἀΐδηλος] Ὀλέθριος ἄξιος. Q.

[h] Sic Vulg. ed. ant. et MS. Barnes. In recentt. corrupte Οὐδος] πρόδομος idque inepte relatum ad v. 134. Barnesius rescripsit Οὐδός rettulitque ad 128. Sed manifeste respicitur vox οὐδὸν v. 127. Ego mentem extremae hujus scholii partis nondum quidem perspicio: sed hoc tamen videre videor nomina omnia locum definientia nominativo casu hic coacervata fuisse, ὀρσοθύρα, λαύρα, θάλαμος, ἀνδρὼν, οὐδὸς, πρόδομος, quorum sensum sustulit fortasse lacuna. BUTTM.

ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπε,
ἤ μιν ἀποκτείνω αἴ κεν κρείσσων γε γένωμαι,
ἦέ σοι ἐνθάδ᾽ ἄγω, ἵν᾽ ὑπερβασίας ἀποτίσῃ
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας·
σφῶϊ δ᾽ ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν
ἐς θάλαμον βαλέειν, σανίδας δ᾽ ἐκδῆσαι ὄπισθε·
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
κίον᾽ ἀν᾽ ὑψηλὴν ἐρύσαι, πελάσαι τε δοκοῖσιν,
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ᾽ ἄλγεα πάσχῃ.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ᾽ ἐπίθοντο·
βὰν δ᾽ ἴμεν ἐς θάλαμον· λαθέτην δέ μιν ἔνδον ἐόντα.
ἤτοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε᾽ ἐρεύνα·
τὼ δ᾽ ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.

166. ἔνισπε] ἔνισπες H. Et sic diserte citat hunc locum Etymologus M. p. 343, 7. PORS. 167. κεν] κε H. ib. γε] τε H. 169. ϝοίκῳ 174. ὄπισθε] ὄπισθεν V. 176. ϝερύσαι. 177. πάσχῃ] πάσχει H. 179. βὰν] βῆ H. V. 181. ϝεκάτερθε.

173. Σφῶϊ] Ὑμεῖς οἱ δύο. Vulg. 174. Σανίδας δ᾽ ἐκδῆσαι] Τὸ ἑξῆς, σφῶϊν (sic) ἀποστρέψαντες σειρὴν δὲ πλεκτὴν ἐπ᾽ (scr. ἀπ᾽ vel ἐξ) αὐτοῦ πειρήνατε κίονα ὑψηλὴν ἐρύσαι σανίδας δ᾽ ἐκδῆσαι[i]. ἢ ὄπισθεν κλείσατε τὰς θύρας μετὰ ταῦτα. Vulg. Τὸ ὄπισθεν χρονικῶς, ἀντὶ τοῦ μετὰ ταῦτα τὰς σανίδας, ὅ ἐστι τὰς θύρας, δήσαντες ἐξελθόντες καὶ ἐάσαντες αὐτὸν ἐῤῥιμμένον. εἶτα ὡς μεταγνοὺς φησι, μᾶλλον δὲ μὴ ἐῤῥιμμένον ἐάσητε ἀλλὰ κρεμάσατε. λείπει δὲ τὸ μᾶλλον, ὡς ἐν τῇ συνηθείᾳ φαμὲν, ἄπελθε εἰς τὴν ἀγορὰν, εἶτα ὡς μεταγνόντα (scr. -ες) φαμὲν[k]—. Q. Ὄπισθεν] Γρ. ἱμάντι. Vind. 133. 175. Σειρὴν] Πλέγμα, σχοινίον. Πειρήναντες] Ἐκδήσαντες[l]. Vulg. 176. Ἐρύ-

[i] Recentt.—σφῶϊ ἀποστρέψαντε πόδας καὶ χεῖρας εἰς θάλαμον ἐμβάλλετε. σειρὴν δὲ πλεκτὴν ἐπ᾽ αὐτοῦ πειρήναντε ἀνὰ κίονα ὑψηλὸν ἐρύσατε σανίδας δ᾽ ἐκδήσατε—. Sed hæc maximam partem præter necessitatem interpolata sunt, nisi quod dualia ἀποστρέψαντε et πειρήναντε cum præp. ἀνὰ recte redduntur scholiastæ; qui textum sedulo contraxit, verba autem non mutavit. Mentem ejus plenius explicat schol. Q. BUTTM.

[k] Sequuntur in Mediol. sine ullo lacunæ signo hæc ἐφεπομένων εὑρῶν κ. τ. λ. quæ ad locum suum v. 184. remisimus. Apparet scribam ab altero in alterum scholium aberrasse, sed non ita magno damno: nam facile ad priorem hunc locum mens enarratoris suppletur. BUTTM.

[l] Sic recte in recentt. correctum mendum ed. ant. ΠΕΙΡΗΝΑΝΤΕΣ. ἐδήσαντες. BUTTM.

εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ, γέρον, πεπαλαγμένον ἄζῃ,
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε·
δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δ' ἐλέλυντο ἱμάντων·
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην, ἔρυσάν τέ μιν εἴσω
κουρίξ· ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ.
σὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέϊ δεσμῷ,
εὖ μάλ' ἀποστρέψαντε διαμπερὲς, ὡς ἐκέλευσεν
υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς.
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσι.
τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὡς ἐπέοικεν·
οὐδέ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
αἶγας μνηστήρεσσι δόμον κάτα, δαῖτα πένεσθαι·
Ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ.
τὼ δ' ἐς τεύχεα δύντε, θύρην τ' ἐπιθέντε φαεινὴν,

182. εὖθ'] ἔνθ' in marg. pro v. l., ut puto, sed m. recenti H. PORS. 184. εὐρὺ, γέρον] εὐρύτερον V. 185. Λαϝέρτεω. 186. δ' ἐλέλυντο] δὲ λέλυντο W. 187. ϝέρυσαν. 191. Λαϝέρταο. ϝυἱός. 193. ϝέρυσαν. 196. ὡς ἐπέοικεν] ὥς σε ἔοικεν W. ib. σε ϝέϝοικεν. 200. ἐνὶ] ἐνὶ H. V. 201. τ' omittit H.

σαι] Ἀπαρτῆσαι. Vulg. 183. Τρυφάλεια] Περικεφαλαία τριφαλεά τις οὖσα, ἢ τρεῖς φάλους ἔχουσα. Vulg. 184. Πεπαλαγμένον] Μεμολυσμένον. Harl. Ἄζῃ] Εὐρῶτι ἢ ξηρασίᾳ. Vulg. Πεπαλαγμένον (sic) ἄζῃ] Μεμολυσμένον τῇ ξηρότητι. Q. Ἠφανισμένον[m] εὐρῶτι, ἢ μέλανι κεχρωσμένον. εὐρὼς δέ ἐστιν ἡ τοῖς μυδῶσιν ἐπιγινομένη λευκότης ἀράχνῃ προσφερής. Q. 186. Ῥαφαὶ δ' ἐλέλυντο ἱμάντων] Inepte in Mediol. huc relatum scholium quod apposui versui 201. 188. Κουρίξ] Ὁ μὲν Ἀρίσταρχος, τῆς κόμης ἐπιλαβόμενοι· ὁ δὲ Κράτης, κουρὶξ ὁ νεανίσκος (τὸ νεανικῶς em. Barn. ex Eust.) Vulg. Ἐκ τῶν τριχῶν λαβόμενοι, ἢ νεανικῶς (ins. ἢ) ἐκ τῆς κόρης ὅ ἐστι τῆς κεφαλῆς, ὅθεν καὶ κουραὶ εἴρηνται. Q. 192. Πειρήναντες] Δήσαντες. Q. 201. Τὼ δ' ἐς τεύχεα δύντε[n]]

[m] Hoc verbum in Mediol. statim adhaeret voci φαμὲν in scholio ad 174. Fieri potest igitur ut cum lemmate alia etiam interciderint. BUTTM.

[n] Huc scholium a v. 186. transtuli. Nam non tum primum arma induisse eos apparet e v. 114. BUTTM.

βήτην εἰς Ὀδυσῆα δαΐφρονα ποικιλομήτην·
ἔνθα μένος πνείοντες ἐφέστασαν· οἱ μὲν ἐπ' οὐδοῦ,
τέσσαρες, οἱ δ' ἔντοσθε δόμου, πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, καὶ μῦθον ἔειπε·
Μέντορ, ἄμυνον ἀρὴν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
ὅς σ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι.
Ὣς ἔφατ', οἰόμενος λαοσσόον ἔμμεν' Ἀθήνην.
μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι·
πρῶτος τήν γ' ἐνένιπτε Δαμαστορίδης Ἀγέλαος·
Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεὺς
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ·
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
ὁππότε κεν τούτους κτέομεν, πατέρ' ἠδὲ καὶ υἱὸν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
ἔρδειν ἐν μεγάροις· σῷ δ' αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
κτήμαθ', ὁπόσσα τοί ἐστι, τά τ' ἔνδοθι, καὶ τὰ θύρηφι,
τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας,
οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν.
Ὣς φάτ'· Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον·
νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον, οὐδέ τις ἀλκὴ,
οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ, εὐπατερείῃ,
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί·
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι·

202. δαϝίφρονα. 204. δόμου] δόμων W. 206. ϝειδομένη. 207. ϝιδὼν. ϝέειπε. 208. μνῆσαι] μνῆσον V. 210. ἔφατ' οἰόμενος] φάτ' ὀΐομενος W. ib. λαϝοσσόον. 212. ἐνένιπτε] ἐνένιπεν H. ἐνένιπε. V. ib. Ἀγέλαϝος. 213. σε ϝέπεσσι. 214. ϝοι. 216. κτέομεν] κτείνωμεν H. V. W. 218. ϝέρδειν. 223. ϝάστυ. 225. ϝεπέεσσιν. 228. εἰνάϝετες.

Ἀποδυσάμενοι γὰρ ἦσαν ἵνα δεσμεύσωσιν ἀνεμποδίστως τὸν Μελάνθιον. Q. 210. Οἰό-

σῇ δ' ἤλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σὸν δῆμον καὶ κτήμαθ' ἱκάνεις,
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο, καὶ ἴδε ἔργον,
ὄφρ' εἰδῇς, οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσι
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν.
Ἦ ῥα, καὶ οὔπω πάγχυ δίδου ἑτεραλκέα νίκην,
ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν,
ἠμὲν Ὀδυσσῆος, ἠδ' υἱοῦ κυδαλίμοιο.
αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
ἕζετ' ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
Μνηστῆρας δ' ὄτρυνε Δαμαστορίδης Ἀγέλαος,
Εὐρύνομός τε, καὶ Ἀμφιμέδων, Δημοπτόλεμός τε,
Πείσανδρός τε Πολυκτορίδης, Πόλυβός τε δαΐφρων·
οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι,
ὅσσοι ἔτ' ἔζωον, περί τε ψυχέων ἐμάχοντο·
τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
τοῖς δ' Ἀγέλαος ἔειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών·
οἱ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
τῷ νῦν μὴ ἅμα πάντες ἀφίετε δούρατα μακρά·

231. σὸν δῆμον] σόν τε δῆμον H. σόν τε δόμον V. W. 233. ϝίδε ϝέργον. 234. τοι] τε V. ib. ὡς ϝειδῇς. 235. ἀποτίνειν] ἀποτίνων V. ib. εὐϝεργεσίας. 240. ϝεικέλη. 241. Ἀγέλαϝος. 243. δαΐϝφρων. 247. τοῖς δ' Ἀγέλαος ἔειπεν] τοῖσιν δ' Ἀγέλεως μετέειπεν H. τοῖς δ' Ἀγέλεως μετέειπεν W. ib. Ἀγέλαϝος ἔϝειπε, ϝέπος. 249. ϝοι. ϝειπών. 251. ἀφίετε] ἐφίετε H.

μενος] Ἀντὶ τοῦ πεπιστευμένος. Vulg. 232. Ἄντα μνηστήρων ὀλοφύρεαι] Νῦν, ἀποδειλιᾷς, ἢ ὑποκρίνῃ, ὑποδεέστερος γίνῃ. ἢ ἐλλείπει ἡ περὶ, ἵν' ᾖ περὶ μνηστήρων. Vulg. 239. Μέλαθρον] Τὴν ὀροφήν· Πολλὰ δὲ καθύπερθεν μελαθρόφιν ἐξεκέχυντο (θ'. 279.). Q. 240. Χελιδόνι εἰκέλη] Οὐκ ἀληθῶς εἰς χελιδόνα μετεβλήθη ἡ θεὸς, οὐδὲ Ἑρμῆς ὁ λάρῳ ὄρνιθι ἐοικὼς (ε'. 51.), οὐδὲ αἰθυίῃ εἰκυῖα (ε'. 337.) Λευκοθέα, οὐδὲ ὁ Πρωτεὺς πῦρ ἐγένετο*. ἔκαυσε γὰρ ἂν Μενέλαον. τοῖς γὰρ ὁρῶσι δοκεῖ ταῦτα

* Od. δ'. 418. in praedictione Idotheae, non in ipsa postea narratione, ubi ignis non memoratur. BUTTM.

ἀλλ' ἄγεθ', οἱ ἓξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς
δώῃ Ὀδυσσῆα βλῆσθαι, καὶ κῦδος ἀρέσθαι·
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν, ὡς ἐκέλευσεν,
ἱέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
αὐτὰρ ἐπειδὴ δούρατ' ἀλεύαντο μνηστήρων,
τοῖς ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμι,
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα,
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεὺς,
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ·
οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας.
μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε·
τοὶ δ' ἄρ' ἐπήϊξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.
Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα,
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
λίγδην, ἄκρην δὲ ῥινὸν δηλήσατο χαλκός.

255. ἐκέλευσεν] ἐκέλευεν H. V. W. 256. ϝετώσια. 261. δϝῖος. 262. ϝείποιμι. 265. ὀξέα δοῦρα] ὡς ἐκέλευεν V. 270. ἀνεχώρησαν] ἀπ' ἐχώρησαν H. 272. αὖτις] αὖθις V. 273. ϝετώσια. 275. βεβλήκει] βεβλήκειν a m. pr. H. 276. ἄλλου δ'] ἀλλ' αὖθ' in text. ἄλλου δ' pro v. l. V. 278. ἄκρην] ἄκρον H.

καίπερ ψευδὲς ὑπάρχον. Q. 264. Ἐπὶ προτέροισι κακοῖσι] Σὺν οἷς ἔπραττον πρόσθεν κακοῖς. Q. 270. Μεγάροιο μυχόνδε] Εἰς τὸν ἐνδότερον τόπον τοῦ ἀνδρῶνος, ὡσεὶ ἔλεγε πρὸς αὐτὸν τὸν τοῖχον τὸν ἀντικρὺ τῆς εἰσόδου. Q. 278. Λίγδην] Ὥστε ἐπιλίξαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιπολαίως μόνον τὴν ἔξωθεν ἐπιφάνειαν τοῦ

Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπτατο, πίπτε δ' ἔραζε.
τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην,
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἔνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα·
Ὦ Πολυθερσίδη φιλοκέρτομε, μήποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσι
μῦθον ἐπιτρέψαι· ἐπειὴ πολὺ φέρτεροί εἰσι·
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
ἀντιθέῳ Ὀδυσῆϊ, δόμον κατ' ἀλητεύοντι.
Ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεὺς
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ·
Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
δουρὶ μέσον κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν·
ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.
οἱ δ' ἐφέβοντο κατὰ μέγαρον, βόες ὣς ἀγελαῖαι,

280. τὸ δ'] τὸ' δ' H. 281. δαϝίφρονα. 287. Πολυθερσίδη] Πολυθερσείδη H. W. 288. ϝειπεῖν. 292. ϝελίκων 297. φθισίμβροτον] φθισόμβροτον H.

σώματος. Vulg. Ξεστικῶς. Ἅπαξ δὲ ἐνταῦθα, καὶ ἅπαξ ἐν Ἰλιάδι (ρ'. 599.) ἐπιλήχθην. Q. 287. Φιλοκέρτομε] Ὁ τὸν φίλον σκώπτων. Vulg. 288. Μέγ' εἰπέμεν (sic)] Ἀντὶ τοῦ καυχήσασθαι. Vulg. 296. Ἤριπε δὲ πρηνής] Οὗτος ἐπ' αὐτὴν πίπτει τὴν πληγήν. Vulg. 298. Ἐπτοιήσθην (sic)] Ἐν εὐλαβείᾳ καὶ φόβῳ ἐγένοντο. Vulg. 299. Οἱ δὲ φέβοντο——ἐδόνησεν] Ὁ οἶστρος ἀπογεννᾶται ἐκ τῶν ἐν τοῖς ποταμοῖς πλατέων ζωαρίων τῶν ἐκπλεόντων τὰ ὕδατα. διὸ καὶ πλεῖστα περὶ αὐτὰ γίνονται. ὁ δὲ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται. καὶ Καλλίμαχος περὶ τοῦ μύωπος, Βούσσω οὖτε μύωπα βοῶν καλέουσιν ἀμορβοί[p]. εἰσὶ δὲ οὗτοι πολέμιοι ταῖς βουσίν. ὅταν γὰρ κατὰ τὴν λαπάραν αὐταῖς ἐφίζωνται εὐθέως ἀπολιμπάνουσι τὸν νομὸν σοβηθέντες. ἔστι δὲ ὁ μὲν οἶστρος μυίᾳ παραπλήσιος κέντρον ἔχων εὐμέγεθες ἐκ τοῦ στόματος, καὶ φωνὴν μεγάλην βομβεῖ.

[p] Ex Hecale: vid. fr. 46. e Suida et hoc scholiaste. Menda ab aliis jam sublata ita: βουσσόον ὅντε. BUTTM.

τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν,
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
οἱ δ', ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θορῶσι,
ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται.
οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
γίγνεται, οὐδὲ φυγή· χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ·
ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς,
κράτων τυπτομένων· δάπεδον δ' ἅπαν αἵματι θῦε.
  Λειώδης δ' Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
  Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν, οὐδέ τι ῥέξαι, ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος, οὐδὲν ἐοργὼς,
κείσομαι· ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.
  Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι

308. ἀϝεικής. 310. γούνων] γοῦνα V. 311. ϝέπεα. 314. οὐδέ] οὔτε V. ib. ϝειπεῖν. 317. ἀϝεικέα. 318. οὔτι ϝεϝοργώς. 319. μετόπισθ'] μετόπισθεν V. ib. εὐϝεργέων. 320. ϝιδών. 322. που] μου H. V.

ὁ δὲ μύωψ παρόμοιος τῇ κυνομυίᾳ, τό,τε κέντρον ἔλαττον ἔχει τοῦ οἴστρου. ἱστορεῖ περὶ τούτων Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων. Vulg. (in ed. ant. in fine libri). Οἶστρος, ὁ λεγόμενος μύωψ. ἔστι δὲ ζῶον ὑπόχαλκον τὴν μορφὴν, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν ἐξοιστρεῖν ἀναγκάζει τοὺς βόας. καὶ Καλλίμαχος, Βοὺς σὺν οὔτε μύωπα βοῶν καλέουσιν ἀμορβοί. Vulg. (suo loco). Ζωΰφιόν τι οἶστρος ὅπερ εἰσερχόμενον εἰς τοὺς βόας ποιεῖ τούτους μαίνεσθαι. Q. Οἶστρος θηρίον ἀκρίδι ἐοικὸς τὴν χροιὰν ποικίλον, εὐκίνητον, δάκνον καὶ στροβοῦν τὰς βοῦς. Q. 304. Νέφεα] Τὰ λίνα. Q. Cf. Eust. et Hesych. 307. Τοί] Γρ. τούς. Harl. 309. Κράτων] Αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας τῆς κρᾶτα, ὡς μῆλα.

τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι, καὶ τέκνα τεκέσθαι·
τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα.
Ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ
κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόνγε κατ' αὐχένα μέσσον ἔλασσε·
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκασε κῆρα μέλαιναν
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ·
ἔστη δ' ἐν χείρεσσιν ἔχων φόρμιγγα λιγεῖαν
ἄγχι παρ' ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ

323. ἐμοὶ] ἐμοῦ H. 327. Ἀγέλαϝος. 329. γε] δὲ V. 330. ἀλύσκασε] ἀλύσκανε H. W. Et sic citat Apollonius in voce. PORS. ἀλύσκανε V. 332. λιγεῖαν] λίγειαν W. 334. ποτὶ] παρὰ V. 335. ἑρκείου] ἕρκειου V. ib. ἵζοιτο] ἕζοιτο H.

ὥσπερ οὖν μῆλον οὕτως κράτων. σημαίνει δὲ, τῶν κεφαλῶν. Vulg. 324. Σπέσθαι] Ἀκολουθῆσαι (ed. ant. ἀκολούθησον hic et mox). ἀπὸ τοῦ ἕπεται τὸ ἀπαρέμφατον ἕπεσθαι, καὶ πλεονασμῷ τοῦ σ ἕσπεσθαι (sic proparox.: ed. ant. ἔσπεσθαι) ὅπως, ἅμα σπέσθαι ἑοῖ αὐτῷ [q] ἤγουν ἀκολουθῆσαι. Vulg. 325. Τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα] Εὐλόγως τὸν Λειώδην ἀναιρεῖ. οὔτε γὰρ μὴ ἦν μάντις ἀληθὴς, ἀλλ' ἐσκέπτετο (scr. ἐσκήπτετο), ἄξιος ἀποθανεῖν· καὶ γὰρ οὗτος εἷς τῶν μνηστήρων· εἴτε προειδὼς τὰ μέλλοντα ἔμενε μετ' αὐτῶν. Vulg. Δυσηλεγέα] Δυσκοίμητον. Vulg. Δύσφημον διὰ τοὺς θρήνους. Q. 327. ΟΣΡΑ (voluit ὅῤῥα)] Ὅπερ δή. Vulg. 330. Τερπιάδης] Τέρπιος παῖς· ἢ ὁ τέρ-

[q] Od. Γ. 38. ubi hodie legitur ἅμ' ἑσπέσθαι, sed in MSS. varietas ἅμα σπέσθαι. Barnesius in nostro scholio emendat ὅπως, ἅμ' ἑσπέσθαι, quoniam haec videtur mens esse scholiastae. Sed videtur tantum. Nam qui hoc scholium ad illustrandam formam σπέσθαι scripsit, in forma ἑσπέσθαι demonstranda subsistere non potuit. Sed vid. Etym. M. v. σπέσθαι ubi nostri scholii major pars iisdem verbis, et in fine: πλεονασμῷ τοῦ σ ἕσπεσθαι (sic) καὶ σπέσθαι. Sic igitur hoc quoque scholium constituendum: καὶ πλεονασμῷ τοῦ σ ἕσπεσθαι καὶ σπέσθαι, ὅπως, ἅμα σπέσθαι [σπέσθαι] κ.τ.λ. Apparetque nunc scholiasten in loco Od. Γ. commendare, immo unice agnoscere, scripturam ἅμα σπέσθαι: ut igitur forma infinitivi ἑσπέσθαι non usquequaque tuta sit: nam loci Il. ε'. 423. eadem est ratio et eadem ibi dissographia. Grammaticus autem, ut solent, in his ἕσπεσθαι καὶ σπέσθαι prius posuit ideo tantum ut posterius inde derivetur. (Conf. not. ad Γ. 826.) BUTTM.

Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί' ἔκηαν·
ἦ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
ἤτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου·
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
πέφνῃς, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν,
ὥστε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱὸς,
ὡς ἐγὼ οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας·
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ.
Ὣς φάτο· τοῦ δ' ἤκουσ' ἱερὴ ἲς Τηλεμάχοιο,
αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα·
Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ·
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅστε μευ αἰεὶ
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντος·
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος, ἠὲ συβώτης,
ἠέ σοι ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα.
Ὣς φάτο· τοῦ δ' ἤκουσε Μέδων, πεπνυμένα εἰδώς·

336. ἔκηαν] ἔκειαν H. ἔκαον [an ἔκηαν?] text., μηρία κῆαν pro v. l. V. ἔκαιον W. ib. Λαϝέρτης. 338. ϝοι. 339. Λαϝερτιάδεω. 343. ϝέπεα. 348. ϝέϝοικα. 350. τάδε ϝείποι. 351. ϝεκών. 354. ϝίς. 355. ἑϝόν. 358. ϝοίκῳ. 361. ϝειδώς.

τον. Vulg. 336. Κῆαν*] Ἔκαυσαν. Vulg. 340. Ἤτοι ὁ φόρμιγγα] Πιθανῶς ἀντὶ τῆς ἱκετηρίας τὴν φόρμιγγα προτείνει δι' αὐτῆς τὸν Ἀπόλλωνα προΐσχων αὐτόν, ὥσπερ ὁ Χρύσης διὰ τῶν στεμμάτων. Q. 349. Δειροτομῆσαι]

* Sic ed. ant. Corruptionem recentiorum, κῆα, Barnesius correxit ita ut suo textui responderet, ἔκαον. Sed aoristum quem Harleianus etiam praebet unice verum hic esse, Ernestius demonstravit. BUTTM.

πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
ἕστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
αἶψα δ' ἀπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην·
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί· σὺ δ' ἴσχεο· εἰπὲ δὲ πατρὶ,
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος· οἵ οἱ ἔκειρον
κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.
Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
θάρσει, ἐπειδή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
ὄφρα γνῷς κατὰ θυμὸν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
ἐκ φόνου εἰς αὐλὴν, σύ τε καὶ πολύφημος ἀοιδὸς,
ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι, ὅττεό με χρή.
Ὣς φάτο· τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε.
ἑζέσθην δ' ἄρα τώγε Διὸς μεγάλου ποτὶ βωμὸν,
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί.
Πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
πεπτεῶτας πολλούς· ὥστ' ἰχθύας, οὕσθ' ἁλιῆες
κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες

363. Ϝέστο. 364. ἀπὸ] ὑπὸ H. V. ib. θοῶς] βοὸς H. 365. προσαΐξας] ὑπαΐξας V. 366. Ϝέπεα. 367. ὅδ'] ὧδ' pro v. l. V. ib. Ϝειπέ. 369. Ϝοι. 370. μεγάροις] μεγάρῳ H. μεγάρῳ V. 372. ἐρύσσατο] ἐρύσατο H. 373. γνῷς erat, sed nunc ς erasum H. ib. Ϝείπησθα. 374. κακοϜεργίης εὐϜεργεσίη. 377. ποιήσομαι] ποιήσωμαι V. 378. κιόντε] κιόντες V. 381. ἑϜόν. 383. Ϝίδεν. 384. ἰχθύας] ἰχθῦς V. 385. πολιῆς] πολλῆς V. 386. ἐκϜέρυσαν.

Λαιμοτομῆσαι. Q. 364. Pro θοῶς Harl. in textu βοός, sed suprascriptum γρ. θοῶς: et in marg. Περισσὸν τὸ βοός. 368. Περισθενέων] Ἤτοι περισσῶς ἰσχύων. Vulg. Περισσῶς χρώμενος τῷ αὐτοῦ σθένει. Q. 373. Εἴπῃσθα (sic)] Εἴπῃς. Vulg. 376. Πολύφημος] Πολλοὺς εὐφημῶν, ἢ πολλοὺς φημίζων. Vulg. 386. Πολυωπῷ] Πολλὰς τρύπας ἔχοντι τῷ δικτύῳ. Vulg.

κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται,
τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν·
ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
Τηλέμαχ', εἶδ' ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
ὄφρα ἔπος εἴποιμι, τό μοι καταθύμιόν ἐστιν.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν·
Δεῦρο δὴ ὄρσο, γρηῢ παλαιγενές, ἥτε γυναικῶν
δμωάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων·
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπη.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος·
ὤϊξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων,
βῆ δ' ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
εὗρεν ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοις νεκύεσσιν,
αἵματι καὶ λύθρῳ πεπαλαγμένον· ὥστε λέοντα,
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
πᾶν δ' ἄρα οἱ στῆθός τε, παρήϊά τ' ἀμφοτέρωθεν
αἱματόεντα πέλει· δεινὸς δ' εἰς ὦπα ἰδέσθαι·
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
ἡ δ' ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
ἴθυσέν ῥ' ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν, ἱεμένην περ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐν θυμῷ γρηῦ, χαῖρε, καὶ ἴσχεο, μηδ' ὀλόλυζε·
οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι·

391. εἶδ'] εἰ δ' W. 392. εἴποιμι] εἴπωμι W. ib. Fέπος Fείποιμι. 397. Fείπῃ. 401. κταμένοις νεκύεσσιν] κταμένοισι νέκυσσιν H. W. 404. Fοι. 405. Fιδέσθαι. 407. εἴσFιδεν. 408. εἴσFιδε Fέργον. 409. Fιεμένην. 410. Fέπεα.

408. Ὀλολύξαι] Εὔξασθαι. Vulg. Χαρῆναι, εὔξασθαι. Q. 412. Οὐχ ὁσίη] Οὐ δίκαιον. Vulg. Εὐχετάασθαι] Οὐ λέγει ἐπικαυχᾶσθαι τοῖς ἀποθανοῦσιν· αὐτὸς γοῦν ὁ Ὀδυσσεὺς τοῦτο φαίνεται ποιῶν ἐπὶ Σώκου (Il. Λ'. 450.)· ἀλλ' εὐχετάασθαι νῦν φησιν εὔχεσθαι. οὐ χρὴ εὔχεσθαι νεκρῶν παρακειμένων. εἰ γὰρ εὐχόμενοι παρουσίαν, αἰτοῦσι τοῦ θεοῦ· νεκροῖς δὲ παρεῖναι τὸ θεῖον ἀδύνα-

τούσδε δὲ μοῖρ' ἐδάμασσε θεῶν, καὶ σχέτλια ἔργα·
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
ἀλλ' ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
αἵ τέ μ' ἀτιμάζουσι, καὶ αἳ νηλητεῖς εἰσι.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω·
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμωαὶ, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἴριά τε ξαίνειν, καὶ δουλοσύνης ἀνέχεσθαι·
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
οὔτ' ἐμὲ τίουσαι, οὔτ' αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
ἀλλ' ἄγ', ἐγὼν ἀναβᾶσ' ὑπερώϊα σιγαλόεντα
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
μήπω τήνδ' ἐπέγειρε· σὺ δ' ἐνθάδε εἰπὲ γυναιξὶν
ἐλθέμεν, αἵπερ πρόσθεν ἀεικέα μηχανόωντο.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
εἰς ἓ καλεσσάμενος ἔπεα πτερόεντα προσηύδα·

413. ϝέργα. 415. ὅτις] ὅστις V. 416. ἀϝεικέα. 418. νηλητεῖς] νηλητέες V. 419. προσέϝειπε. 422. μὲν ϝέργα. ϝεργάζεσθαι. 426. ϝε. 429. ἐπῶρσε] ἔχευεν H. ἔχευε V. ib. ϝείπω. 431. ϝειπέ. 432. ἀϝεικέα. 433. γρηῢς] γρηῦς V. 436. ϝέ. ϝέπεα.

τον, ὅθεν καὶ Ἀρχίλοχός [a] φησιν, Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσι. Q. et ultima, ab ὅθεν, Vind. 56.[b] 424. Ἀναιδείης ἐπέβησαν] Ἐπὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. Vulg. 431. Μήπω τήνδ' ἐπέγειρε] Ἐκώλυσε γὰρ ἂν

[a] Liebel. fr. 41. Brunck. fr. 18. e Clem. Alex. et Stobaeo. BUTTM.

[b] Apparet hoc Ἔνθεν καὶ, quod per sensum adversatur scholio cui in cod. Q. adhaeret, scholium esse seorsim, ipsi versui Homerico adscriptum. BUTTM.

Ἄρχετε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας, ἠδὲ τραπέζας,
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰσόκε πασέων
ψυχὰς ἐξαφέλοισθε, καὶ ἐκλελάθοιντ᾽ Ἀφροδίτης,
τὴν ἄρ᾽ ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρῃ.
Ὣς ἔφαθ᾽· αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
αἴν᾽ ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνειῶτας,
κὰδ δ᾽ ἄρ᾽ ὑπ᾽ αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
ἀλλήλῃσιν ἐρείδουσαι· σήμαινε δ᾽ Ὀδυσσεὺς
αὐτὸς ἐπισπέρχων· ταὶ δ᾽ ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας, ἠδὲ τραπέζας,
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
ξῦον· ταὶ δ᾽ ἐφόρεον δμωαὶ, τίθεσαν δὲ θύραζε,
αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,

444. ἐξαφέλοισθε] ἐξαφέλησθε H. W. 448. κατατεθνειῶτας] κατατεθνηῶτας, et sic ubique, W. 456. ἐφόρεον] ἐκφόρεον H. 458. δμωὰς] δμωὰς δ᾽ H. W.

κολασθῆναι τὰς δούλας. Vulg. 437. Ἄρχετε] Ἄρξασθε [*]. Vulg. 442. Θόλου] Κυκλοτεροῦς οἰκήματος, ἀπὸ τοῦ περιθεῖν, εἰς ὃ τὰ καθ᾽ ἑκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπετίθεντο, οἷον κρατῆρας, καὶ ἐκπώματα καὶ τὰ ὅμοια. Q. Vulg. 449. Ὑπ᾽ αἰθούσῃ] Τῇ ὑπαίθρῳ. Q. 450. Ἀλλήλῃσιν ἐρείδουσαι] Ἐπιτιθεῖσαι. Vulg. Ἐπερείδουσαι ἀλλήλαις, ὅ ἐστιν ἐπιτιθεῖσαι τοὺς νεκρούς. Q. 451. Ἐπιστείλων] Ἐπισπέρχων: sic mendose Mediol. e cod. Q. Textus Vind. 133. ἐπισπέρχων et suprascriptum γρ. ἐπιστείλων, item mendose pro ἐπιστείχων, quod ut var. lect. affertur ex Eustathio et codd. nonnullis. 455. Λίστροισι] Τοῖς ξυστῆρσι ἀπὸ τοῦ λειαίνειν. Vulg. Ξύστροισιν ἀπὸ τοῦ λεῖειν (scr. λεῖον) ποιεῖν τὸ ἔδαφος. τὰ ἀναξεόμενα μολύσ-

[*] En grammaticum ἄρχειν et ἄρχεσθαι confundentem. Cf. Il. α΄. 571. γ΄. 67. et al. BUTTM.

μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
εἴλεον ἐν στείνει, ὅθεν οὔπως ἦεν ἀλύξαι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ' ἀγορεύειν·
Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν,
μητέρι θ' ἡμετέρῃ, παρά τε μνηστῆρσιν ἴαυον.
Ὣς ἄρ' ἔφη· καὶ πεῖσμα νεὼς κυανοπρῴροιο
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
ὑψόσ' ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκοιτο.
ὡς δ' ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι, ἠὲ πέλειαι,
ἕρκει ἐνιπλήξωσι, τό θ' ἑστήκει ἐνὶ θάμνῳ,
αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος·
ὣς αἵ γ' ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
δειρῇσιν βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔτι μάλα δήν.
Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέϊ χαλκῷ
τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι·
χεῖράς τ' ἠδὲ πόδας κόπτον, κεκοτηότι θυμῷ.
Οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε πόδας τε
εἰς Ὀδυσῆα δόμονδε κίον· τετέλεστο δὲ ἔργον.
αὐτὰρ ὅγε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·
Οἶσε θέειον, γρηῦ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
ἐλθεῖν ἐνθάδ' ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
πάσας δ' ὄτρυνον δμωὰς κατὰ δῶμα νέεσθαι.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·

462. δὴ] ἐν H. 469. τό θ'] τῷ H. ib. ἑστήκει] ἑστήκῃ a m. pr., in εἱστήκει mutatum, H. Quod ex ἑστήκειν depravatum suspicor. PORS. 471. πάσαις] πάσας V. 479. ϝέργον. 480. προσέϝειπε. 485. προσέϝειπε.

ματα. Q. 460. ΕΙΛΕΟΝ. ἀπέκλειον. Vulg. 462. Καθαρῷ θανάτῳ] Τὸν διὰ ξίφους θάνατον τοῦ ἠγχονισμένου θανάτου ἐνόμιζον καθαρώτερον. Q. 463. Κάκ' ὀνείδεα (mendum, opinor,) text. Γρ. κατ'. Vind. 5. 469. Ἕρκει] Νῦν τῷ δικτύῳ. Vulg. 470. Αὖλιν] Κοίτην. Vulg. 471. Ὣς αἵγ' ἑξείης κεφαλάς] Ἴσως ἐκ τινος ἐξοχῆς ἢ ξύλων ἐκδόσεις τῆς ἀντικρὺ τῆς καθόδου στοᾶς ὑφ' ἓν κίονος. Q. 482. Θεειώσω] Καθάρω (sic ed. ant. non καθαρῶ). Vulg.

καὶ δὴ ταῦτά γε, τέκνον ἐμὸν, κατὰ μοῖραν ἔειπες·
ἀλλ' ἄγε τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐνείκω·
μηδ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ' ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω.
ὣς ἔφατ'· οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια·
ἤνεγκεν δ' ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
γρηῢς δ' αὖτ' ἀνέβη διὰ δώματα κάλ' Ὀδυσῆος,
ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι·
αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
αἱ μὲν ἄρ' ἀμφεχέοντο, καὶ ἠσπάζοντ' Ὀδυσῆα,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους,
χεῖράς τ' αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾕρει
κλαυθμοῦ καὶ στοναχῆς· γίνωσκε δ' ἄρα φρεσὶ πάσας.

486. ἔϝειπες. 487. ϝείματ'. 489. ἕσταθ'] ἔσταθ', et in marg. ἵστασο H. 492. φίλη τροφὸς] περίφρων H. 493. ἤνεγκεν] ἤνεικεν W. 495. ἀνέβη] ἐνέβη H. 497. δάος] δᾷδας V. 501. δ' ἄρα] δὲ H.

493. Θήϊον] Θεῖον ἄπυρον. Vulg. 494. Διεθείωσεν] Περιήγνισεν. Vulg. 500. Αἰνύμεναι] Λαμβάνουσαι. Q. Αἰνόμεναι (sic)] Ἐπιλαμβανόμεναι. Vulg.

THΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ψ.

Ψι, δ' ἀναγνωρίζει πόσιν ὃν ποτε Πηνελόπεια.

ΓΡΗΫ͂Σ δ' εἰς ὑπερῷ' ἀνεβήσατο καγχαλόωσα,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
γούνατα δ' ἐῤῥώσαντο, πόδες δ' ὑπερικταίνοντο·

1. ἀνεβήσατο] ἀνεβήσετο H. 2. ἱερέουσα.

Ὑπόθεσις. Ἀγγελία Εὐρυκλείας Πηνελόπῃ περὶ τοῦ Ὀδυσσέως καὶ τῆς τῶν μνηστήρων ἀναιρέσεως, ἀναγνωρισμός τε αὐτῆς πρὸς Ὀδυσσέα. Pal. Q. Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα καὶ τῶν τῆς πλάνης διηγημάτων ἀνακεφαλαίωσις· καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος. Vulg. 1. Καγχαλόωσα] Ἤτοι γήθουσα, παρὰ τὸ καγχαλᾶσθαι, ἀφ' οὗ καὶ ὁ οἶνος χάλιξ ὁ χαλῶν καὶ ἀνιεὶς ἡμᾶς ἀπὸ τῶν φροντίδων· καὶ τὸ παρὰ τὴν συνουσίαν σπαθίνεσθαι καὶ ὑποστένειν, χαλιβάζειν ἔλεγον *. Q. 3. Ἐῤῥώσαντο] Ἐῤῥωμένως ἐβάδιζον. Ὑπερικταίνοντο] Ἀρίσταρχος, ἀνεπάλλοντο καὶ ἐκινοῦντο προθυμουμένης αὐτῆς βαδίζειν ταχέως, μὴ δυναμένης δὲ, ἀλλὰ κατὰ βραχὺ διὰ τὸ γῆ-

* Observo primum, fieri non posse ut χάλιξ derivarit grammaticus a καγχαλᾶσθαι. Quare aut post hoc verbum excidit ejus ipsius a verbo χαλᾶσθαι derivatio, aut, quod mihi quidem verosimilius videtur, omnia quæ post verbum καγχαλᾶσθαι leguntur, male huc translata sunt, ascripta primitus versui 13. ad quem Eustathius quoque (p. 799, 42.) de iisdem rebus, et partim iisdem verbis egit. Jam ipsam hanc formam χάλιξ in vini significatione a lexicographis nostris repudiatam videbis qui nonnisi de *lapillo* eam agnoscunt, de vino solam formam χάλις admittentes. Monemus itaque χάλιξ hac significatione legi etiam apud Eustathium l. c., apud Hesychium (quanquam hic in litterarum serie formam χάλις posuit) in explicatione vocis ἀκροχάλιξ, et aliquoties apud Philemonem grammaticum, quibus nostrum jam scholium accedit. Supra tamen ad σ'. 530. formam χάλις servandam duximus. Deinde pro illo χαλιβάζειν Maius corrigit χαλιμάζειν: recte, opinor: nam sic Suidas: Χαλιμάζειν, τὸ περὶ τὰς συνουσίας ὁρμᾶν, et Etym. M. (v. Χαλίφρων), καὶ τὸ περὶ τὰς συνουσίας πίθεσθαι χαλιμάζειν ἔλεγον: unde apparet formam χαλινάζειν nonnisi corruptam ex illa esse in his Eustathii verbis, καὶ Ἐπίχαρμος δέ φασι χαλινάζειν λέγει τὸ περὶ συνουσίαν ἐφ' ἡδονῇ ἀνίεσθαι καὶ ὑποστένειν. In omnibus autem hisce grammaticorum locis nostri scholii verba variata tantum aliquatenus agnosces, neque dubitabis jam pro περὶ reponere παρὰ, et pro barbaro σπαθίνεσθαι, verbum recentioribus Græcis familiare, παθαίνεσθαι, quod latet etiam in illo Etymologi πίθεσθαι. BUTTM.

στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
ὀφθαλμοῖσι τεοῖσι, τά τ' ἔλδεαι ἤματα πάντα·
ἦλθ' Ὀδυσεὺς, καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών·
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵθ' ἑὸν οἶκον
κήδεσκον, καὶ κτήματ' ἔδον, βιόωντό τε παῖδα.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
μαῖα φίλη, μάργην σε θεοὶ θέσαν· οἵτε δύνανται
ἄφρονα ποιῆσαι, καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν,
ταῦτα παρὲξ ἐρέουσα; καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις
ἡδέος, ὅς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ' ἐποψόμενος κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ' ἄγε νῦν κατάβηθι, καὶ ἂψ ἔρχευ μέγαρόνδε·
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε, καὶ ἐξ ὕπνου μ' ἀνέγειρε,
τῶ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μεγάρων· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
οὔτι σε λωβεύω, τέκνον φίλον· ἀλλ' ἔτυμόν τοι

4. ἔϜειπεν. 5. Ϝίδηαι. 6. τὰ Ϝέλδεαι. 7. Ϝοῖκον. 8. οἵθ' ἑὸν] οἵτε οἱ W. ib. ἑϜὸν Ϝοῖκον. 10. προσέϜειπε. 14. αἰσίμη] αἴσιμος V. 16. παρὲξ ἐρέουσα] παρεξερέουσα H. ib. Ϝερέουσα. 17. Ϝηδέος. 19. κακοϜίλιον. 21. τίς μ'] τις μοι H. 22. μ' omittit. H. W. 25. προσέϜειπε.

ρας. οἱ δὲ, ὑπερεξετείνοντο. ἄμεινον δὴ θεν ἐκινοῦντο, παρὰ τὸ ἴκταρ, ὅ ἐστιν, ἐγγύς. καὶ γὰρ προείρηκε, γούνατα δ' ἐῤῥώσαντο. ταχέως οὖν ὑπερικνοῦντο, ὅ ἐστι, παρεγίνοντο. MS. Barnes. Ἐῤῥωμένως ἐβάδιζον· ὑπερικταίνοντο δὲ, ὑπερικνοῦντο καὶ ὑπερεπήδων, ὑπὲρ τὸ δέον ἐβάδιζον. Q. 13. Χαλιφρονέοντα] Κεχαλασμένας καὶ παρειμένας ἔχοντα τὰς φρένας. Q. Κεχαλασμένας ἔχοντα τὰς φρένας, ἠλίθιον, ματαιόφρονα. Vulg. Et vide not. ad 1. 14. Φρένας αἰσίμη ἦσθα] Ἀντὶ τοῦ καθήκοντα φρονοῦσα, παρὰ τὸ αἶσα. Q. 15. Λωβεύεις] Χλευάζεις, εἰς λώβην καὶ ὕβριν ἄγεις. Vulg. 16. Παρὲξ ἐρέουσα] Παρὰ τὸ δέον λέγουσα. Vulg. 24. Σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει] Τὸ μὴ μεθ' ὕβρεως ἀποπεμφθῆναι. ἢ οἷον, εἰ καὶ τὰ ἄλλα σοι βαρύ ἐστι, τοῦ-

ἦλθ' Ὀδυσεὺς, καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισι.
Τηλέμαχος δ' ἄρα μιν πάλαι ἤδεεν ἔνδον ἐόντα,
ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
ὄφρ' ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων.
Ὣς ἔφαθ'· ἡ δ' ἐχάρη, καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκε·
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Εἰ δ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἔνισπε,
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε,
μοῦνος ἐὼν, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἶον ἄκουον
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι·
πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσε
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοις νεκύεσσιν
ἑσταόθ'· οἱ δέ μιν ἀμφὶ κραταίπεδον οὖδας ἔχοντες
κείατ' ἐπ' ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης,

27. 36. Fοῖκον. 29. Fείδεεν. 34. Fέπεα. 35. ἔνισπε] ἐνίσπες H. V. 39. προσέFειπε. 40. πυθόμην] πειθόμην H. ib. ἄκουον] ἄκουσα H. ib. Fίδον. 43. ἀπὸ] ἀπ' ἐκ V. 45. κταμένοις νεκύεσσιν] κταμένοισι νέκυσσιν H. W. 46. ἑσταόθ'] ἑσταῶθ' H. V. 47. et 49. notantur ᾱ et γ̄. 48. additus in marg. β. H. 47. Fιδοῦσα.

τό γε ὀνήσει. Vulg. 28. Ὁ ξεῖνος] Στικτέον μετὰ τοῦτο. ἠθικῶς δὲ ὁ ξένος (Vind. Στ. ἤγουν ὁ ξ.) ἐστὶν ὁ Ὀδυσσεύς. Vulg. Vind. 56. 31. Ὑπερηνορεόντων] Ὑπερηφανευόντων. Q. 37. Ὅπως δὴ μνηστῆρσιν (immo ad 40. Οὐκ ἴδον)] Οὔτε ποίῳ τρόπῳ ἀπώλοντο εἶδον, οὔτε παρ' ἄλλου ἤκουσα. Q. 41. Ἡμεῖς δὲ μυχῷ] Ἡμᾶς δὲ αἱ θύραι εἴσω κατεῖχον. Σανὶς δὲ εἴρηται οἱονεὶ τανὶς παρὰ τὸ τετάσθαι. Q. 42. Ἀτυζόμεναι] Ἐκπληττόμεναι, ταρασσόμεναι[b]. ἀτύω, ὁ μέλλων ἀτύσω· καὶ κατὰ παραγωγὴν, ἀτύζω, Αἰολικῶς. Vulg. Ἔχον] Ἀντὶ τοῦ ἠσφαλισμέναι ἦσαν. Vulg. 46. Κραταίπεδον οὖδας] Ἀλιθόστρωτον ἔδαφος, ἢ ψηφολόγητον, τὸ ἀντίτυπον, τὸ σκληρόν. οἱ δὲ ἀμφ' αὐτὸν Ὀδυσσέα ἔχοντες τὸ κραταιὸν πέδον κείατ' ἐπ' ἀλλήλοισιν. Q. Κραταίπε-

[b] Sic recte recentt. In ed. ant. ter ταράσσομαι. BUTTM.

αἵματι καὶ λύθρῳ πεπαλαγμένον, ὥστε λέοντα.
νῦν οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
ἀθρόοι· αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλὲς,
πῦρ μέγα κειάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ' ἕπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
ἀμφοτέρω φίλον ἦτορ· ἐπεὶ κακὰ πολλὰ πέποσθε.
νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καί σε,
καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵπερ μιν ἔρεζον
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα·
οἶσθα γὰρ, ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε, καὶ υἱέϊ, τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυοὺς,
ὕβριν ἀγασσάμενος θυμαλγέα, καὶ κακὰ ἔργα·
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός.
Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
ἣ πόσιν, ἔνδον ἐόντα παρ' ἐσχάρῃ, οὔποτ' ἔφησθα
οἴκαδ' ἐλεύσεσθαι; θυμὸς δέ τοι αἰὲν ἄπιστος.
ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,

48. uncinis includit W. 49. νῦν] νῦν δ' H. V. 51. κειάμενος] κηάμενος ex emend. H. 53. πέποσθε] πέπασθε V. 57. Fῷ. Fοίκῳ. 58. προσέFειπε. 60. Fοῖσθα. 62. μῦθος] θυμὸς V. 63. κτεῖνε] κτεῖναι H. 64. Fέργα. 66. ὅτις] ὅστις V. ib. εἰσαφίκοιτο] εἰσαφίκηται H. εἰσαφίκηται V. 68. ἈχαιFίδος. 70. Fέπος. 72. τοι] οἱ V. ib. Fοίκαδ'. 73. Fείπω.

δον] Τὸ ἔδαφος. Vulg. 52. Εὐφροσύνης ἐπιβῆτον] Θυμηδίας ἐπιβήσετε, εὐφρανθῆναι ποιήσετε. Vulg. 53. Ἀμφοτέρω] Γρ. ἀμφοτέρων. Harl. 68. Ὤλεσε τηλοῦ νόστον] Τίνος νόστον; τὴν διὰ νεὼς κομιδὴν, ὅ ἐστι τὰ πλοῖα ὤλεσε, καὶ μετὰ τὸ ὀλέσαι τὸν νόστον, καὶ αὐτὸς ἀπώλετο. Q. 71. Ἐσχάρῃ] Ἔνθα

οὐλήν· τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι·
τὴν ἀπονίζουσα φρασάμην· ἔθελον δὲ σοὶ αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπέμεναι, πολυϊδρείῃσι νόοιο.
ἀλλ' ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι, μάλα περ πολυΐδριν ἐοῦσαν·
ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμόν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν.
Ὣς φαμένη κατέβαιν' ὑπερώϊα· πολλὰ δέ οἱ κῆρ
ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
ἢ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
ἡ δ' ἐπεὶ εἰσῆλθεν, καὶ ὑπέρβη λάϊνον οὐδὸν,
ἕζετ' ἔπειτ' Ὀδυσῆος ἐναντίον, ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ' ἄρα πρὸς κίονα μακρὴν
ἧστο κάτω ὁρόων, ποτιδέγμενος, εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
ἡ δ' ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ' ἄλλοτε μέν μιν ἐνωπιδίως ἐσίδεσκεν,

76. Ϝειπέμεν. 77. πολυϊδρείῃσι] πολυκερδείῃσι H. πολυκερδίῃσι V. ib. Ϝειπέμεναι, πολυϜιδρείῃσι. 82. Ϝείρυσθαι. πολυϜίδριν. 83. Ϝίδωμαι. 84. τεθνηότας] τεθνειότας V. 85. Ϝοι. 86. ἐξερεείνοι] ἐξερεεινοῖ H. 89. ἐναντίον] ἐναντίη H. 91. Lege τί Ϝε Ϝείποι. 92. Ϝίδεν. 93. Ϝοι. 94. ἐνωπιδίως] ἐνωπαδίως H. V. W. ib. ἐϜίδεσκεν.

τὸ πῦρ καίεται. ἔστι δὲ βωμὸς ἰσόπεδος οὐκ ἐκ λίθων ὑψούμενος. Vulg. 76. Μάστακα] Νῦν τὸ στόμα. ἐν δὲ τῇ Ἰλιάδι (ι'. 324) καὶ τὸ μάσημα, Μάστακ' ἐπεί κε λάβῃσι. ὁ δὲ Ἀλκμὰν καὶ τὰς γνάθους μάστακάς [c] φησι, παρὰ τὸ μασᾶσθαι. τὴν δὲ τροφὴν μάστακα ἔλεγον διὰ τὸ τὰ βρέφη μαστάζειν αὐτήν, ἀφ' οὗ καὶ ὁ μαστὸς καὶ ἡ μάζα. Q. 78. Ἐμέθεν περιδώσομαι αὐτῆς] Περὶ ἐμαυτῆς συνθήσομαι. Q. Vulg. 81. Χαλεπόν σε θεῶν] Χαλεπόν, εἴτις σε φυλάξει θεῶν βουλεύματα, τὸ φυλάξαι ἀνθρώπων. Q. 82. Barnesius pro scholio ponens glossam Hesychii, Εἴρυσθαι. εἰδέναι, addit: Βιβῶσαι MS. Aloysian. Πολυΐδριν] Πολυπαθῆ, πολλὰ εἰδυῖαν. Q. 89. Ἐν πυρὸς αὐγῇ] Ἐν τῷ πεφωτισμένῳ τόπῳ καὶ πεφλεγισμένῳ ἀπὸ τοῦ πυρός. Vulg. 94. Ἐνωπιδίως ἐσίδεσκεν] Ἐναργῶς ἄντικρυ περιεργότερον ἀφορῶσα ἐγνώριζεν. Vulg.

[c] Hesych. μάσταξ—ἡ σιαγών. BUTTM.

ἄλλοτε δ' ἀγνώσσασκε, κακὰ χροῒ εἵματ' ἔχοντα.
Τηλέμαχος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Μῆτερ ἐμὴ, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι, οὐδὲ μεταλλᾷς;
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
τέκνον ἐμὸν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν·
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος, οὐδ' ἐρέεσθαι,
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον· εἰ δ' ἐτεὸν δὴ
ἔστ' Ὀδυσσεὺς, καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν
σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων.

95. ἀγνώσσασκε] ἀγνώσσεσκε H. ἀγνώσεσκε V. ib. ϝείματ'. 96. ἐνένιπτεν] ἐνένιπεν H. V. ib. ϝέπος. 98. αὐτὸν] αὐτῷ V. 99. μεταλλᾷς] μεταλλαῖς prope ad latus H. 101. ἀφεσταίη] ἀποσταίη V. ib. ϝοι. 102. ἔτεϊ] ἐνιαυτῷ V. ἔτεϊ φίλην ἐς H. ib. ἐϝεικοστῷ ϝέτεϊ. 104. προσέϝειπε. 106. ϝέπος. 107. ϝιδέσθαι. 108. ϝοῖκον. 110. ϝίδ-

Ἔικε, ᾔσκεν, αἴ κε (scr. ἐστὶ) τοῦ ὁμοιοῦν τῇ ὄψει τοῦ Ὀδυσσέως (huc. PORS. ex Harl.). ἢ περιεργότερον αὐτὸν κατεσκόπει ὀφθαλμοῖς. ὄψει οὖν, τοῖς ὄμμασιν. Q. 95. Ἀγνώσασκε[d]] Ἠγνόει. Vulg. 97. Δύσμητερ] Ἐπὶ κακῷ (sic Barn. e MS., antea καλῷ) μήτηρ λεγομένη. Vulg. 99. Ἀνείρεαι]

[d] Sic ed. ant. cujus quamvis in talibus nulla sit auctoritas, utar tamen hac occasione ut hanc formam aliquanto magis commendem quam feci in Gramm. ampl. in nota ultima ad §. 94. Quippe e codd. Homeri hodie hæ potissimum scripturæ ἀγνώσσασκε et ἀγνώσσεσκε hic enotatæ sunt, quarum utraque esset ab ἀγνώσσω, quæ verbi forma neque analogia caret neque auctoritate; vide Hesych. in v. Etym. M. v. ἀγνώσσω et Simmiam ap. Tzetz. Chil. 7, 144. Hujus autem verbi forma in εσκε est Imperfectum iterativum, altera in ασκε, ut ex analogia verborum ῥίψασκε, κρύψασκε demonstravi, aoristus iterativus. Jam ἀγνώσσεσκε esset repetita actio durans ut θαυμάζεσκον ἅπαντες (quoties viderent admirabantur). ἔνθα Ζηνὶ ῥέζεσκον Ἀχαιοί, et similia: hic autem intra breve spatium Penelope sæpius intuetur Ulyssem, sæpius esse illum negat. Quare sicut ἐσίδεσκε, ita alterum etiam verbum ab aoristo formasse putandus est poeta. Recte igitur adhæremus illi ex antiquitate transmissæ formæ in ασκε. Sed si aoristum prætulit, non apparet cur formam verbi alias semper sibi usitatam ἀγνοεῖν, unde recte fiebat ἀγνοῆσαι, ἀγνοιήσασκε, ἀγνώσασκεν, hoc uno loco deseruerit. Itaque hodie etiam nos, quorum judicio optio inter σ et σσ in talibus semper relicta est, non est cur formam legitimam ἀγνώσασκε, vel si nullis libris nitatur repudiemus, aliam insolentissimam præferamus. BUTTM.

Ὣς φάτο· μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχ', ἤτοι μητέρ' ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ' ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
τοὔνεκ' ἀτιμάζει με, καὶ οὔπω φησὶ τὸν εἶναι.
ἡμεῖς δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται·
καὶ γάρ τίς θ' ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
φεύγει, πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ' ἄριστοι
κούρων εἰν Ἰθάκῃ· τῷ σε φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
ἡμεῖς δὲ μεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα·
πρῶτα μὲν ἂρ λούσασθε, καὶ ἀμφιέσασθε χιτῶνας,
δμωάς τ' ἐν μεγάροισιν ἀνώγετε εἵμαθ' ἑλέσθαι·
αὐτὰρ θεῖος ἀοιδὸς, ἔχων φόρμιγγα λιγεῖαν,
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
ὥς κέν τις φαίη γάμον ἔμμεναι, ἐκτὸς ἀκούων,

111. δῖϝος. 112. ϝέπεα. 114. φράσεται καὶ] φράσσεται sine καὶ H. 115. ϝείματα ϝεῖμαι. 121. πόληος] πόλιος V. 122. τῷ] τάδε W. 124. λεῦσσε] λεῦσε V. 125. φάσ'] φᾶσθ' H. 127. 128. omittit manus prima, sed additi sunt ex recensione H. Si igitur, Th. Bentleio auctore, codices quosdam hoc distichon omittere ait Clarkius, id non usquequaque verum est. PORS. δ' ἐμμεμαῶτες habet W. in 127. et utrumque vers. uncinis includit. 130. ϝερέω. 131. πρῶτα] πρῶτον H. ib. ἀμφιϝέσασθε. 132. δμωάς τ'] δμωὰς δ' H. V. W. ib. ϝείμαθ' 133. θεῖος] ὁ θεῖος V. 134. φιλοπαίγμονος] πολυπαίγμονος H.

Τὰ περὶ τοῦ ἔρωτος. Vulg. 119. Ὀπίσσω] Χρονικῶς ἀντὶ τοῦ μετὰ ταῦτα. Vulg.

Q. Μετὰ τὴν τῆς ἀπωλείας χρόνο. Vulg. 120. Πηούς] Τοὺς κόμβ…

ἢ ἀν' ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσι·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
ἀνδρῶν μνηστήρων, πρίν γ' ἡμέας ἐλθέμεν ἔξω
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ' ἔπειτα
φρασσόμεθ', ὅ, ττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
πρῶτα μὲν οὖν λούσαντο, καὶ ἀμφιέσαντο χιτῶνας·
ὅπλισθεν δὲ γυναῖκες· ὁ δ' εἵλετο θεῖος ἀοιδὸς
φόρμιγγα γλαφυρὴν, ἐν δέ σφισιν ἵμερον ὦρσε
μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο.
τοῖσιν δὲ μέγα δῶμα περιστοναχίζετο ποσσὶν
ἀνδρῶν παιζόντων, καλλιζώνων τε γυναικῶν.
ὧδε δέ τις εἴπεσκε, δόμων ἔκτοσθεν ἀκούων·
Ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
σχετλίη, οὐδ' ἔτλη πόσιος οὗ κουριδίοιο
εἴρυσθαι μέγα δῶμα διαμπερὲς, ὄφρ' ἂν ἵκοιτο.
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Εὐρυνόμη ταμίη λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν, ἠδὲ χιτῶνα·
αὐτὰρ κακκεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη,
μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· καδδὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει·
ὡς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.

136. στείχων] στοίχων H. 137. ϝάστυ. 142. οὖν] ἄρ H. ib. ἀμφιϝέσαντο. 146. περιστοναχίζετο] περιστεναχίζετο H. W. 147. ἀνδρῶν] κούρων Apollonius v. κοῦρος. PORS. ib. παιζόντων] πεζόντων H. 148. ϝείπεσκε. 150. ϝοῦ. 152. ϝείπεσκε. ϝίσαν. 153. ϝῷ. ϝοίκῳ. 156. κακκεφαλῆς] κάκκεφαλῆς V. 157. εἰσϝιδέειν. 160. ϝίδρις. 161. τελείει] τελοίη V. ib. ϝέργα.

συγγενεῖς. Vulg. 143. Ὅπλισθεν] Ἡτοιμάσθησαν. Q. 149. Πολυμνήστην] Τὴν μάλιστα πολυμνήστην (del. πολυ-). κυρίως ἐπὶ Πηνελόπης. Vulg. 151. ΕΙΡΥΣΘΑΙ (MS. Barn. εἰρῦσαι). κρατῆσαι. Vulg. 161. Τέχνην

ἐκ δ' ἀσαμίνθου βῆ, δέμας ἀθανάτοισιν ὁμοῖος.
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη,
ἀντίον ἧς ἀλόχου· καί μιν πρὸς μῦθον ἔειπε·
Δαιμονίη, περὶ σοίγε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ' ἔχοντες·
οὐ μέν κ' ἄλλη ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
λέξομαι· ἦ γὰρ τῆγε σιδήρεος ἐν φρεσὶ θυμός.
τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι, οὐδ' ἀθερίζω,
οὐδὲ λίην ἄγαμαι· μάλα δ' εὖ οἶδ', οἷος ἔησθα,
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
ἀλλ' ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·
ἔνθα οἱ, ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνήν,
κώεα, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα.
Ὣς ἄρ' ἔφη, πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
ὀχθήσας ἄλοχον προσεφώνεε, κέδν' εἰδυῖαν·

163. δ'] ῥ' H. 165. ἀντία Fῆς. ἔFειπε. 166. περὶ] πέρι V. 168. ἄλλη] ἄλλη γ' H. 169. ἀφεσταίη] ἀποσταίη H. ib. Fοι. 170. ἐFεικοστῷ Fέτεϊ. 172. σιδήρεος ἐν φρεσὶ θυμός.] σιδήρεον ἐν φρεσὶν ἦτορ H. 173. προσέFειπε. 174. οὐδ'] οὔτ' H. 175. οὐδὲ] οὔτε H. ib. οἷος] ὅστις pro v. l. V. ib. Fοῖδ'. 177. 179. Fοι. 179. ἐκθεῖσαι a m. pr. H. ἔκθεσθαι V. 182. κεδνὰ Fιδυῖαν.

παντοίην] Χρυσοχοϊκὴν δηλονότι, οὐ γὰρ τέχνην παντοίην. Q. 167. Κῆρ ἀτέραμνον] Σκληρόν. μετῆκται δὲ ἀπὸ τοῦ σώματος ἐπὶ τὴν ψυχήν. οἱ δὲ περὶ Πλάτωνα (Legg. 9. init.) κερασβόλους φασὶν ἀτεράμνους καὶ σκληροὺς τὴν ψυχὴν, μεταφορικῶς. Εὔφραστος* γάρ φησι, ὃ ἂν σπέρμα ἐν τῷ καταῤῥίπτεσθαι ἅψηται τῶν κεράτων τοῦ ἀροῦντος βοὸς, σκληρὸς γίνεται. Ὁ δὲ νοῦς, περισσῶς οἱ θεοί σε παρὰ τὰς ἄλλας γυναῖκας σκληρὰν τὴν ψυχὴν ἐποίησαν. Q. 174. Οὐδ' ἀθερίζω] Ἀποβάλλομαι, ἀποδιώκομαι. Q. Ἀθερίζω] Τὸ ἐκρίπτω καὶ ἀποβάλλω, ἀπὸ μεταφορᾶς τῶν ἀθέρων τῶν μὴ δυναμένων ἔχεσθαι διὰ σμικρότητα. οἱ γὰρ λικμῶντες ἐκρίπτουσιν αὐτούς. MS. Barnes. 179. Ἐκθεῖσαι] Ἔξω ἀποθέμεναι. Ἐκθέσθαι text. Γρ. ἐκθεῖσα, ἔξω θεῖσα. Vind.

* Scr. Θεόφραστος; et lege Plat. Sympos. 7, 2. p. 700. Ruhnken. ad Tim. in v. p. 155. Nam in eo quod hodie terimus Theophrasti de Causis Plantarum libro desidetur illa opinio libr. 4. c. 14. (12. extr. Schneid.) BUTTM.

Ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες.
τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη
καὶ μάλ' ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ·
ἀνδρῶν δ' οὐκ ἄν τις ζωὸς βροτὸς, οὐδὲ μάλ' ἡβῶν,
ῥεῖα μετοχλίσσειεν· ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῷ· τὸ δ' ἐγὼ κάμον, οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντὸς,
ἀκμηνὸς, θαλέθων· πάχετος δ' ἦν, ἠΰτε κίων·
τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα
πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα·
κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης·
κορμὸν δ' ἐκ ῥίζης προταμὼν, ἀμφέξεσα χαλκῷ
εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν' ἀσκήσας· τέτρηνα δὲ πάντα τερέτρῳ.

183. Ϝέπος. ἔϜειπες. 187. οὐκ ἄν τις] οὐ κέν τις H. V. οὔ κέν τις W. 188. μετοχλίσσειεν] μετεχράσειεν pro v. l. V. 193. πυκνῇσιν] πυκνῇσιν H. πυκνῇς V. ib. λιθάδεσσι] λιθάκεσσι H. V. pro v. l.

133. 188. **Μέγα σῆμα τέτυκται ἐν λέχει ἀσκητῷ**] **Μέγα τέρας.** Ἀκίνητον δὲ λέγων εἶναι τὸ λέχος, ἔοικεν αἰνίττεσθαι ὅτι τὴν γαμικὴν κοίτην ἀδιάλλακτον εἶναι δεῖ. Q. 191. **ΑΚΜΗΝΟΣ ΘΑΛΕΘΩΝ.** Ὁ ἀκμὴν ἔχων τοῦ θάλλειν. Vulg. Q. Ἐπὶ μὲν τούτου ὀξυτόνησεν, ἐπὶ δὲ τοῦ ἐν Ἰλιάδι δηλοῦντος τὸ νῆστις ἐβαρυτόνησεν [f]. οἱ δὲ τὰ δύο παροξυτόνησαν (scr. προπαρ. ex Eust.). Vulg. 192. Ἀμφιβαλών] Κτίσας. Vulg. 196. **Κορμὸν δ' ἐκ ῥίζης προταμών**] Ἀπὸ τῆς ῥίζης κορμὸν ποιήσας. Vulg. 197. Στάθμην] Τὴν τεκτονικὴν σπάρτον. Vulg. 198. Ἕρμιν (sic) ἀσκήσας] **Κλίνης** ποδόριον (ποδάριον em. Mai.). ἕρμα γάρ ἐστι τῆς κλίνης. Q. **ΕΡΜΙΝΑ.** κλινόποδας (sic.) ἕρμα γὰρ τῆς κλίνης. Vulg. **ΕΡΜΗΝ** [g] ἀσκήσας τέτρηνε δὲ π. τ.] Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος, παῖς ἔτι ὢν ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὕρετο, γράμματα, καὶ μουσικὴν, καὶ παλαίστραν, καὶ γεωμετρίαν. ὅθεν καὶ τοὺς Ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι, καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι. τῷ δὲ ὀνειροπομπὸν εἶναι, καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαί τε καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας, τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδεχθεῖεν δὲ πλείστην ἐπαφροδισίαν διὰ

[f] **Aristarchus nimirum, ut diserte ait hæc eadem proferens Eustathius. BUTTM.**
[g] **Hanc scripturam, quæ ut e scholio patet, varia revera est lectio Ἑρμῆν, mutarunt tamen in ἑρμῖν' recentiores: quod et Heynium latuit. BUTTM.**

ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
δαιδάλλων χρυσῷ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι·
ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς, φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
εἴ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης.
Ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
σήματ' ἀναγνούσης, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
δακρύσασα δ' ἔπειτ' ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
δειρῇ βάλλ' Ὀδυσῆϊ, κάρη δ' ἔκυσ', ἠδὲ προσηύδα·
Μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα
ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζὺν,
οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
ἥβης ταρπῆναι, καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο, μηδὲ νεμέσσα,
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα·
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐῤῥίγει, μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,

201. φοίνικι φαεινόν] ἶφι κταμένοιο H. V. 202. ϝεῖδα. 204. ἄλλοσε] ἀπό σε V. ib. ὕπο] ἀπὸ H. 206. ἀναγνούσης] ἀναγνούσῃ V. ib. ϝοι. 207. δράμεν] κίεν H. V. 214. ϝίδον. 216. ἀπάφοιτο ϝέπεσσιν. 218. Ἀργεΐϝη.

τῶν ὀνειράτων. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ[b]. Vulg. (in fine libri.) Τέτρηνα] Ἐτόρησα. Vulg. 199. Ἐκ δὲ τοῦ ἀρχόμενος] Τοῦ ποδός. Vulg. 201. Ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς] Τὸν τόνον λέγει τῆς κλίνης ἐξ ἱμάντος εἶναι βοείου φοινικοῦ τῷ χρώματι. Q. Ἶφι κταμένοιο] Γρ. φοίνικι φαεινῷ. Harl. 209. ΣΚΥΖΕ. ὀργίζου. Vulg.

211. Ἀγάσαντο] Ἐφθόνησαν. Q. 218. Οὐδέ κεν Ἀργείη Ἑλένη] Ἀθετοῦνται οἱ ζ' (sic recte Barnes. e MS. antea οἱ ιζ' et ὁ ιζ') ὡς σκάζοντες κατὰ τὸν νοῦν. σώζοιτο (scr. σῴζοιτο) δ' ἄν, εἰ στίζοιμεν ἐπὶ τῷ, εἰ ᾔδη. καὶ τὸ ὃ ἀντὶ τοῦ διό. ὡς εἶναι, οὐδ' ἂν ἡ Ἑλένη ἐμίγη παρὰ ἀλλοδαπῷ ἀνδρὶ, εἰ μὴ ἦν ἐξηπατημένη. διὸ αὐτὴν, ἐπεὶ παρελο-

[b] Posuit Heynius in fragmentis librorum Apollodori περὶ θεῶν p. 1064. (ed. 2. p. 399.): ubi verba τῷ δὲ—ὕπνῳ interpretatur διὰ τὸ—; et illa καὶ αὐτὸν ἀναμένειν ita: *expectant donec somnum immittat.* Mox pro ἐπινοεῖσθαί τε καὶ ἀκνεῖσθαι malim equidem ἐπινόησαν δὲ καὶ ἀκνεῖσθαι. Denique in verbis ὅπως ἀλεξήτορας ἔχοντες ἰδίας Barnesius reposuit ἰδίους: Heynius proponebat ἀλεξήτορας ἰδέας "speciem dei sui malorum "somniorum propulsatoria." Ego, si ita usurpavit auctor vocem ἰδέα, scripserim potius ὅπως ἀλεξήτορας ἔχοντες τὰς ἰδέας. BUTTM.

ἀνδρὶ παρ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ ᾔδη, ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ' ἔμελλον.
τὴν δ' ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ
λυγρὴν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέως κατέλεξας
εὐνῆς ἡμετέρης, τὴν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε, καὶ ἀμφίπολος μία μούνη
Ἀκτορὶς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,

220. ϝῄδη. Ἀχαιϝῶν. 221. ϝοικόνδε. 222. δ' ἤτοι] δή τοι H. ib. ϝέργον ἀϝεικές. 223. ϝῷ. 225. ἀριφραδέως] ἀμφραδέα H. V. 226. τὴν] ἣν H.

γίσθη, οἱ Ἕλληνες ἐπανήγαγον. Οἱ δέ φασι, τὸν Ἀλέξανδρον Μενελάῳ εἰκασθέντα γνώμῃ Ἀφροδίτης μιγῆναι τῇ Ἑλένῃ. Vulg. Ἀλέξανδρος ὁ Πριάμου παῖς ἀπὸ τῆς Ἀσίας κατάρας εἰς τὴν Λακεδαίμονα, διενοεῖτο τὴν Ἑλένην ξενιζόμενος ἁρπάσαι. ἡ δὲ γενναῖον ἦθος καὶ φίλανδρον ἔχουσα ἀπηγόρευε καὶ προτιμᾷν ἔλεγε τὸν μετὰ νόμου γάμον, καὶ τὸν Μενέλαον περὶ πλείονος ἡγεῖσθαι. γενομένου δὲ τοῦ Πάριδος ἀπράκτου, φασὶ τὴν Ἀφροδίτην ἐπιτεχνῆσαι τοιοῦτόν τι, ὥστε καὶ μεταβάλλειν τοῦ Ἀλεξάνδρου τὴν ἰδέαν εἰς τὸν τοῦ Μενελάου χαρακτῆρα, καὶ οὕτω τὴν Ἑλένην παραλογίσασθαι. δόξασαν γὰρ εἶναι ταῖς ἀληθείαις τὸν Μενέλαον μὴ ὀκνῆσαι ἅμα αὐτῷ ἕπεσθαι. φθάσασαν δὲ αὐτὴν ἄχρι τῆς νεὼς, ἐμβαλλόμενος ἀνήχθη. ἡ ἱστορία παρὰ Νικίᾳ τῷ πρώτῳ[l]. Vulg. (in fine libri). 220. Εἰ ᾔδη] Ἐνταῦθα στικτέον, ἔπειτα ἀφ' ἑτέρας ἀρχῆς προενεκτέον. Vulg. Εἰ ᾔδη] Ὅτι πολλοὶ κακὰ κέρδεα βουλεύουσιν. Q. Ἡρωδιανὸς τὸν εἰ ἀντὶ τοῦ ἐπεὶ φησὶν εἶναι, καὶ συνάπτει ὅλον τὸν νοῦν οὕτως· εἰ μὴ ἠπατήθη ἡ Ἑλένη ὑπὸ τῆς Ἀφροδίτης, οὐκ ἂν ἄλλῳ ἠκολούθησεν ἀνδρί. καὶ πάθη δηλονότι δι' ἀνάγκην ἠκολούθησε καὶ οὐχ ἑκουσίως[k]. ἐπειδὴ ᾔδη μάλιστα ὅτι οὐκ ἔχει καταφρονηθῆναι τοῖς Ἕλλησιν ἡ αὐτῆς ἁρπαγή. Q. Vind. 56. Ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν] Ὁ γὰρ λόγος, οὐκ ἂν ἡ Ἑλένη παρ' ἀλλοφύλῳ ἀνδρὶ ἐμίγη, εἰ προεώρα τὸ μέλλον. διὸ καὶ ἐπανάξειν ἔμελλον αὐτὴν οἱ Ἕλληνες, ὡς μηδὲν ἡμαρτηκυῖαν. Ὅ μιν] Διὸ αὐτήν. Vulg. 223. Τὴν δ' ἄτην οὐ πρόσθεν] Οὐ πρὸ τοῦ παθεῖν ἔγνω τὴν φρενοβλάβειαν. Vulg. 225. Ἀμφραδέα] Ἀντὶ

[l] Hæc ad Niciam illum qui in scholiis Homericis, nostris etiam (ad α'. 109.), in rebus mere grammaticis citari solet, spectare non possunt. Neque alium memoratum invenio ejus nominis cui hæ nugæ tribui possint, nisi Niciam Maleoten quem vanissimus scriptor Parallelorum minorum in ejusdem generis fabulis testem laudat cap. 13. BUTTM.

[k] In Mediol. omissa sunt verba ἀνδρὶ—ἠκολούθησε ob repetitionem ejusdem vocis. Sed corrupta sunt eadem in Vind., scribendumque, καὶ πάθος δῆλον ὅτι δι' ἀνάγκην ἠκολούθησε καὶ οὐχ ἑκουσίως; Ἐπειδὴ κ. τ. λ. BUTTM.

πείθεις δή μευ θυμὸν, ἀπηνέα περ μάλ' ἐόντα.
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο.
κλαῖε δ' ἔχων ἄλοχον θυμαρέα, κέδν' εἰδυῖαν.
ὡς δ' ὅτ' ἂν ἀσπασίως γῆ νηχομένοισι φανείη,
ὧντε Ποσειδάων εὐεργέα νῆ' ἐνὶ πόντῳ
ῥαίσῃ ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
νηχόμενοι, πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη·
ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες·
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ·
δειρῆς δ' οὔπω πάμπαν ἀφίετο πήχεε λευκώ.
καί νύ κ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος ἠὼς,
εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠῶ δ' αὖτε
ῥύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον, οὐδ' ἔα ἵππους
ζεύγνυσθ' ὠκύποδας, φάος ἀνθρώποισι φέροντας,
Λάμπον καὶ Φαέθονθ', οἵτ' Ἠῶ πῶλοι ἄγουσι.
καὶ τότ' ἄρ' ἣν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
πολλὸς καὶ χαλεπὸς, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
ὣς γάρ μοι ψυχὴ μυθήσατο Τειρεσίαο
ἤματι τῷ, ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
νόστον ἑταίροισιν διζήμενος, ἠδ' ἐμοὶ αὐτῷ.

231. ἔτι] ἄρα H. 232. κεδνὰ Fιδυῖαν. 233. ὅτ ἂν] ὅταν V. ib. φανείη] φανῇ W. 234. εὐFεργέα. 240. ἀφίετο] ἀφείετο V. 247. τόνι Fήν. 251. μυθήσατο] μαντεύσατο H. W.

τοῦ ἀμφραδῶς. Harl. 235. Κύματι πηγῷ] Ἀπαγεῖ (εὐπαγεῖ em. Mai.)· ἢ μέλανι. Q. 237. Δέδρομεν text. Γρ. τέτροφεν. Vind. 5. 56. 243. Νύκτα μὲν ἐν πέρατι δολιχήν] Πρὸς τέλει αὐτὴν οὖσαν δολιχὴν ἐπέσχεν, ὑπὲρ τοῦ εἰς πλέον ἀλλήλων ἀπολαῦσαι. Q. Ἐν περάτῃ] Ἤδη πρὸς τῷ πέρατι καὶ τῷ τέλει οὖσαν. Δολιχὴν] Οὐκ ἐν τῷ καθόλου, ἀλλὰ τότε ἰσομήκη πρὸς ἀγανάκτησιν τοῦ ἔθεν (πρὸς ἀνάκτησιν τοῦ Ὀδυσσέως Barn. e MS.). Vulg. 244. Ῥύσατ'] Ἐκώλυσεν. Q. 246. Ἕλκουσι text. Γρ. ἄγουσιν. Vind. 5. 248. Οὐ γάρ πω πάντων] Τοῦτο θέλει εἰπεῖν· μή μου τὴν ψυχὴν ταράξῃς, οὔπω γὰρ εἰς τέλος τῶν κακῶν ἦλθον, ἀλλ' ἔτι μέλλω πονεῖν. ἀλλὰ τραπῶμεν εἰς κοίτην. Q. 251. Μαντεύσατο] Suprascriptum μυθήσατο. Harl. 260. Καί τοι θεὸς ὦρ-

ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εὐνὴ μὲν δή σοί γε τότ' ἔσσεται, ὁππότε θυμῷ
σῷ ἐθέλῃς· ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,
εἴπ' ἄγε μοι τὸν ἄεθλον· ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
πεύσομαι· αὐτίκα δ' ἐστὶ δαήμεναι οὔτι χέρειον.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρυνέουσα κελεύεις
εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι, οὐδ' ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω· ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε' ἄνωγεν
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ' εὐῆρες ἐρετμόν·
εἰσόκε τοὺς ἀφίκωμαι, οἳ οὐκ ἴσασι θάλασσαν,
ἀνέρας, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ' ἄρα τοί γ' ἴσασι νέας φοινικοπαρῄους,
οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ' ἔειπεν ἀριφραδὲς, οὐδέ σε κεύσω·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
καὶ τότε μ' ἐν γαίῃ πήξαντ' ἐκέλευσεν ἐρετμὸν,
ἔρξανθ' ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν, ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον,
οἴκαδ' ἀποστείχειν, ἔρδειν θ' ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
πᾶσι μάλ' ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ

256. προσέϝειπε. 257. σοί] σύ V. 259. ϝοῖκον. 261. ϝείπ'. 264. ὀτρυνέουσα] ὀτρύνουσα W. 265. ϝειπέμεν. 266. θυμὸς κεχαρήσεται] θυμῷ κεχαρίσεαι H. κεχαρήσεαι pro v. l. V. 267. ϝάστε'. 269. ἀφίκωμαι] ἀφίκομαι V. ib. ϝίσασι. 270. ἀνέρας] ἄνερες H. ἀνέρες V. W. 271. τοὶ ϝίσασι. 273. τοδ' ἔειπεν] τόδε εἶπεν V. ib. ἔϝειπεν. 276. μ' ἐν] δὴ H. V. 277. ϝέρξανθ'. ϝάνακτι. 279. ϝοίκαδ'. ϝέρδειν.

βαλε θυμῷ] Τὸ εἰπεῖν ὅτι ποιῆσαί σέ τι καὶ ἕτερον (MS. Barnes. ὕστερον) δεῖ. Vulg. 264. Τί γάρ (sic)] Τί δήποτε. Vulg. 279. Ἐξ ἁλός] Γρ. ἔξαλος.

ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
γήραϊ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται· τάδε μοι φάτο πάντα τελεῖσθαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
ἐσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων.
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
γρηῦς μὲν κείουσα πάλιν οἶκόνδε βεβήκει·
τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα·
ἐς θάλαμον δ' ἀγαγοῦσα πάλιν κίεν· οἱ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.
Αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας·
αὐτοὶ δ' εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
Τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντες·
ἡ μὲν ὅσ' ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν,

283. ὕπο] ὑπὸ H. ib. λαϝοί. 285. προσέϝειπε. 287. ϝελπωρή. 290. ϝεσθῆτος. 292. ϝοικόνδε. 298. πόδας omittit H. ib. γυναῖκας] γυναῖκες ex emend. fortasse recenti, H. PORS. 301. ἐνέποντες] ἐνέποντε, a m. pr. H. W. 302. δῖϝα.

ἦγεν ἔξω τῆς θαλάσσης. Vind. 133. 296. Ἀσπάσιοι λέκτροιο] Ἀσπαστῶς καὶ ἐπιθυμητικῶς ὑπεμνήσθησαν τοῦ πάλαι τῆς συνουσίας νόμου. Vulg. Ἀριστοφάνης καὶ Ἀρίσταρχος πέρας τῆς Ὀδυσσείας τοῦτο ποιοῦνται. Vulg. Vind. 133. Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν[l] ἵκοντο] Τοῦτο τὸ τέλος τῆς Ὀδυσσείας φησὶν Ἀρίσταρχος καὶ Ἀριστοφάνης. Q. Harl.[m] * Ἀπὸ τοῦ ψῦ τὸ λεπτύνου. πᾶν γὰρ τὸ κατερχόμενον ἄνωθεν, οὐ τοιοῦτον κατέρχεται μέχρι τέλους. Q. Quo pertineat scholium non liquet. An ad ψολόεντι, v. 330.?

[l] Mendum fortasse Mediolanensis editionis. Nam ex Harl. lemma nullum affertur. BUTTM.

[m] Porsonus de hoc scholio in cod. Harl. "Scripsit antiqua manus, sed quae paucas admodum notas margini addidit."—In cod. Vind. 5. post hunc versum sunt quattuor in rhombi schemate puncta, et manus prima minio scripsit, τέλος Ὀδυσσείας. Nihilominus sequentia etiam idem codex continet. In schol. Vulg. edd. ant. post scholium ad h. v. nova incipit linearum series. BUTTM.

ἀνδρῶν μνηστήρων ἐσορῶσ' ἀΐδηλον ὅμιλον·
οἳ ἕθεν εἵνεκα πολλὰ, βόας, καὶ ἴφια μῆλα,
ἔσφαζον· πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος.
αὐτὰρ ὁ διογενὴς Ὀδυσεὺς, ὅσα κήδε' ἔθηκεν
ἀνθρώποις, ὅσα τ' αὐτὸς ὀϊζύσας ἐμόγησε,
πάντ' ἔλεγ'· ἡ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ', οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροισι, πάρος καταλέξαι ἅπαντα.
Ἤρξατο δ', ὡς πρῶτον Κίκονας δάμασ'· αὐτὰρ ἔπειτα
ἦλθ' ὡς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
ἠδ' ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν, οὐδ' ἐλέαιρεν·
ἠδ' ὡς Αἴολον ἵκεθ', ὅ μιν πρόφρων ὑπέδεκτο,
καὶ πέμπ'· οὐδέ πω αἶσα φίλην ἐς πατρίδ' ἱκέσθαι
ἦν, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
πόντον ἐπ' ἰχθυόεντα φέρεν μεγάλα στενάχοντα·
ἠδ' ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν,
οἳ νῆάς τ' ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους

304. Fέθεν. Fίφια. 305. Fοῖνος. 306. διFογενής. 308. Fοι. 311. ἦλθ' ὡς] ἦλθες (sic) H. Manifesta, sed levissima corruptela. Legendum enim ἦλθ' ἐς A. In vulgata lectione inconcinne positum ὡς, multo commodius ἀπὸ κοινοῦ suppletum. PORS. ἦλθ' ἐς W. ib. πίειραν] πλήρων V. 312. Fέρξε. 317. μεγάλα] βαρέα V.

309. Καταλέξαι] Καθέκαστον εἰπεῖν. Vulg. 310. Ῥητορικὴν ποιεῖται ἀνακεφαλαίωσιν τῆς ὑποθέσεως καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. καλῶς οὖν ἠθέτησεν Ἀρίσταρχος τοὺς τρεῖς καὶ τριάκοντα. Vind. 133. Ἤρξατο δ' ὡς πρῶτον] Οὐ καλῶς ἠθέτησεν Ἀρίσταρχος τοὺς γ' καὶ λ'. ῥητορικὴν γὰρ πεποίηκεν ἀνακεφαλαίωσιν καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. Vulg. Q. Huic scholio in Mediol. subjectum aliud prolixum e cod. Q. et E. 81. diverso, ut refert Maius, ab altero E. 89. e quo scholia superiora partim sumpta sunt. Hoc autem scholium nil aliud continebat quam eandem iisdemque verbis narrationem sive potius Odysseæ argumentum, quod in codice Palatino quoque inveni quodque (ut dixi p. 6.) cum e Tzetzæ ad Lycophronem commentariis transcriptum sit hic repetere supersedi: variantes autem lectiones, quarum aliquot observavi, in edit. Mediol. cognoscent quorum hoc interest. Illud unum hujus loci esse monere putabam, quod in longissima et per singula multa expatiante narratione, in loco tamen de Inferis ne verbo quidem tanguntur suppliciis illi affecti et ceteræ personæ quæ in conspectum prodeunt versibus 568—627. libri λ': ubi vide scholia. 311. Ἦιν] Ἀντὶ

πάντας· Ὀδυσσεὺς δ' οἶος ὑπέκφυγε νηῒ μελαίνῃ·
καὶ Κίρκης κατέλεξε δόλον, πολυμηχανίην τε·
ἠδ' ὡς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα,
ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο,
νηῒ πολυκλήϊδι, καὶ εἴσιδε πάντας ἑταίρους,
μητέρα θ', ἥ μιν ἔτικτε, καὶ ἔτρεφε τυτθὸν ἐόντα·
ἠδ' ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν·
ὥς θ' ἵκετο πλαγκτὰς πέτρας, δεινήν τε Χάρυβδιν,
Σκύλλην θ', ἣν οὐ πώποτ' ἀκήριοι ἄνδρες ἄλυξαν·
ἠδ' ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι·
ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Ζεὺς ὑψιβρεμέτης· ἀπὸ δ' ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ κῆρας ἄλυξεν·
ὥς θ' ἵκετ' Ὠγυγίην νῆσον, νύμφην τε Καλυψώ,
ἣ δή μιν κατέρυκε, λιλαιομένη πόσιν εἶναι,
ἐν σπέσσι γλαφυροῖσι, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
ἀλλὰ τῷ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·
ἠδ' ὡς ἐς Φαίηκας ἀφίκετο, πολλὰ μογήσας,
οἳ δή μιν περὶ κῆρι, θεὸν ὥς, τιμήσαντο,
καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά τε δόντες·
τοῦτ' ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος
λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
ὁππότε δή ῥ' Ὀδυσῆα ἐέλπετο, ὃν κατὰ θυμὸν,

320. uncinis includit W. 322. ὡς Ἀΐδεω] ὡς εἰς Ἀΐδεω H. W. Recte: vid. supra ad λ'. 634. PORS. 324. εἴσϝιδε. 327. πλαγκτὰς] πλαγκτάς τε V. 331. ἔφθιθεν] ἔφθιθον V. 337. ἀλλὰ τῷ] ἀλλὰ τοῦ H. ἀλλ' αὐτοῦ V. 339. ϝώς. 341. ϝάλις, ϝεσθῆτά τε. 342. δεύτατα ϝεῖπε ϝέπος. ϝοι. 345. ϝεϝέλπετο, ϝόν.

τοῦ ἧ. MS. Barnes. 322. Εὐρώεντα] Ἤτοι πλατὺν, παρὰ τὸ εὖρος· ἢ σκοτεινόν. Vulg. Γρ. ἠερόεντα. Vind. 5. 328. Ἀκήριοι ἄνδρες ἄλυξαν] Χωρὶς κηρὸς, χωρὶς θανάτου. Vulg. Καὶ ἀκήριοι, ἀσθενεῖς. Barn. e MS. 330. Ἔβαλεν] Νῦν ἀντὶ τοῦ ἔκλασεν. Vulg. Ψολόεντι] Καυστικῷ. Ψόλον γὰρ τὸ ἄσβολον φασίν. Vulg. Add. post schol. 256. 343. Λυσιμελὴς] Ὁ τὰ

εὐνῆς ἧς ἀλόχου ταρπήμεναι, ἠδὲ καὶ ὕπνου,
αὐτίκ' ἀπ' Ὠκεανοῦ χρυσόθρονον Ἠριγένειαν
ὦρσεν, ἵν' ἀνθρώποισι φόως φέρῃ· ὦρτο δ' Ὀδυσσεὺς
εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ' ἐπὶ μῦθον ἔτελλεν·
Ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων
ἀμφοτέρω· σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
κλαίουσ'· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·
νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνὴν,
κτήματα μὲν, τά μοί ἐστι, κομιζέμεν ἐν μεγάροισι·
μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
δώσουσ', εἰσόκε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ' ἤτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι,
ὀψόμενος πατέρ' ἐσθλὸν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δὲ, γύναι, τάδ' ἐπιστέλλω, πινυτῇ περ ἐούσῃ·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
ἧσθαι, μηδέ τινα προτιόσσεο, μηδ' ἐρέεινε.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἐδύσατο τεύχεα καλά·
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
πάντας δ' ἔντε' ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι.
οἱ δέ οἱ οὐκ ἀπίθησαν· ἐθωρήσσοντο δὲ χαλκῷ·

346. Ϝῆς. 348. φέρῃ] φέροι H. V. W. 353. Ϝιέμενον. 354. ἀμφοτέρω] ἀμφότεροι H. V. Sed in schol. marg. H. ἀμφοτέρω ut textus supra 351. 357. ἈχαιϜοί. 358. ἐπαύλους] ἐναύλους H. 359. ἔπειμι] ἄπειμι H. 361. ἐπιστέλλω] ἐπιτέλλω W. 369. Ϝοι.

μέλη τοῦ σώματος παρειὲς ἢ ἀμέριμνος. Vulg. 350. Ὦ γύναι ἤδη μὲν πολέων] Ἡ σύνταξις οὕτως, ὦ γύναι ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων, νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνὴν, σὺ μὲν ἐν τοῖς οἴκοις ἐπιμελείας ἀξίου τὰ κτήματα, ἐγὼ γὰρ αὐτὸς λαφυραγωγήσω τὰ θρέμματα ἅπερ οἱ μνηστῆρες κατέφαγον. Q. (Harl.) 353. Πεδάασκον] Ἐδέσμευν. Q. Ἐνεπόδιζον. Vulg. 357. Ληΐσσομαι] Κτήσομαι. Vulg. 364. Εἰς ὑπερῷ' ἀναβᾶσα] Καταλείπει τὴν γυναῖκα θαῤῥῶν τῷ πατρὶ αὐτῆς καὶ τοῖς ἀδελφοῖς. ἢ δῆθεν ὡς ἀγνοοῦσαν τῶν πεπραγμένων τὸ ἀληθές· ἢ ἐμπιστεύων τῇ Ἀθηνᾷ. Vulg. 365. Προτιόσσεο]

ὤϊξαν δὲ θύρας, ἐκ δ' ᾔϊον· ἦρχε δ' Ὀδυσσεύς.
ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα· τοὺς δ' ἄρ' Ἀθήνη
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος.

Προσδέχου. Q. 372. Ἐξῆγε] Ἐξέβαλεν. Vulg.

THE

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Ω.

Ω, δ' Ὀδυσεὺς σὺν πατρὶ καὶ υἱέϊ μάρναθ' Ἀχαιοῖς.

ΕΡΜΗΣ *δὲ ψυχὰς* Κυλλήνιος *ἐξεκαλεῖτο*

Ὑπόθεσις. Ψυχοπομπεία· καὶ Ὀδυσσέως ἄφιξις πρὸς Λαέρτην τὸν πατέρα εἰς τοὺς ἀγροὺς, καὶ ἀναγνωρισμός· ἐπιστρατίας (scr. -είας] τῶν Ἰθακησίων, καὶ συνθήκας Ἀθηνᾶς κελευσάσης. Q. Τὰς τῶν μνηστήρων ψυχὰς Ἑρμῆς εἰς ᾅδου κατάγει (Pal. ins. καὶ κατασκευὴ περὶ τῆς δευτέρας νεκυομαντείας γίνεται). καὶ ἀναγνωρισμὸς Ὀδυσσέως γίνεται πρὸς τὸν ἑαυτοῦ πατέρα Λαέρτην. καὶ ταραχὴν τοῖς Ἰθακησίοις γεγενημένην ἐπὶ τῇ τῶν μνηστήρων ἀναιρέσει Ἀθηνᾶ κωλύει. Vulg. Pal. 1. Ἑρμῆς δὲ ψυχάς] Ἀρίσταρχος ἀθετεῖ τὴν νεκυίαν, κεφαλαίοις τοῖς συνεκτικωτάτοις τοῖσδε. Ὅτι οὐκέτι καθ' Ὅμηρον ψυχοπομπὸς ὁ Ἑρμῆς. οὔτε[a] τὸν Ἀπόλλωνα ἐπὶ τῆς πυκτικῆς, εἰ μὴ ἅπαξ. Ἀλλ' οὐδὲ χθόνιος ὁ θεός. οὐκ εὐθέως ὁ εἰς ᾅδου κατελθὼν χθόνιος· ἐπεὶ καὶ Ἀθηνᾶ δι' Ἡρακλέα· καὶ Ἅιδης Ὀλύμπιος. Κυλλήνιος δὲ οὐδαμοῦ εἴρηται. ἢ ἅπαξ[b]. οὐκ ἔξω λόγου καὶ σῆκος, καὶ Νήϊος Ἀπόλλων. Ἀλλὰ πῶς αἱ ψυχαὶ οὐκ αὐτόματοι κατίασιν, ὡς ἐν Ἰλιάδι; οὐδὲν κωλύει καὶ παραπέμποντάς αὐτάς τινας. Ἀλλ' αὗται καὶ ἄταφοι κατίασιν. ἴσως διά τι καθάρσιον, ἢ διὰ τὴν Ἑρμοῦ πρόνοιαν κηδομένου τοῦ Ὀδυσσέως διὰ τὴν συγγένειαν. Ἀλλ' οὐδὲ ἔοικεν εἰς ᾅδου λευκὴν εἶναι πέτραν (11.). τὰ πρὸς τὴν ἡμέραν ἐστραμμένα αὐτῆς λευκαίνεται. Ἄκαιρος δὲ καὶ ἡ Ἀχιλλέως καὶ Ἀγαμέμνονος ὁμιλία· καὶ Ἀγαμέμνων οὐκ ἀγείρει τὴν στρατείαν, ἀλλ' ὁ Νέστωρ. εὐκαίρως ἀναπληροῖ τὰ ἀλλαχοῦ παραλειφθέντα. Πῶς δὲ καὶ σῶμα διέμεινε τοῦ (scr. τὸ) Ἀχιλλέως ἐπὶ τοσαύτας ἡμέρας (65.); διὰ τὴν Θέτιν, ὡς καὶ τὸ Πατρόκλου. Ἀλλὰ καὶ τὸ ἀριθμεῖν τὰς μούσας (60.) οὐχ ὁμηρικόν. τί κωλύει ἅπαξ; Ἄλογον δὲ καὶ ἐπὶ τῶν νεῶν ὄντων αὐτῷ (scr. αὐτῶν) λέγειν, ὅτι δείσαντες τὰς Νηρηΐδας ἔφυγον ἐπὶ τὰς ναῦς[c]. ἀπὸ τοῦ τῶν Μυρμιδόνων ναυστάθμου. Πῶς δὲ καὶ ὁ Ἀμφιμέδων ἐπίσταται τὴν ἐν τοῖς ἀγροῖς ἐπι-

[a] Hic et in insequentibus cuique Aristarchearum objectionum responsio vel solutio subjicitur brevissimis. BUTTM.

[b] Suspicor, istud ἢ intrusum esse ab illis qui non animadverterent, a verbo ἅπαξ incipere responsionem [illegible]. Sic antea etiam, ante οὐκ εὐθέως, ἢ insertum erat in edd. rec. quod auctoritate ed. ant. delevi. Jungendum autem puto ἅπαξ, οὐκ ἔξω λόγου, καὶ σῆκος (sc. Ἑρμοῦ καλεῖται, Il. ω΄. 72.), καὶ Νήϊος Ἀπόλλων (fortasse Il. ν΄. 152. ubi vid. Heyn. et cf. eund. ad ι΄. 365.). BUTTM.

[c] Apparet hic intercidisse, ἔφυγον ἴσασιν ἐπὶ τὰς θοὰς ναῦς, ἀπὸ τοῦ-κ. τ. λ. Vid. ad 50. BUTTM.

ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶ
καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τῇ ῥ' ἄγε κινήσας· ταὶ δὲ τρίζουσαι ἕποντο.
ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται·
ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν· ἦρχε δ' ἄρα σφιν
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα.
πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,
ἠδὲ παρ' Ἠελίοιο πύλας, καὶ δῆμον Ὀνείρων,
ἤϊσαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,

4. ἐθέλει] ἐθέλῃ H. Post hunc versum addit H.: τὴν μετὰ χερσὶν ἔχων, πέτετο κρατὺς Ἀργειφόντης. 11. πέτρην] πέτραν V.

βουλὴν (150.); ἐκ τῶν εἰκότων, τεκμαίρεται. Καὶ ἄλλως δὲ ἐκ τῆς κατὰ τὴν στιχοποιΐαν δεινότητος, τὸ ποίημα τὸν Ὅμηρον ὁμολογεῖ. Καὶ νεκυομαντείαν μὲν ἄν τις εἰκότως τὴν λίαν[d] εἶπεν, νεκυΐαν δὲ ταύτην. Vulg. Κυλλήνιος] Ὁ ἐν Κυλλήνῃ ὄρει τῆς Ἀρκαδίας ἀναστραφείς (scr. ἀνατρ.). ἢ ὁ ὕπνου δωρητικὸς, ὡς τῶν κύλων ἔχων τὰς ἡνίας. κυλάδες γὰρ συνεσταλμένου τοῦ υ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μέρη, ὅθεν ταῦτα οἰδεῖν οἱ Ἀττικοὶ κυλοιδιᾶν καλοῦσιν[e]. Vulg. Ὅτι κῶμος ἐν τῇ Κυλλήνῃ ἣ ἐστιν ὄρος Ἀρκαδίας, ἢ ὁ τῶν κυλάδων ἔχων τὰς ἡνίας, κυλάδες δὲ αἱ ὑπὸ τοὺς ὀφθαλμοὺς ἰθύτητες. Q. 2. Ἔχε δὲ ῥάβδον] Παρὰ τὸ ῥᾷον βαδίζειν δι' αὐτῆς. Q. 7. Ἀποπέσῃσιν ὁρμαθοῦ] Ἐπειδὰν μία αὐτῶν τῆς συνεδρίας ἐκπέσῃ. ὁρμαθὸς δὲ τὸ ἐξ εἱρμοῦ ἄθροισμα. Q. 8. Ὁρμαθοῦ ἐκ πέτρης] Τῆς ἐπαλλήλου πετρώδους ἐπισυνθέσεως, ἢ ἀλλήλαις ἀνημμένας (MS. Barnes. συημμέναις, Barn. -αι) παρὰ τὸ εἴρειν. ἐπιφέρει γὰρ, ἀνά τ' ἀλλήλῃσιν ἔχονται. Vulg. 10. Ἀκάκητα] Ἔνιοι μὲν ἀμέτοχος, κακῶς (Barn. e MS. ἀμέτοχε κακῶν). ἔστι γὰρ ὁ θεὸς δοτὴρ ἀγαθῶν. ἔνιοι ἀπὸ Ἀκακησίου ὄρους ἐν Ἀρκαδίᾳ. δοκεῖ γὰρ ὁ θεὸς Ἀρκὰς εἶναι. Vulg. 11. Λευκάδα πέτρην] Πρὸς τοῖς καταχθονίοις μέρεσι. Vulg. Vid. et ad ι. 12. Δῆμον ὀνείρων] Τὴν νύκτα, ἐν ταύτῃ γὰρ (Vulg. ἐν ᾗ φαίνονται) οἱ ὄνειροι. Q. Vulg. 13. Κατ' ἀσφοδελὸν λειμῶνα] Ἐν λειμῶνί τέ φησι τὰς ψυχὰς

[d] Manifestum est, hic aliquo modo indicari τὴν ἐν τῇ λ'. de Inferis narrationem. Barnesius qui in MS. se invenisse dicit λία reposuit τὴν λ'. ἢ ια' h. e. rhapsodiam λ vel XI. Tu confer not. ad schol. λ'. 321. et scribe τὴν λῆν. BUTTM.

[e] In ed. ant. fuit κύλων—κυλλάδες—τοῦ η—οἱ Ἰωνοὶ ἀντ. κυλλαινία κ.: quae M. Casaubonus et Barnesius ex Eust. et Etym. M. v. Κυλλήνιος correxerunt, Aloysiano etiam MS. κυλοιδιᾶν dante. Sed quod iidem reposuerunt ὁ τὰς ἡνίας τῶν κ. ἔχων necessarium mihi non videbatur. Et quando pro κυλάδες γὰρ scribunt κύλα γὰρ ἢ κυλάδες, primum oportuit κύλα, deinde hoc non praebent Etym. et Eust. quorum illius auctoritate scribas potius κυλάδων ἔχων τὰς ἡνίας, quod manifesto etiam praebet cod. Q., cujus alioquin striblíginem ut est in editione Mediol. intactam reliqui. Postrema vox an sit corrupta ex ἴτυες non dixerim. BUTTM.

ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.
Εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος,
καὶ Πατροκλῆος, καὶ ἀμύμονος Ἀντιλόχοιο,
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε, δέμας τε,
τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
ἤλυθ' ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσαι ἅμ' αὐτῷ
οἴκῳ ἐν Αἰγίσθοιο θάνον, καὶ πότμον ἐπέσπον.
τὸν προτέρη ψυχὴ προσεφώνεε Πηλείωνος·
Ἀτρείδη, περὶ μέν σε φάμεν Διῒ τερπικεραύνῳ
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα·
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
ἦ τ' ἄρα καὶ σοὶ πρῶτα παραστήσεσθαι ἔμελλε
μοῖρ' ὀλοή, τὴν οὔτις ἀλεύεται, ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧσπερ ἄνασσες,
δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῷ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,

14. Ϝείδωλα. 17. Ϝεῖδος. 20. ἈτρεϜίδαο. 22. Ϝοίκῳ. 24. σε φάμεν] σ' ἔφαμεν V. ib. ἈτρεϜίδη. 26. 30. Ϝάνασσες. 27. ἈχαιϜοί. 32. ΠαναχαιϜοί.

εἰπεῖν ἐπεὶ καὶ ἐκ μελιᾶν (Hes. Ἔ. 144.). οὐ μέντοι τὸν Ἀχέροντα διαβαίνουσιν· ἄταφοι γάρ τέως εἰσίν. Q. Ἀσφοδελὸν εἶδος βοτάνης, ἐξ οὗ ἐάν τις φάγῃ, οὐκέτι διψῇ οὐδὲ πεινῇ. δηλοῖ δὲ διὰ τούτου ὅτι οἱ ἐν τῷ ᾅδῃ οὐδὲ ἐσθίουσιν οὐδὲ πίνουσιν. Q. ἈΣΦΟΔΕΛΟΝ. Ἄκαρπον φυτὸν ὁ ἀσφόδελος. νῦν τὸν τόπον λέγει τὸν ἀσφοδελώδη. Vulg. 14. Καμόντων] Γρ. θανόντων. Vind. 5. 28. ΠΡΩΪ ΤΙ[1]. Πρὸ τοῦ δέοντος καιροῦ. Πόθεν δὲ ᾔδει ὁ Ἀχιλλεύς; εἰκὸς παρ' ἄλλου πεπύσθαι αὐτόν. οὐ γάρ τι ἐν ᾅδου ἔστιν διασκοπεῖν, ἀλλ' ὅτι αὐτή ἐστιν ἡ ὑπόθεσις. Vulg. 29. Ὅς κε ἴδηται] Γράφεται, ὅς κε γένηται, ἤγουν γεννηθῇ. Q. 30. Ὡς ὄφελες] Τότε θανεῖν ὅταν ὁ πόλεμος. καὶ οὕτως ἂν ἐπέ-

[1] Sic ed. ant., Argentinensis certe. Quod minime negligendum, ob difficultatem in textus lectione recepta et in scholiastæ explicatione. Recentt. enim in lemmate posuerunt lectionem textus πρῶτα. Eustath. πρῶτα, ἤγουν πρὸ καιροῦ κατὰ τοὺς Ἀττικούς. Jam cf. Hesych. v. Πρωΐ.—καὶ πρὸ τοῦ δέοντος καιροῦ. Phot. Πρωΐ, ταχέως, πρὸ ὥρας. Contra πρῶτα apud nullum glossographorum ita explicatur. Quare vide an πρωῒ vera sit in textu scriptura, unde, recte an perperam jam olim inserto τι (πρωΐ τι, πρώ τι), nata sit vulgata hodie lectio. BUTTM.

ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω·
νῦν δ' ἄρα σ' οἰκτίστῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
ὄλβιε Πηλέος υἱὲ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίῃ, ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δὲ στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῷ, καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶς
δάκρυα θερμὰ χέον Δαναοὶ, κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃσ' ἁλίῃσιν,
ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη· ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε, παλαιά τε πολλά τε εἰδὼς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃσ' ἁλίῃσιν
ἔρχεται, οὗ παιδὸς τεθνειότος ἀντιόωσα.
Ὣς ἔφαθ'· οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί.

34. ϝαλῶναι. 35. Ἀτρεϝίδαο. 36. ἐπιϝείκελ'. 37. ϝεκάς. 38. Ἀχαιϝῶν. 39. σεῖο] σεῦ H. V. ib. δὲ] δ' ἐν W. 41. οὐδέ κε] οὐκέτι H. οὐδέ τι V. 45. ἀλείφατι, et ἐλαίῳ suprascr. H. ib. ἀμφὶς] ἀμφὶ H. 46. κείροντο] κείραντο H. V. 47. ἀθανάτῃσ'] ἀθανάτῃς V. 49. ὑπὸ] ἀπὸ H. ib. ἔλλαβε] ἤλυθε V. ib. Ἀχαιϝούς. 51. ϝειδώς. 53. ὅς σφιν] ὅ σφιν H. W. ib. μετέϝειπεν. 54. Ἀργεῖϝοι. Ἀχαιϝῶν. 56. τεθνειότος] τεθνηῶτος H. ib. ϝοῦ. 57. ἔσχοντο sed ι super ἔ H. ἴσχοντο V. ib. Ἀχαιϝοί.

τυχες καὶ τῆς τιμῆς ἧσπερ ἐβασίλευες. Q. 39. Σὺ δὲ στροφάλιγγι κονίης] Παρόσον ὁ ἄνεμος ἀνακινῶν τὸν κονιορτὸν ποιεῖ τοιαῦτα. Q. 42. Λαίλαπι] Ἀνέμῳ, βροντῇ. Q. 48. Ἀγγελίης] Νέα, τοῦ θρήνου. Vulg. 50. Ἔβαν κοίλας ἐπὶ νῆας] Ἀπὸ τοῦ κατασταθῆναι τῶν Μυρμιδόνων ἀφοίτων ἐπὶ τὰς θέας ναῦς.

ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος,
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.
Μοῦσαι δ' ἐννέα πᾶσαι, ἀμειβόμεναι ὀπὶ καλῇ,
θρήνεον· ἔνθα κεν οὔτιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν, ἀθάνατοί τε θεοὶ, θνητοί τ' ἄνθρωποι·
ὀκτωκαιδεκάτῃ δ' ἔδομεν πυρὶ, πολλὰ δέ σ' ἄμφις
μῆλα κατεκτάνομεν μάλα πίονα, καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν, καὶ ἀλείφατι πολλῷ,
καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐῤῥώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
οἴνῳ ἐν ἀκρήτῳ, καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
χωρὶς δ' Ἀντιλόχοιο· τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῇ ἔπι προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ·

59. ϝείματα ϝέσσαν. 60. ϝεννέ. 61. ἐνόησας a m. pr. ἐνόησα ex emend. valde recenti H. PORS. 62. Ἀργεϝίων. 63. ἑπτὰ δὲ] δὲ additum ex recens. H. 65. δέ σ' ἄμφις] δ' ἐπ' αὐτῷ H. 66. ϝέλικας. 67. ἐν ϝεσθῆτι. 68. Ἀχαιϝοί. 69. πέρι καιομένοιο] περικαιομένοιο V. 73. ϝοίνῳ. 74. Διωνύσοιο] Διωνύσου text., Διωνύσοιο pro v. l. V. 75. ϝέργον. 81. Ἀργεϝίων.

Q. Cf. ad 1. not. 3. 62. Τοῖον γὰρ ὑπώρορε] Λείπει τὸ, πένθος. Q. 65. Πολλὰ δ' ἐπ' αὐτῷ text. Γρ. πολλὰ δέ σ' ἀμφίς. Vind. 5. et 56. 67. Ἐν τ' ἐσθῆτι θεῶν] Τῇ δεδομένῃ ὑπὸ Νυμφῶν. Q. 74. Διωνύσοιο δὲ δῶρον] Ἥντινα δέδωκεν αὐτῇ ὁ Διόνυσος, ὅταν παρὰ τοῦ Λυκούργου διωκόμενος κατέφυγεν εἰς αὐτήν. τοῦτο δὲ εὑρήσεις ἐν τῇ Ἰλιάδι (ζ. 130. sqq.) πλατύτερον. Q. 75. Περικλυτοῦ in Harl. superscr. pro var.

ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
τοῖς, οἳ νῦν γεγάασι, καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ', αἰτήσασα θεοὺς, περικαλλέ' ἄεθλα
θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησα
ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι, καὶ ἐπεντύνονται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῷ,
οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ.
αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον,
Αἰγίσθου ὑπὸ χερσὶ, καὶ οὐλομένης ἀλόχοιο.
  Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἀγχίμολον δέ σφ' ἦλθε διάκτορος Ἀργειφόντης,
ψυχὰς μνηστήρων κατάγων, Ὀδυσῆϊ δαμέντων·
τὼ δ' ἄρα θαμβήσαντ' ἰθὺς κίον, ὡς ἐσιδέσθην·
ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
παῖδα Μελανθῆος, τὸν ἀγακλυτὸν Ἀμφιμέδοντα·
ξεῖνος γάρ οἱ ἔην, Ἰθάκῃ ἔνι οἰκία ναίων.
τὸν προτέρη ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
  Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε,
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;

86. Ἀχαιϝῶν. 89. ἐπεντύνονται] ἐπεστύνονται V. 90. θηήσαο] ἐνθήσεας W. ib. ϝιδών. 95. ἐπεὶ πόλεμον] καὶ ἐπὶ πτόλεμον V. ib. ϝῆδος. 96. μήσατο] ἐμήσατο H. 101. ἐϝιδέσθην. 102. 105. Ἀτρεΐδαο. 103. Μελανθῆος, τὸν ἀγακλυτὸν] φίλον Μελανῆος ἀγακλυτὸν H. W. Μελανῆος etiam V. 104. ϝοι. ϝοίκια.

lect. 89. Ζώννυνταί τε νέοι] Εὐτρεπίζονται πρὸς τὰ ἆθλα, ἀπὸ δὲ μέρους τὸ ζώννυνται· ἡνίοχοι γὰρ καὶ τοξόται καὶ ἀκοντισταὶ καὶ δισκοβόλοι ζώννυνται, γυμνοὶ δὲ δρομεῖς καὶ παλαισταί. Q. Ζώννυνται] Ἐν περιζώματι

ἠέ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλά;
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνῃ, ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα, σὺν ἀντιθέῳ Μενελάῳ,
Ἴλιον εἰς ἅμ' ἕπεσθαι, ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ' ἄρ' οὔλῳ πάντα περήσαμεν εὐρέα πόντον,
σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
μέμνημαι τάδε πάντα διοτρεφὲς, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὐδ' ἠρνεῖτο στυγερὸν γάμον, οὔτ' ἐτελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν·
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπε·
κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄληται,

114. Ϝειπέ. 115. ὅτε κεῖσε κατήλυθον] ὅτ' ἐκεῖσε κατήλθομεν V. 116. ΜενελάϜῳ. 117. Ϝίλιον. Post 120. uncinis inclusum habet W.: Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον. 121. habet H., sed pro 122. duo sequentes; μέμνημαι τάδε πάντα διοτρεφὲς ὡς ἀγορεύεις· σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω. Ad ultimam vocem in marg. γρ. ἀγορεύσω. 123. τέλος, οἷον] μόρον οἷον H. 125. οὐδ'] οὔτ' W. 127. μερμήριξε] μερμήριζε V. 129. μετέϜειπε. 130. δῖϜος. 132. μεταμώλια] μεταμώνια H. W.

ἀγωνίζονται. Vulg. 112. Περιταμνομένους] Περιελαύνοντας. Vulg. 119. Σπουδῇ] Μόλις. Ἤθελε δὲ κρύπτειν ἑαυτὸν ὁ Ὀδυσσεὺς, μὴ βουλόμενος στρατεύεσθαι, οὐ διὰ δειλίαν *, ἀλλ' ὡς συνετὸς ἀνὴρ ὁρῶν τὸ μέγεθος τοῦ πολέμου. ὅθεν εἰκὸς τὸν Ἀγαμέμνονα παρὰ τῷ Ἀμφιμέδοντι μένειν, καὶ οὐ παρὰ τῷ Ὀδυσσεῖ. Vulg. 132. Μεταμώλια] Μάταια. ἐκ τοῦ μὴ ὠνεῖν, κράσει τοῦ η καὶ ο εἰς ω μέγα. Q. "Μεταμώνια. "sic scholia diserte." PORS. ex

* Verba ὁ Ὀδυσσ.—δειλίαν olim deficientes e MS. supplevit Barn. BUTTM.

Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ..
ἔνθα κεν ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη·
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
πλύνασ', ἠελίῳ ἐναλίγκιον, ἠὲ σελήνῃ·
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιὴν, ὅθι δώματα ναῖε συβώτης·
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνῃ·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
ἵκοντο προτὶ ἄστυ περικλυτόν· ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευε.
τὸν δὲ συβώτης ἦγε, κακὰ χροῒ εἵματ' ἔχοντα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι,
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα,
ἐξαπίνης προφανέντ', οὐδ' οἱ προγενέστεροι ἦσαν·
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίπτομεν, ἠδὲ βολῇσιν.
αὐτὰρ ὁ τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσι
βαλλόμενος καὶ ἐνισσόμενος, τετληότι θυμῷ·

133. Λαϝέρτῃ. 135. Ἀχαιϝιάδων. 136. κεῖται] κῆται W. 138. κεν] καὶ V. W. 140. τριϝετες. Ἀχαιϝούς. 141. ϝέτος. 142. omittit H. uncinis includit W. 143. ἔϝειπε. ϝείδη. 153. ϝάστυ. 155. ϝείματ'. 157. uncinis includit W. ib. ϝείματα ϝέστο. 160. ἐνίπτομεν] ἐνίσσομεν H. V. W. ib. ϝέπεσιν. 161. ἑϝοῖσι.

Harl. 157. Σκηπτόμενον] Τῇ ῥάβδῳ ἐπερειδόμενον. Q. 160. Ἐνίσσομεν

ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσσεν ὀχῆας·
αὐτὰρ ὃ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγε
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἄεθλια, καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν·
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσι,
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν·
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
ῥηϊδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς,
δεινὸν παπταίνων· βάλε δ' Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
γνωτὸν δ' ἦν, ὅ ῥά τίς σφι θεῶν ἐπιτάῤῥοθος ἦεν.
αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μένεϊ σφῷ
κτεῖνον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς,
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ' ἑκάστου,
οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων,
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
ὄλβιε Λαέρταο παῖ, πολυμήχαν' Ὀδυσσεῦ,

166. Ϝήν. 172. Ϝεπέεσσι. 175. δῖϜος. 179. ἐφίει] ἀφίει V. 180. τιτυσκόμενος] τιτύσκόμενος H. ib. ἀγχιστῖνοι] ἀγχηστῖνοι H. 183. ἀϜεικής. 187. Ϝίσασι. δῶμα Ϝεκάστου. 190. ἈτρεϜίδαο. 191. ΛαϜέρταο.

(sic ed. ant.)] 'Επεκλ[illegible]σομεν. Vulg. 179. Βέλεμνα[h]] Βέλη. Vulg. 191. 'Ολβιε Λαέρταο παῖ] 'Απρεπές φασιν παρέντα τὸ συμπαθεῖν τῷ 'Αμφιμέδοντι, ἐπαινεῖν τὸν 'Οδυσσέα[i]. οὐκ ἀπεικὸς δέ. διὰ τὸ καὶ τὸν αὐτὸν ὑπὸ τῆς συνει-

[h] Fuit itaque varia lectio στονόεντα βέλεμνα. BUTTM.
[i] In ed. ant. hæc est confusio—παρέντα τὸ συμπαθεῖν. ΗΣ. τῆς εἰκοίας. ΤΟ ΑΜΦΙ-

ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἐχέφρονι Πηνελοπείῃ,
κούρῃ Ἰκαρίου, ὡς εὖ μέμνητ' Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔποτ' ὀλεῖται
ἧς ἀρετῆς· τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ.
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν· στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους· χαλεπὴν δέ τε φῆμιν ὄπασσε
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἑσταότ' εἰν Ἀΐδαο δόμοις, ὑπὸ κεύθεσι γαίης.
Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ' αὐτὸς
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησεν·
ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντῃ,

193. ἐχέφρονι] ἀμύμονι W. 195. ϝοι. 196. ϝῆς. 198. ϝέργα. 200. δέ τε] δ' ἐνὶ H. δ' ἔνι V., et δ' ἐπὶ pro v. l. ib. ὄπασσε] ὀπάσσει H. V. 201. εὐϝεργός. 203. ἑσταότ'] ἑσταῶτ' H. ἑσταότ' V. ib. δόμοις] πύλαις V. 205. Λαϝέρταο. 206. Λαϝέρτης. 207. ϝοι ϝοῖκος.

κυούσης τὰ κάκιστα πεπονθέναι. Vulg. 196. Ἀοιδήν] Ἀντὶ τοῦ, φήμην. Vulg. 203. Κεύθεσι γαίης] Κρυπτοῖς τόποις. λέγει δὲ τοὺς ὑπὸ γῆν. Vulg. 204. Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν] Ὑποστικτέον μετὰ τοῦτο, ἐπεί τοι ψιλὸς λόφου (Barn. e MS. ψιλὸς λόφος) ἐστί. Vulg. 206. Κτεάτισσεν] Ἔκτισεν. Vulg. Μάλα πόλλ' ἐμόγησεν] Ἐκακοπάθησεν οἰκοδομήσας, φυτεύσας. Q. 207. Κλίσιον] Περίφραγμα. Q. Ἅπαξ εἴρηται. σημαίνει δὲ ἐξέδραν τινὰ σχηματοειδῆ, ἐν ᾗ ἔκειντο οἱ κλισμοί. ἢ περίβολον, ἐφ' οὗ ἐκαθέζοντο ἢ ἐκοιμῶντο. Vulg. Κλίσιον] Ἄλλο τὸ παρὰ Ἀττικοῖς κλίσιον. ἐκεῖνο μὲν γὰρ ἁμάξης ζεῦγον (sic) δεύτερον[k], ὃ νῦν Ῥωμαῖοι παρὰ στάσιν σταῦλον φασιν. τοῦτο δὲ παρὰ τὸ κλίνειν ὅ ἐστιν περιέχειν ἐν μέσῳ τοὺς οἴκους· φησὶ γάρ, Ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλί-

ΜΕΔΟΝ ΤΙΘΕΕ. ἱκανοῦ τὸν Ὀδυσσέα κ. τ. λ. In quibus quamvis manifestum sit, glossam ΗΣ. τῆς οἰκίας a versu 196. huc male illatam esse, tamen haec verba in edd. recentt., in loco emendando scilicet, ita adhibita sunt—περίσσον τὸ συμφοραῖον περὶ τῆς οἰκίας τῷ Ἀμφιμέδοντι τέχνῃ ἱκανοῦ τὸν Ὀδ. Ego insiticiis istis, περὶ τ. οἰκ. et τέχνῃ, ejectis in ceteris acquievi: quamvis restent adhuc litteræ ΘΕΕ, de quibus quid faciam non habeo: nisi vox θεῖ forte, e glossa, ΘΕΕ vel ΘΕΕΝ, ἔτρεχεν, quæ legitur ad v. 208., eodem casu, quo alia integra glossa, huc retracta et striblignis illis immista fuit.—Mox συνοικούσης, pro mutilo κούσης, a Barnesio restitutum est. BUTTM.

[k] Scr. ζευγῶν δευτερεῖον, quæ emend. debetur Spohnio (de Extr. Odysseæ parte p. 148.), nisi quod idem ulterius corrigit: ἁμαξῶν καὶ ζ. δ. quod mihi necessarium non visum. BUTTM.

ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἴαυον
δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
ἐν δὲ γυνὴ Σικελὴ γρηῢς πέλεν, ἥ ῥα γέροντα
ἐνδυκέως κομέεσκεν ἐπ' ἀγροῦ, νόσφι πόληος.
ἔνθ' Ὀδυσεὺς δμώεσσι καὶ υἱέϊ μῦθον ἔειπεν·
  Ὑμεῖς μὲν νῦν ἔλθετ' ἐϋκτίμενον δόμον εἴσω·
δεῖπνον δ' αἶψα συῶν ἱερεύσατε, ὅστις ἄριστος·
αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
αἴ κ' ἔμ' ἐπιγνοίη καὶ φράσσεται ὀφθαλμοῖσιν,
ἦέ κεν ἀγνοίησι, πολὺν χρόνον ἀμφὶς ἐόντα.
  Ὣς εἰπὼν, δμώεσσιν ἀρήϊα τεύχε' ἔδωκεν.
οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον· αὐτὰρ Ὀδυσσεὺς
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς, πειρητίζων·
οὐδ' εὗρεν Δολίον, μέγαν ὄρχατον ἐσκαταβαίνων,
οὐδέ τινα δμώων, οὐδ' υἱῶν· ἀλλ' ἄρα τοίγε
αἱμασιὰς λέξοντες, ἀλωῆς ἔμμεναι ἕρκος,
ᾤχοντ'· αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευε.
τὸν δ' οἶον πατέρ' εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα,
ῥαπτὸν, ἀεικέλιον· περὶ δὲ κνήμῃσι βοείας
κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων·
χειρῖδάς τ' ἐπὶ χερσὶ, βάτων ἕνεκ'· αὐτὰρ ὕπερθεν

209. ἐργάζοντο] εἰργάζοντο V. ib. Fol. Fεργάζοντο. 211. πόληος] πόλιος V. 212. ἔFειπεν. 214. δ' αἶψα] δ' ἔπειτα V. 216. 217. transponit H. 217. ἀγνοίησι] ἀγνοιῇσι V. 218. Fειπών. 222. υἱῶν] υἱέων H. 226. ῥυπόωντα δὲ] ῥυπόωντά τε V. ib. Fέστο. 227. ἀFεικέλιον. 229. χειρῖδας] χειρῖδα V.

σιν διὰ πάντη. ὅμοιον γάρ ἐστι τὸ ἐν τῇ α'. (425.), Ὅθι θάλαμος περικαλλέος αὐλῆς Ὑψηλὸς δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ· ὅ ἐστι, τῷ μέσῳ, διὰ τὸ πανταχόθεν σκοπεῖσθαι τῆς αὐλῆς. Vind. 56. 209. Δμῶες ἀναγκαῖοι] Οἱ ἀργυρώνητοι, οὗτοι γὰρ ἀνάγκῃ δουλεύουσιν. Q. Ἀναγκαῖοι] Χρειώδεις. Q. Vulg. 217. Ἀμφίς] Χωρίς. Q. 220. Πολυκάρπου] Ἤτοι κυρίως. ἢ φαύλους καρποὺς ἐχούσης. Vulg. 223. Αἱμασιὰς λέξοντες] Τὰ ἐκ τῶν λεπτῶν λίθων τειχία οἰκοδομήσοντες. Vulg. 226. Λιστρεύοντα] Περιξέοντα καὶ περισκάπτοντα. Q. Vulg. εἰς ἀρδείαν, καὶ ὁμαλίζοντα[1]. Vulg. Τὸ ἑξῆς, ῥυπόωντα ἕστο χιτῶνα πένθος ἀέξων. Q. 228. Γραπτῦς] Τὰς καταξύσεις τῶν ἀκανθῶν φυτῶν. Q.

[1] In edd. ant. haec ita corrupta leguntur: ΑΙΓΕΤΟΝΤΑ. π. κ. π. εἰς ἀρδείαν καὶ ἐπαλίζοντα. Ultimum verbum in recentt. tacite mutatum in συναχίζοντα. Barn. e MS. suo totum restituit. BUTTM.

αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
τὸν δ' ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
στὰς ἄρ' ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
κύσσαι καὶ περιφῦναι ἑὸν πατέρ', ἠδὲ ἕκαστα
εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν·
ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.
τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς·
ἤτοι ὁ μὲν κατ' ἔχων κεφαλὴν φυτὸν ἀμφελάχαινε·
τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
Ὦ γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν
ὄρχατον, ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
οὐ φυτόν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ·
αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι.
οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ' οὔ σε κομίζει,
οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰσοράασθαι
εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.

231. δῖϝος. 235. ἑϝόν. ϝέκαστα. 236. ϝειπεῖν. 237. ϝέκαστα. 238. ϝοι. 239. ϝεπέεσσιν. 240. δῖϝος. 241. κάτ'] κάτω V. κατέχων W. 242. τὸν δὲ] τόνδε V. 243. ἀδαημονίη σ'] ἀδαημονίης H. 247. ϝερέω. 249. ἔχεις] ἔχει σ' V. ib. ἀϝεικέα ϝέσσαι. 250. ἀϝεργίης. ϝάναξ. 251. δούλειον] δούλιον V. 252. ϝεῖδος. ϝέϝοικας.

Τὰς τῶν ἀκανθωδῶν φυτῶν καταπεριξύσεις καὶ ἀμυχάς. Vulg. 230. Αἰγείην κυνέην] Καταχρηστικῶς, ὡς καὶ τὴν χαλκῆν κυνέην. Vulg. 233. Βλωθρήν] Τὴν μεγάλην, ἀπὸ τοῦ ἄνω μολίσκειν. Vulg. 235. Κύσσαι (sic ed. ant.)] Περιπλακῆναι, φιλῆσαι. Vulg. 239. Κερτομίοις ἐπέεσσιν] Ἀπατητικοῖς, δολίοις, ἵνα μὴ τῇ αἰφνιδίῳ χαρᾷ ἀποψύξει ὁ γέρων, ὥσπερ καὶ ὁ κύων ἀπώλετο. Q. 241. Κατ' ἔχων κεφαλήν] Κάτω ἔχων, νενευκώς. δύναται δὲ καὶ ὑφ' ἕν, κατέχων. Vulg. 243. Ἀδαημονίης ἔχεις text. "In marg. Γρ. "ἀδαημοσύνης, cum explicat. ἀνεπιστημοσύνης." PORS. ex Harl.

τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
εὑδέμεναι μαλακῶς· ἣ γὰρ δίκη ἐστὶ γερόντων.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
τεῦ δμὼς εἶς ἀνδρῶν; τεῦ δ' ὄρχατον ἀμφιπολεύεις;
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
εἰ ἐτεόν γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,
οὔτι μάλ' ἀρτίφρων· ἐπεὶ οὐ τόλμησεν ἕκαστα
εἰπεῖν, ἠδ' ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
ἀμφὶ ξείνῳ ἐμῷ, εἴ που ζώει τε καί ἐστι,
ἢ ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισιν.
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
ἄνδρα πότ' ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ,
ἡμέτερόνδ' ἐλθόντα· καὶ οὔπω τις βροτὸς ἄλλος
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα.
εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτοῦ.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καί οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐώκει·
χρυσοῦ μέν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
δῶκα δέ οἱ κρητῆρα πανάργυρον, ἀνθεμόεντα,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλὰ, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας·
χωρὶς δ' αὖτε γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,

253. ϜέϜοικας. 254. ἣ] ᾗ W. 255. Ϝειπέ. 257. Ϝειδῶ. 258. ἔϜειπεν. 260. Ϝέκαστα. 261. Ϝειπεῖν. Ϝέπος. 264. Ϝερέω. 269. αὐτοῦ] αὐτῷ H. ἐσθλόν V. αὐτῷ W. ib. ΛαϜέρτην. 271. Ϝοῖκον. 272. Ϝοι. ϜεϜοίκει. 273. Ϝοι. εὐϜεργέος. 274. Ϝοι. 275. 276. pro his duobus versibus unum dat H. δώδεκα δ' ἁπλοΐδας χλαίνας τόσσους δὲ χιτῶνας. 277. ἀμύμονας] ἀμύμονα H. W. ib. ἀμύμονα Ϝέργα Ϝιδυίας.

253. "Schol. ἔοικε τῷ κατὰ σὲ γε-"γηρακότι εὑδέμεναι μαλακῶς, ut vi-"deatur legisse ἔοικεν." PORS. ex Harl. 259. Οὗτος ἀνήρ] Δεικτικῶς, ὁ σχεδὸν ὑπ' ὄψιν φαινόμενος. Q. 274. Ἀνθεμόεντα] Λαμπρὸν καὶ καινόν. μεταφορικῶς ἀπὸ τῶν ἀνθέων. Q. Ἀνθοῦντα. Vulg. 276. Χιτῶνας text. Γρ.

τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων·
ξεῖν', ἤτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις·
ὑβρισταὶ δ' αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσι·
δῶρα δ' ἐτώσια ταῦτα χαρίζεο, μυρί' ὀπάζων·
εἰ γάρ μιν ζωόν γ' ἐκίχεις Ἰθάκης ἐνὶ δήμῳ,
τῷ κέν σ' εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε,
καὶ ξενίῃ ἀγαθῇ· ἣ γὰρ θέμις, ὅστις ὑπάρξῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
πόστον δὴ ἔτος ἐστὶν, ὅτε ξείνισσας ἐκεῖνον,
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ', εἴ ποτ' ἔην γε,
δύσμορον; ὅν που, τῆλε φίλων καὶ πατρίδος αἴης,
ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
κλαῦσε περιστείλασα, πατήρ θ', οἵ μιν τεκόμεσθα·
οὐδ' ἄλοχος πολύδωρος ἐχέφρων Πηνελόπεια
κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ὡς ἐπέοικεν,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς; πόθεν εἷς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἕστηκε θοὴ, ἥ σ' ἤγαγε δεῦρο,
ἀντιθέους θ' ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
νηὸς ἐπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν;
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
τοιγὰρ ἐγώ τοι πάντα μάλ' ἀτρεκέως καταλέξω·

278. εἰδαλίμας] εἰδαλίμους V. ib. Ϝειδαλίμας. 279. δάκρυον εἴβων] δάκρυα λεῖβων V. 280. ἐρεείνεις] ἐξερεείνεις H. 282. δῶρα Ϝετώσια. 283. εἰ] οὐ H. ib. γ' ἐκίχεις] γε κιχεῖς H. V. 284. εὖ] ἐν pro v. l. V. 285. Inter ὑπάρξει et ὑπάρξῃ fluctuat H. ὑπάρξῃ in text., ὑπάρξει pro v. l. V. 286. Ϝειπέ. 287. πόστον] πόσσον V. ib. ὅτε ξείνισσας] ὅτ' ἐξείνισσας V. ib. Ϝέτος. 289. που] μιν V. 291. Ϝέλωρ. Ϝε. 293. ἐχέφρων] περίφρων pro v. l. H. Idem mendum supra ε'. 130. PORS. 294. λεχέεσσι φίλον] λεχέεσσιν ὃν H. V. ib. ἐπέοικεν] ἐπεώκει H. V. ib. ἐϜεϜοίκει. 296. Ϝειδῶ. 302. πάντα] ταῦτα V.

τάνητας. Vind. 56. 278. Εἰδαλίμας] Εὐειδεῖς (εὐειδεῖς em. Barnes.), ἢ ἐπιστήμονας. Vulg. 285. Ὑπάρξῃ] Προκατάρξηται. Vulg. 293. Πολύδωρος Πηνελόπεια] Ἡ πολλοῖς δώροις εἰς γάμον ἐλθοῦσα. Q. Ἡ πολλοῖς δώροις

εἰμὶ γὰρ ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
υἱὸς Ἀφείδαντος Πολυπημονίδαο ἄνακτος·
αὐτὰρ ἐμοί γ' ὄνομ' ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων
πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν, οὐκ ἐθέλοντα·
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ, νόσφι πόληος.
αὐτὰρ Ὀδυσσῆϊ τόδε δὴ πέμπτον ἔτος ἐστὶν,
ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι
δεξιοὶ, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ' ἔτι νῶϊν ἐώλπει
μίξεσθαι ξενίῃ, ἠδ' ἀγλαὰ δῶρα διδώσειν.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν στεναχίζων.
τοῦ δ' ὠρίνετο θυμὸς, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
δριμὺ μένος προὔτυψε, φίλον πατέρ' εἰσορόωντι.
κύσσε δέ μιν περιφὺς, ἐπιάλμενος, ἠδὲ προσηύδα·
Κεῖνος μέντοι ὅδ' αὐτὸς ἐγὼ, πάτερ, ὃν σὺ μεταλλᾷς,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ' ἴσχεο κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
ἐκ γάρ τοι ἐρέω· μάλα δὲ χρὴ σπευδέμεν ἔμπης·

303. εἰμὶ γὰρ] εἰμὴ μὲν (i. e. εἰμὶ PORS.) H. εἰμὶ μὲν V. Et Apollonius v. Ἀλύβαντος PORS. 304. Ἀφείδαντος] Ἀμφίδαντος V. ib. ϝάνακτος. 306. πλάγξ'] πλάγη pro v. l. V. 308. ϝέτος. 310. ϝοι. 312. δ' ἔτι] δέ τι V. ib. ϝεϝόλπει. 313. διδώσειν] διδῶσαι V. 316. ἀδινὸν] ἀδινὰ H. W. 317. ϝοι. 321. ἤλυθον ἐϝεικοστῷ ϝέτεϊ. 323. ϝερέω.

γαμηθεῖσα. Vulg. 303. Εἰμὶ γὰρ ἐξ Ἀλύβαντος] Ἀλύβας πόλις Θετταλίας ἡ νῦν Μεταστάτις καλουμένη. Ἀλύβην δὲ αὐτὴν ἐν τῷ καταλόγῳ φησί. Q. Ἀλύβας πόλις Ἰταλίας τὸ Μεταπόντιον, ἢ μᾶλλον Μεταπόντου[m], ἥντινα ἐν τῷ καταλόγῳ Ἀλύβην ἔφη, Αὐτὰρ Ἁλιζώνων ὁ δῖος ἐπίστροφος ἦρχον Τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀρετὴ γενέθλη (Il. β'. 857.). Vulg. (ed. ant.) 306. Σικανίης] Σικελίας. ᾤκησαν γὰρ αὐτὴν Ἴβηρες ἐλθόντες ἀπὸ Σικάνου ποταμοῦ. Vulg. (ed. ant.) 318. Δριμὺ μένος προὔτυψε] Ἤτοι ὅτι πρᾶγμα ἐτόλμησεν ἐξειπὼν (ἐξειπεῖν em. Barn.), ἢ ὅτι ἔμελλεν δακρύειν, προσημαίνεται ταῖς

[m] Barnes. em. ἢ μᾶλλον τοῦ Πόντου, provocans ad Steph. Byz. et Eust. Verius, opinor, κατὰ Πόντον. BUTTM.

μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι,
λώβην τινύμενος θυμαλγέα, καὶ κακὰ ἔργα.
Τὸν δ' αὖ Λαέρτης ἀπαμείβετο, φώνησέν τε·
εἰ μὲν δὴ Ὀδυσεύς γε, ἐμὸς πάϊς, ἐνθάδ' ἱκάνεις,
σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδὲς, ὄφρα πεποίθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι,
τὴν ἐν Παρνησῷ μ' ἔλασεν σῦς λευκῷ ὀδόντι
οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἑλοίμην
δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο, καὶ κατένευσεν.
εἰ δ' ἄγε, τοι καὶ δένδρε', ἐϋκτιμένην κατ' ἀλωὴν,
εἴπω, ἅ μοι πότ' ἔδωκας, ἐγὼ δ' ᾔτεόν σε ἕκαστα,
παιδνὸς ἐὼν, κατὰ κῆπον ἐπισπόμενος· διὰ δ' αὐτῶν
ἱκνεύμεσθα, σὺ δ' ὠνόμασας καὶ ἔειπες ἕκαστα.
ὄγχνας μοι δῶκας τρεισκαίδεκα, καὶ δέκα μηλέας,
συκέας τεσσαράκοντ'· ὄρχους δέ μοι ὧδ' ὀνόμηνας
δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
ἤην· ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν,
ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν.
Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
σήματ' ἀναγνόντος, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ προτὶ οἷ
εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπε·
Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα, μὴ τάχα πάντες

325. ϝέργα. 326. Λαϝέρτης. 328. ϝειπέ. 336. ϝείπω. ϝέκαστα. 338. ϝειπές τε ϝέκαστα. 341. ϝέκαστος. 345. ἀναγνόντες et suprascr. ἀναγνόντος H. ib. ϝοι. 346. προτὶ] ποτὶ W. ib. ϝοῖ. 347. ϝεῖλεν. 349. προσέϝειπε. 352. δείδοικα] δίδοικα ex emend. H. ib. τάχα] ἅμα V.

μοι ἀμπελώτης τις. Προΐεις] Προεπέμπεσεν. Vulg. 340. Ὄρχους] Στίχους ἀμπέλων. Q. 343. Ἐπιβρίσειαν ὕπερθεν] Ἐπιβαρήσειαν τοὺς καρπούς. Q.

ἐνθάδ' ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
πάντη ἐποτρύνωσι Κεφαλλήνων πολίεσσι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
ἀλλ' ἴομεν προτὶ οἶκον, ὃς ὀρχάτου ἐγγύθι κεῖται·
ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
προὔπεμψ', ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα.
Ὣς ἄρα φωνήσαντε βάτην πρὸς δώματα καλά.
οἱ δ' ὅτε δή ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
ταμνομένους κρέα πολλὰ, κερῶντάς τ' αἴθοπα οἶνον.
Τόφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
ἀμφίπολος Σικελὴ λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλεν· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,
μείζονα δ', ἠὲ πάρος, καὶ πάσσονα θῆκεν ἰδέσθαι.
ἐκ δ' ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱός,
ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
εἶδός τε μέγεθός τε, ἀμείνονα θῆκεν ἰδέσθαι.
Τὸν δ' αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα·
αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
οἷος Νήρικον εἷλον, ἐΰκτίμενον πτολίεθρον,
ἀκτὴν Ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισι,
τεύχε' ἔχων ὤμοισιν, ἐφεστάμεναι, καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας· τῷ κε σφέων γούνατ' ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης.

357. ὃς] ἵν' H. V. ib. Ϝοῖκον. 358. ἔνθα δὲ] ἐνθάδε V. 363. Ϝοῖνον. 364. ΛαϜέρτην. Ϝᾧ. Ϝοίκῳ. 367. ἤλδανε] ἤνδανε V. ib. λαϜῶν. 368. Ϝιδέσθαι. 369. δ'] ῥ' H. 370. Ϝίδεν. 371. Ϝέπεα. 373. Ϝεῖδος. Ϝιδέσθαι. 374. ΛαϜέρτης. 377. Ϝανάσσων. 381. ἰάνθης] ἐγήθεις H. V., et ἔγηθες pro v. l.

357. Ἵν' ὀρχάτου] Γρ. ὃς ὀρχάτου. Harl. 376. Νήρικον] Τὴν νῦν Λευ-

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
ἔνθ' οἱ μὲν δείπνῳ ἐπεχείρεον· ἀγχίμολον δὲ
ἦλθ' ὁ γέρων Δολίος, σὺν δ' υἱεῖς τοῖο γέροντος
ἐξ ἔργων μογέοντες· ἐπεὶ προμολοῦσα κάλεσσε
μήτηρ, γρηῦς Σικελή, ἥ σφεας τρέφε, καί ῥα γέροντα
ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρπτεν.
οἱ δ' ὡς οὖν Ὀδυσῆα ἴδον, φράσσαντό τε θυμῷ,
ἔσταν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν·
Ὦ γέρον, ἷζ' ἐπὶ δεῖπνον· ἀπεκλελάθεσθε δὲ θάμβευς·
δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμαῶτες
μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί.
Ὣς ἄρ' ἔφη· Δολίος δ' ἰθὺς κίε, χεῖρε πετάσσας
ἀμφοτέρας· Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν,
οὐδέ τ' ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί,
οὖλέ τε, καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν·
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ', ἢ ἄγγελον ὀτρύνωμεν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου.
ὣς δ' αὔτως παῖδες Δολίου κλυτὸν ἀμφ' Ὀδυσῆα
δεικανόωντ' ἐπέεσσι, καὶ ἐν χείρεσσι φύοντο·

386. υἱεῖς] υἱοὶ V. 387. Fέργων. 389. ἔμαρπτεν] ἔμαρψεν H. W. 390. Fίδον. 392. Fεπέεσσι. προσέFειπεν. 393. θάμβευς] θάμβους V. 397. Ὀδυσεῦς] Ὀδυσσεὺς, et suprascr. Ὀδυσσεὺς H. 398. Fέπεα. 400. δέ σε ἤγαγον] videtur primo scriptum δέ σ' ἀνήγαγον H. PORS. δέ σ' ἀνήγαγον W. 401. μέγα sed suprascr. μάλα H. μάλα W. 402. Fειδῶ. 403. 406. Fοῖδε. 409. δεικανόωντο Fέπεσσι.

κάθα καλουμένῃ. Q. 409. Δεικανόωντ'] Προσεκύνουν. Q. Δεικανόωντο]

ἑξείης δ' ἕζοντο παραὶ Δολίον πατέρα σφῶν.
ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
Ὄσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ὤχετο πάντη,
μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ' ἐνέπουσα.
οἱ δ' ἄρ' ὁμῶς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος,
μυχμῷ τε στοναχῇ τε, δόμων προπάροιθ' Ὀδυσῆος·
ἐκ δὲ νέκυς οἴκων φόρεον, καὶ θάπτον ἕκαστοι·
τοὺς δ' ἐξ ἀλλάων πολίων οἶκόνδε ἕκαστον
πέμπον ἄγειν ἁλιεῦσι, θοῇς ἐπὶ νηυσὶ τιθέντες·
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
τοῖσιν δ' Εὐπείθης ἀνά θ' ἵστατο, καὶ μετέειπε·
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς·
τοῦ ὅγε δάκρυ χέων ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδε μήσατ' Ἀχαιούς·
τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλοὺς,
ὤλεσε μὲν νῆας γλαφυρὰς, ἀπὸ δ' ὤλεσε λαούς·
τοὺς δ' ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ' ἀρίστους.
ἀλλ' ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι,
ἢ καὶ ἐς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοὶ,
ἴομεν· ἢ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ' αἰεί·
λώβη γὰρ τάδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.
εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
τισόμεθ', οὐκ ἂν ἔμοιγε μετὰ φρεσὶν ἡδὺ γένοιτο

410. Δολίον] Δολίος V. ib. σφῶν] σφῶν, a m. pr. H. W. 413. κῆρα Ϝένεπουσα. 415. μυχμῷ] μυχμῶν, et μύχμῳ pro v. l. V. 416. Ϝοίκων. θάπτε Ϝέκαστος. 417. ἕκαστον] ἕκαστος H. ib. Ϝοικόνδε Ϝέκαστον. 421. μετέϜειπε. 422. Ϝοι. 423. δῖϜος. 424. μετέϜειπεν. 425. ὅδε μήσατ'] ὅγ' ἐμήσατ' H. ὅδ' ἐμήσατ' W. ib. Ϝέργον. ἈχαιϜούς. 426. πολέας] πολλὰς V. 427. λαϜούς. 430. δῖϜαν. 434. Ϝηδύ.


Προσαυδῶντα, προσασπαζόντα καὶ φιλανθρωπεύοντα. MS. Barnesii, qui participia hæc omnia in Imperfecta mutavit. 412. Ὄσσα] Θεία κληδών. Q. Φήμη. MS. Barnes. 418. Ἁλιεῦσι] Ἁλιεῖς καλεῖν εἰώθασιν ὅτε μὲν τοὺς ἰχθυοβόλους· Οὓς καὶ ἁλιῆες Κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης Δικτύῳ ἐξείρυσσαν (χ'. 384.). ὅτε δὲ τοὺς πλωϊζομένους, Ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν (π'. 349.). νῦν δὲ κατ' ἑκάτερον ἐγχωρεῖ. Q. 428. Γρ. Κεφαλλήνων

ζωέμεν· ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην.
ἀλλ' ἴομεν, μὴ φθέωσι περαιωθέντες ἐκεῖνοι.
Ὣς φάτο δακρυχέων· οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
ἀγχίμολον δέ σφ' ἦλθε Μέδων καὶ θεῖος ἀοιδὸς
ἐκ μεγάρων Ὀδυσῆος, ἐπεί σφεας ὕπνος ἀνῆκεν·
ἔσταν δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
τοῖσι δὲ καὶ μετέειπε Μέδων, πεπνυμένα εἰδώς·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
ἀθανάτων ἀέκητι θεῶν τάδε μήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ
ἐγγύθεν εἱστήκει, καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ' Ὀδυσῆος
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
θῦνε κατὰ μέγαρον· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ᾕρει.
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἁλιθέρσης
Μαστορίδης· ὃ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ, ττι κεν εἴπω·
ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο·
οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν,
ὑμετέρους παῖδας καταπαυέμεν ἀφροσυνάων·
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσι,
κτήματα κείροντες, καὶ ἀτιμάζοντες ἄκοιτιν
ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκ ἔτι φάντο νέεσθαι.
καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι, ὡς ἀγορεύω·
μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ.

437. Ἀχαιϝούς. 439. ἀνῆκεν, et suprascr. ἀφῆκεν H. 440. ϝέκαστον. 441. μετέϝειπε. ϝειδώς. 443. ἀϝέκητι. ϝέργα. 444. θεὸν] θεῶν et ο super ω H. ib. Ὀδυσῆϊ] Ὀδυσῆος H. ib. ϝεῖδον. 445. εἱστήκει] ἑστήκει W. ib. ϝεϝοίκει. 448. ἀγχιστῖνοι] ἀγχηστῖνοι H. 450. 452. μετέϝειπε. 452. ὅς] ὁ H. W. 453. ϝείπω. 454. ὑμετέρῃ] ἡμετέρῃ V. ib. ϝέργα. 455. λαϝῶν. 457. ϝέργον. 459. οὐκ ἔτι] οὐκέτι V. W.

ἐνὶ δήμῳ. Vind. 5. et 56. 461. Ἐπίσπαστον] Καταχρηστικῶς σημαίνει τὸ

Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρ᾽ ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
ἡμίσεων πλείους· τοὶ δ᾽ ἀθρόοι αὐτόθι μεῖναν.
οὐ γάρ σφιν ἅδε μῦθος ἐνὶ φρεσὶν, ἀλλ᾽ Εὐπείθει
πείθοντ᾽· αἶψα δ᾽ ἔπειτ᾽ ἐπὶ τεύχεα ἐσσεύοντο.
αὐτὰρ ἐπεί ῥ᾽ ἕσσαντο περὶ χροῒ νώροπα χαλκὸν,
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
τοῖσιν δ᾽ Εὐπείθης ἡγήσατο νηπιέῃσι·
φῆ δ᾽ ὅγε τίσεσθαι παιδὸς φόνον· οὐδ᾽ ἄρ᾽ ἔμελλεν
ἂψ ἀπονοστήσειν, ἀλλ᾽ αὐτοῦ πότμον ἐφέψειν.
αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα·



Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων,
εἰπέ μοι εἰρομένῃ, τί νύ τοι νόος ἔνδοθι κεύθει;
ἢ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
τεύξεις; ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τίθησθα;
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
τέκνον ἐμὸν, τί με ταῦτα διείρεαι, ἠδὲ μεταλλᾷς;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτὴ,
ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
ἔρξον ὅπως ἐθέλεις· ἐρέω δέ τοι, ὡς ἐπέοικεν.
ἐπειδὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεὺς,
ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω αἰεί·
ἡμεῖς δ᾽ αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοὶ δ᾽ ἀλλήλους φιλεόντων,
ὡς τὸ πάρος· πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.
Ὣς εἰπὼν, ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα.
Οἱ δ᾽ ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἕντο,
τοῖς ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ἐξελθών τις ἴδοι, μὴ δὴ σχεδὸν ὦσι κιόντες.

463. μεῖναν] μίμνον W. 466. ἐπεὶ Fέσσαντο. 467. Fάστεος. 469. οὐδ᾽ ἄρ᾽] οὐ γὰρ V. 473. Fειπέ. 480. Fέρξον. Fερέω. ἐFέFοικεν. 481. δῖFος. 482. ταμόντες] λαβόντες V. 484. θέωμεν] θέομεν H. 485. Fάλις. 486. Fειπών. 489. τοῖς] τοῖς δ᾽ W. ib. δῖFος. 490. ἐλθών, τίς κε Fίδοι.

ἐκνύσειν, ὃ ἔστιν ὃ ἑαυτῷ τις ἐπισπᾶται. MS. Barnes. 474. Ἦ προτέρω] Εἰς

ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευε·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, τοὺς δὲ σχεδὸν εἴσιδε πάντας·
αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα·
Οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον.
ὣς ἔφαθ'· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσι δύοντο,
τέσσαρες ἀμφ' Ὀδυσῆ', ἓξ δ' υἱεῖς οἱ Δολίοιο·
ἐν δ' ἄρα Λαέρτης, Δολίος τ' ἐς τεύχε' ἔδυνον,
καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκὸν,
ὤϊξαν δὲ θύρας, ἐκ δ' ἤϊον, ἦρχε δ' Ὀδυσσεύς.
Τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', ἤδη μὲν τόδε γ' εἴσεαι αὐτὸς ἐπελθὼν,
ἀνδρῶν μαρναμένων, ἵνα τε κρίνονται ἄριστοι,
μήτι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
ἀλκῇ τ' ἠνορέῃ τε κεκάσμεθα πᾶσαν ἐπ' αἶαν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ὄψεαι, αἴ κ' ἐθέλῃσθα, πάτερ φίλε, τῷδ' ἐνὶ θυμῷ,
οὔτι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις.
Ὣς φάτο· Λαέρτης δ' ἐχάρη, καὶ μῦθον ἔειπε·
τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·
υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχουσι.
Τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ' ἑταίρων,
εὐξάμενος κούρῃ Γλαυκώπιδι, καὶ Διῒ πατρὶ,
αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.

492. εἴσϝιδε. 493. ϝέπεα. 495. τεύχεσσι] τεύχεα V. 496. Ὀδυσῆ] Ὀδυσῆα H. 497. ἔδυνον] ἔδυνον H. ib. Λαϝέρτης. 499. ἐπεὶ ϝέσσαντο. 500. ὤϊξαν δὲ] ὤϊξαν μὲ (sic) H. ὤϊξάν μα V. W. 502. ϝειδομένη. 503. τὴν δὲ ϝιδών. δῖϝος. 504. ϝόν. 505. τόδε ϝείσεαι. 510. ἐνὶ] ἐπὶ W. 512. Λαϝέρτης. ἔϝειπε. 513. νύ] νῦν V.

τοὔμπροσθεν τοῦ χρόνου, ὡς ἄν τις εἴποι ἐπὶ πλέον. Q. 495. Δύοντο] Γρ. ἔδυνον. Vind. 56. 505. Τόδε γ' εἴσεαι] Δείξεις, γνωστὸν ποιήσεις. Q. Τόδε ἐνίσσεαι text. Γνωστὸν ποιήσεις. Vind. 56. 508. Κεκάσμεθα] Παρῳδηκαμέ-

Ὣς φάτο, καί ῥ' ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη.
εὐξάμενος δ' ἄρ' ἔπειτα Διὸς κούρῃ μεγάλοιο,
αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Εὐπείθεα κόρυθος [illegible] χαλκοπαρῄου·
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
ἐν δ' ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱός·
τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
καί νύ κε δὴ πάντας τ' ὄλεσαν καὶ ἔθηκαν ἀνόστους,
εἰ μὴ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἤϋσεν φωνῇ, κατὰ δ' ἔσχεθε λαὸν ἅπαντα·
Ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο,
ὥς κεν ἀναιμωτί γε διακρινθεῖτε τάχιστα.
Ὣς φάτ' Ἀθηναίη· τοὺς δὲ χλωρὸν δέος εἷλε·
τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα·
πάντα δ' ἐπὶ χθονὶ πίπτε, θεᾶς ὄπα φωνησάσης·
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
σμερδαλέον δ' ἐβόησε πολύτλας δῖος Ὀδυσσεὺς,
οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς ὑψιπετήεις.
καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνὸν,
κὰδ δ' ἔπεσεν πρόσθεν Γλαυκώπιδος ὀβριμοπάτρης.
καὶ τότ' Ὀδυσσῆα προσέφη γλαυκῶπις Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιΐου πολέμοιο,
μήπως τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς.

521. ἀμπεπαλὼν] ἀνεμπαλὼν H. 527. τ' omittit H. 529. λαϝόν. 531. ἀναιμωτί] ἀναιμοτί V. 533. ἐκ χειρῶν ἔπτατο τεύχεα] ἐκ τεύχεα ἔπτατο χειρῶν V. 534. ϝόπα. 536. δῖϝος. 537. ϝαλείς. 540. καὶ τότ'] δὴ τότ' H. W. καὶ δὴ V. 541. διϝογενές Λαϝερτιάδη. 542. παῦε] παῦσε V. ib. πολέμοιο] πτολέμοιο H.

μεν. Q. 522. Κόρυθος διὰ χαλκοπαρῄου] Χαλκῷ τὰς παρειὰς ἡρμοσμένης. Q. Vulg. 527. Ἀνόστους] Ἐπανόδου μὴ τυγχάνοντας. Vulg. Πάντας ὄλεσαν καὶ ἔθηκαν ἀργείους: sic mendose text. Vind. 56. et super ultima voce scriptum, Ἐπανόδου μόγις τυγχάνοντας. 538. Ψολόεντα] Καυστικὸν, ἀσβόλῳ ποιοῦντα. ψολὸν γὰρ τὴν ἄσβολον λέγει. τοιοῦτον δὲ ἀφίησιν ὁ Ζεὺς πῦρ ἐκ τοῦ οὐρανοῦ. Vulg.

Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ.
ὅρκια δ' αὖ κατόπισθε μετ' ἀμφοτέροισιν ἔθηκε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Μέντορι εἰδομένη, ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.

544. χαῖρε δὲ] χαῖρέ τε V. 547. ϝειδομένη.

ΤΕΛΟΣ.

ΟΜΗΡΟΥ ΚΑΙ ΟΜΗΡΙΔΩΝ

ΛΕΙΨΑΝΑ.

HOMERI ET HOMERIDARUM

RELIQUIÆ:

BATRACHOMYOMACHIA,

HYMNI SIVE PROŒMIA,

EPIGRAMMATA

CETERAQUE FRAGMENTA,

HOMERICO NOMINI OLIM ADSCRIPTA.

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΟΜΗΡΙΚΗ.

SUMMARIUM.

Quum mus insequentem mustelam effugisset, et ad paludem sitis levandæ causa cucurrisset, colloquio orto inter eum et ranam de utriusque vitæ genere, mus invitatus a rana conscendit ejus tergum, ut per undam vectus cognosceret bona ranarum (1—82). Natantibus quum hydrus apparuisset, rana præ terrore oblita hospitis, defertur in profundum, atque ita mus in aqua perit (83—98). Ejus casus spectator mus alius rem defert ad mures, qui incitati a patre suffocati muris bellum adversus ranas parant: ita heroës ranarum, primum rumore deinde denuntiatione belli provocati, pariter se ad prœlium comparant (99—167). Consultatur gravis res in conventu deorum cœlestium, unde signo pugnæ dato, acriter concurrunt exercitus (168—204). Postquam multi utrimque cecidissent, victoria tandem ad mures inclinat (205—270). Qui quum ad internecionem ranarum pugnarent, Jupiter primum fulmine eos deterrere tentat: quod quum mures non coerceret, misit cancros, a quibus mures mutilati fugiunt et pugnandi finem faciunt (271—305).

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

ἈΡΧΟΜΕΝΟΣ πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος·
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι,
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
Γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων·
ὡς λόγος ἐν θνητοῖσιν ἔην· τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος, γαλέης κίνδυνον ἀλύξας,
πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον,
ὕδατι τερπόμενος μελιηδεῖ· τὸν δὲ κατεῖδεν
λιμνοχαρὴς πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δὲ σ' ὁ φύσας;
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω,
δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι, βατράχων ἡγούμενος ἤματα πάντα·
καί με πατὴρ Πηλεύς ποτε γείνατο, Ὑδρομεδούσῃ
μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο.
καὶ σὲ δ' ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων,
σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισι μαχητὴν
ἔμμεναι· ἀλλ' ἄγε, θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.
Τὸν δ' αὖ Ψιχάρπαξ ἀπαμείβετο, φώνησέν τε·
τίπτε γένος τοὐμὸν ζητεῖς, φίλε; δῆλον ἅπασιν
ἀνθρώποις τε θεοῖς τε καὶ οὐρανίοις πετεηνοῖς.
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι· εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος· ἡ δέ νυ μήτηρ

Λειχομύλη, θυγάτηρ Πτερνοτρώκτου βασιλῆος.
γείνατο δ' ἐν καλύβῃ με, καὶ ἐξεθρέψατο βρωτοῖς,
σύκοις καὶ καρύοις καὶ ἐδέσμασι παντοδαποῖσιν.
πῶς δὲ φίλον ποιῇ με, τὸν ἐς φύσιν οὐδὲν ὁμοῖον;
σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν· αὐτὰρ ἔμοιγε,
ὅσσα παρ' ἀνθρώποις, τρώγειν ἔθος· οὐδέ με λήθει
ἄρτος τρισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο,
οὐδὲ πλακοῦς τανύπεπλος, ἔχων πολὺ σησαμότυρον,
οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,
οὐ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν,
οὐδ' ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.

οὐδέ ποτε πτολέμοιο κακὴν ἀπέφευγον ἀϋτὴν,
ἀλλ' ἰθὺς μετὰ μῶλον ἰὼν, προμάχοισιν ἐμίχθην.

οὐ δέδι' ἄνθρωπον, καίπερ μέγα σῶμα φοροῦντα·
ἀλλ' ἐπὶ λέκτρον ἰὼν καταδάκνω δάκτυλον ἄκρον,
καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἄνδρα ἵκανεν,
νήδυμος οὐκ ἀπέφευγεν ὕπνος, δάκνοντος ἐμεῖο.
ἀλλὰ δύω πάντων περιδείδια πᾶσαν ἐπ' αἶαν,
κίρκον καὶ γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος·
πλεῖστον δὴ γαλέην περιδείδια, ἥτις ἀρίστη,
ἣ καὶ τρωγλοδύοντα κατὰ τρώγλην ἐρεείνει.

οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύντας·
οὐδὲ πράσοις χλοεροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις·
ταῦτα γὰρ ὑμέτερ' ἐστὶν ἐδέσματα τῶν κατὰ λίμνην.
Πρὸς τάδε μειδήσας Φυσίγναθος ἀντίον ηὔδα·
ξεῖνε, λίην αὐχεῖς ἐπὶ γαστέρι· ἔστι καὶ ἡμῖν
πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονὶ θαύματ' ἰδέσθαι.
ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι Κρονίων,
σκιρτῆσαι κατὰ γῆν, καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.
[στοιχείοις διττοῖς μεμερισμένα δώματα ναίειν.]

εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.
βαῖνέ μοι ἐν νώτοισι, κράτει δέ με, μήποτ' ὄληαι,
ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου· ὁ δ' ἔβαινε τάχιστα,
χεῖρας ἔχων τρυφεροῖο κατ' αὐχένος, ἅλματι κούφῳ.
καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
νήξει τερπόμενος Φυσιγνάθου· ἀλλ' ὅτε δή ῥα
κύμασι πορφυρέοις ἐπεκλύζετο, πολλὰ δακρύων,
ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας,
καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος· ἐν δέ οἱ ἦτορ
πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλεθ' ἱκέσθαι·
δεινὰ δ' ἐπεστενάχιζε, φόβου κρυόεντος ἀνάγκῃ.

οὐρὴν πρῶθ' ἥπλωσεν ἐφ' ὕδασιν, ἠΰτε κώπην
σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι,
κύμασι πορφυρέοισιν ἐκλύζετο· πολλὰ δ' ἐβώστρει,
καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευσεν·
Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην·
ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον
βάτραχος, ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ.

ὕδρος δ' ἐξαπίνης ἀνεφαίνετο—δεινὸν ὅραμα
ἀμφοτέροις—ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.
τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔτι νοήσας,
οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμενον καταλείπειν·
δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
κεῖνος δ', ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ,
χεῖρας δ' ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζεν.
πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
λακτίζων ἀνέδυνε· μόρον δ' οὐκ ἦν ὑπαλύξαι.
δευόμεναι δὲ τρίχες πλεῖστον βάρος ἕλκον ἐπ' αὐτῷ·
ὕστατα δ' ὀλλύμενος τοίους ἐφθέγξατο μύθους·
Οὐ λήσεις δολίως, Φυσίγναθε, ταῦτα ποιήσας,
ναυηγὸν ῥίψας ἀπὸ σώματος, ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα, κάκιστε,

παγκρατίῳ τε πάλῃ τε καὶ ἐς δρόμον· ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ' ἔῤῥιψας. ἔχει θεὸς ἔκδικον ὄμμα·
ποινὴν αὖ τίσεις σὺ μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις.
　Ταῦτ' εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι· τὸν δὲ κατεῖδεν
Λειχοπίναξ, ὄχθῃσιν ἐφεζόμενος μαλακῇσιν·
δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
　Ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν, ὑπ' ὄρθρον
κηρύσσειν ἀγορήνδ' ἐς δώματα Τρωξάρταο,
πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην
ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθας
ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
Τρωξάρτης, ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον·
　Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
ἐκ βατράχων, ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δὲ νῦν ἐλεεινὸς, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
ἐχθίστη γαλέη, τρώγλης ἔκτοσθεν ἑλοῦσα.
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν
καινοτέραις τέχναις, ξύλινον δόλον ἐξευρόντες,
ἣν παγίδα καλέουσι, μυῶν ὀλέτειραν ἐοῦσαν.
ὁ τρίτος ἦν, ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ,
τοῦτον ἀπέπνιξεν Φυσίγναθος, ἐς βυθὸν ἄξας.
ἀλλ' ἄγεθ', ὁπλισόμεσθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς,
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισιν.
　Ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
[καὶ τοὺς μέν ῥ' ἐκόρυσσεν Ἄρης, πολέμοιο μεμηλώς·]
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκαν,
ῥήξαντες κυάμους χλοεροὺς, εὖ τ' ἀσκήσαντες,
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν,
οὓς, γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δέ νυ λόγχη
εὐμήκης βελόνη, παγχάλκεον ἔργον Ἄρηος·
ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοις καρύοιο.

Οὕτω μὲν μύες ἔσταν ἐν ὅπλοις. ὡς δ' ἐνόησαν
βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, ἐς δ' ἕνα χῶρον
ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο.
σκεπτομένων δ' αὐτῶν, πόθεν ἡ στάσις ἢ τίς ὁ θρύλλος,
κῆρυξ ἐγγύθεν ἦλθε, φέρων σκῆπτρον μετὰ χερσὶν,
Τυρογλύφου υἱὸς μεγαλήτορος, Ἐμβασίχυτρος,
ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον·
Ὦ βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν,
εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πτόλεμόν τε μάχην τε.
εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὅνπερ ἔπεφνεν
ὑμέτερος βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε,
οἵτινες ἐν βατράχοισιν ἀριστῆες γεγάατε.
Ὣς εἰπὼν ἀπέφηνε· λόγος δ' εἰς οὔατα πάντων
εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων.
μεμφομένων δ' αὐτῶν, Φυσίγναθος εἶπεν ἀναστάς·
Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ μῦν, οὐδὲ κατεῖδον
ὀλλύμενον· πάντως δ' ἐπνίγη παίζων παρὰ λίμνην,
νήξεις τὰς βατράχων μιμούμενος· οἱ δὲ κάκιστοι
νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον· ἀλλ' ἄγε, βουλὴν
ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.
τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
σώματα κοσμήσαντες ἐν ὅπλοις στῶμεν ἅπαντες
ἄκροις πὰρ χείλεσσιν, ὅπου κατάκρημνος ὁ χῶρος·
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσιν,
δραξάμενοι κορύθων, ὅστις σχεδὸν ἀντίος ἔλθοι,
ἐς λίμνην αὐτοὺς σὺν ἐκείναις εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,
στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὣς ἄρα φωνήσας ὅπλοις ἐνέδυσεν ἅπαντας.
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν,
θώρηκας δ' εἶχον χλοερῶν πλατέων ἀπὸ σεύτλων,
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν,
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
καὶ κέρα κοχλιῶν λεπτῶν ἐκάλυπτε κάρηνα.
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθης ὑψηλῇσιν,
σείοντες λόγχας, θυμοῦ δ' ἔμπλητο ἕκαστος.

Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
καὶ πολέμου πληθὺν δείξας, κρατερούς τε μαχητὰς,
πολλοὺς καὶ μεγάλους ἠδ' ἔγχεα μακρὰ φέροντας,
οἷος Κενταύρων στρατὸς ἔρχεται ἠὲ Γιγάντων,
ἡδὺ γελῶν ἐρέεινε, τίνες βατράχοισιν ἀρωγοὶ
ἢ μυσὶ τειρομένοις· καὶ Ἀθηναίην προσέειπεν·
Ὦ θύγατερ, μυσὶν ἦ ῥ' ἐπαλεξήσουσα πορεύσῃ;
καὶ γάρ σου κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
κνίσσῃ τερπόμενοι καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ' ἔφη Κρονίδης· τὸν δὲ προσέειπεν Ἀθήνη·
ὦ πάτερ, οὐκ ἄν πώ ποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐρχοίμην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν,
στέμματα βλάπτοντες καὶ λύχνους εἵνεκ' ἐλαίου.
τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷά μ' ἔρεξαν.
πέπλον μου κατέτρωξαν, ὃν ἐξύφηνα καμοῦσα
ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα,
τρώγλας τ' ἐμποίησαν· ὁ δ' ἠπητής μοι ἐπέστη,
καὶ πολύ με πράσσει· τούτου χάριν ἐξώργισμαι.
[καὶ πράσσει με τόκον· τὸ δὲ ῥίγιον ἀθανάτοισιν.]
χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.
ἀλλ' οὐδ' ὣς βατράχοισιν ἀρηγέμεν οὐκ ἐθελήσω.
εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι· ἀλλά με πρώην
ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,
ὕπνου δευομένην, οὐκ εἴασαν θορυβοῦντες
οὐδ' ὀλίγον καμμῦσαι· ἐγὼ δ' ἄϋπνος κατεκείμην,
τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
ἀλλ' ἄγε, παυσώμεσθα, θεοὶ, τούτοισιν ἀρήγειν,
μή κέ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι,
μήτις καὶ λογχῆφι τυπῇ δέμας ἠὲ μαχαίρῃ·
εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίος ἔλθοι·
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ' ἔφη· τῇ δ' αὖτ' ἐπεπείθοντο θεοὶ ἄλλοι
πάντες, ὁμῶς δ' εἰσῆλθον ἀολλέες εἰς ἕνα χῶρον.
[κὰδ δ' ἦλθον κήρυκε, τέρας πολέμοιο φέροντε·]
καὶ τότε κώνωπες, μεγάλας σάλπιγγας ἔχοντες,
δεινὸν ἐσάλπιζον πολέμου κτύπον· οὐρανόθεν δὲ

Ζεὺς Κρονίδης βρόντησε, τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' Ὑψιβόας Λειχήνορα οὔτασε δουρὶ,
ἑσταότ' ἐν προμάχοις, κατὰ γαστέρα ἐς μέσον ἧπαρ·
κὰδ δ' ἔπεσε πρηνὴς, ἁπαλὰς δ' ἐκόνισσεν ἐθείρας.
[δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.]
Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλείωνα,
πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ· τὸν δὲ πεσόντα
εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
Σευτλαῖος δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον·
[Ὠκιμίδην δ' ἄχος εἷλε, καὶ ἤλασεν ὀξέϊ σχοίνῳ·]
Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν·
ἤριπε δὲ πρηνὴς, ψυχὴ δὲ μελέων ἐξέπτη.
Λιμνόχαρις δ', ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,
Τρωγλοδύτην πέτρῳ μυλοειδέϊ τρῶσεν ἐπιφθὰς
αὐχένα πὰρ μέσσον· τὸν δὲ σκότος ὄσσε κάλυψεν.

Λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, καθ' ἧπαρ. ὡς δ' ἐνόησεν
Κραμβοφάγος, ὄχθῃσι βαθείης ἔμπεσε φεύγων·
ἀλλ' οὐδ' ὡς ἀπέληγε μάχης, ἀλλ' ἤλασεν αὐτόν·
κάππεσε δ', οὐδ' ἀνένευσεν· ἐβάπτετο δ' αἵματι λίμνη
πορφυρέῳ, αὐτὸς δὲ παρ' ἠϊόν' ἐξετανύσθη,
χορδῇσιν λιπαρῇσί τ' ἐπορνύμενος λαγόνεσσιν.

Τυροφάγον αὐτῇσιν ἐπ' ὄχθης ἐξενάριξεν.
Πτερνογλύφον δ' ἐσιδὼν Καλαμίνθιος ἐς φόβον ἦλθεν,
ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
Φιλτραῖον δ' ἄρ' ἔπεφνεν ἀμύμων Βορβοροκοίτης,
[Ὑδρόχαρις δέ τ' ἔπεφνε Πτερνοφάγον βασιλῆα,]
χερμαδίῳ πλήξας κατὰ βρέγματος· ἐγκέφαλος δὲ
ἐκ ῥινῶν ἔσταζε, παλάσσετο δ' αἵματι γαῖα.
Λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα Βορβοροκοίτην,
ἔγχει ἐπαΐξας· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Πρασσοφάγος δ' ἐσιδὼν ποδὸς εἵλκυσε Κνισσοδιώκτην,
ἐν λίμνῃ δ' ἀπέπνιξε, κρατήσας χειρὶ τένοντα.
Ψιχάρπαξ δ' ἤμυν' ἑτάρων πέρι τεθνηώτων,

καὶ βάλε Πρασσοφάγον, μήπω γαίης ἐπιβάντα·
πίπτε δὲ οἱ πρόσθεν, ψυχὴ δ' Ἄϊδόσδε βεβήκει.
Πηλοβάτης δ' ἐσιδὼν πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτὸν,
καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
θυμώθη δ' ἄρα κεῖνος, ἑλὼν δέ τε χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ λίθον ὄβριμον, ἄχθος ἀρούρης,
τῷ βάλε Πηλοβάτην ὑπὸ γούνατα· πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερὴ, πέσε δ' ὕπτιος ἐν κονίῃσιν.
Κραυγασίδης δ' ἤμυνε, καὶ αὖτις βαῖνεν ἐπ' αὐτὸν,
τύψε δέ μιν μέσσην κατὰ γαστέρα· πᾶς δέ οἱ εἴσω
ὀξύσχοινος ἔδυνε, χαμαὶ δ' ἔκχυντο ἅπαντα
ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
Σιτοφάγος δ', ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο,
σκάζων ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς·
ἥλατο δ' ἐς τάφρον, ὅπως φύγοι αἰπὺν ὄλεθρον.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς ποδὸς ἄκρον.
[ὦκα δὲ τειρόμενος ἐς λίμνην ἥλατο φεύγων.]
Πρασσαῖος δ', ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
ἦλθε διὰ προμάχων, καὶ ἀκόντισεν ὀξεῖ σχοίνῳ·
οὐδ' ἔρρηξε σάκος, σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.

τοῦ δ' ἔβαλε τρυφάλειαν ἀμύμονα καὶ τετράχυτρον
δῖος Ὀριγανίων, μιμούμενος αὐτὸν Ἄρηα,
ὃς μόνος ἐν Βατράχοισιν ἀρίστευεν καθ' ὅμιλον·
ὥρμησαν δ' ἄρ' ἐπ' αὐτόν· ὁ δ', ὡς ἴδεν, οὐχ ὑπέμεινεν
ἥρωας κρατεροὺς, κατέδυ δ' ὑπὸ βένθεσι λίμνης.

Ἦν δέ τις εἰνὶ μύεσσι νέος παῖς, ἔξοχος ἄλλων,
ἀγχέμαχος, φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου,
ὄρχαμος, αὐτὸν Ἄρην φαίνων, κρατερὸς Μεριδάρπαξ.
[ὃς μόνος εἰνὶ μύεσσιν ἀριστεύεσκε μάχεσθαι.]

στῆ δὲ παρὰ λίμνην γαυρούμενος, οἶος ἀπ' ἄλλων,
στεῦτο δὲ πορθήσειν Βατράχων γένος αἰχμητάων.

καί νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.

καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων·
κινήσας δὲ κάρη, τοίην ἐφθέγξατο φωνήν·
Ὢ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι·
οὐ μικρόν μ' ἔκπληξε Μεριδάρπαξ, κατὰ λίμνην
ἐναίρειν βατράχους βλεμεαίνων· ἀλλὰ τάχιστα
Παλλάδα πέμψωμεν πολεμόκλονον, ἠὲ καὶ Ἄρην,
οἵ μιν ἀποσχήσουσι μάχης, κρατερόν περ ἐόντα.
Ὣς ἄρ' ἔφη Κρονίδης· Ἄρης δ' ἀπαμείβετο μύθῳ·
οὔτ' ἄρ' Ἀθηναίης, Κρονίδη, σθένος, οὔτε γ' Ἄρηος
ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
ἀλλ' ἄγε, πάντες ἴωμεν ἀρηγόνες· ἢ τὸ σὸν ὅπλον
[κινείσθω μέγα, Τιτανοκτόνον, ὀβριμοεργὸν,]
ᾧ Τιτᾶνας ἔπεφνες, ἀρίστους ἔξοχα πάντων,
ᾧ ποτὲ καὶ Καπανῆα κατέκτανες, ὄβριμον ἄνδρα,
Ἐγκέλαδόν τ' ἐπέδησας ἰδ' ἄγρια φῦλα Γιγάντων,
κινείσθω· οὕτω γὰρ ἁλώσεται, ὅστις ἄριστος.
Ὣς ἄρ' ἔφη· Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον,
αὐτὰρ ἔπειτα κεραυνὸν, δειμαλέον Διὸς ὅπλον,
ἧκ' ἐπιδινήσας· ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος.
πάντας μέν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μύας τε·
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον
ἵετο πορθήσειν βατράχων γένος αἰχμητάων,
εἰ μὴ ἀπ' Οὐλύμπου βατράχους ᾤκτειρε Κρονίων,
ὅς ῥα τότε βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
Ἦλθον δ' ἐξαπίνης νωτάκμονες, ἀγκυλοχῆλαι,
λοξοβάται, στρεβλοὶ, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοὶ, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικάρηνοι, ἀχειρέες—οἱ δὲ καλοῦνται
καρκίνοι—οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.
τοὺς καὶ ὑπέδδεισαν δειλοὶ μύες, οὐδ' ἔτ' ἔμειναν,
ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύσετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.

ΟΜΗΡΟΥ ΚΑΙ ΟΜΗΡΙΔΩΝ

ΥΜΝΟΙ ΗΤΟΙ ΠΡΟΟΙΜΙΑ.

A.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

ΜΝΗΣΟΜΑΙ οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο,
ὅντε θεοὶ κατὰ δῶμα Διὸς τρομέουσιν ἰόντα·
καί ῥά τ' ἀναΐσσουσιν, ἐπισχεδὸν ἐρχομένοιο,
πάντες ἀφ' ἑδράων, ὅτε φαίδιμα τόξα τιταίνει.
Λητὼ δ' οἴη μίμνε παραὶ Διῒ τερπικεραύνῳ,
ἥ ῥα βιόν τ' ἐχάλασσε καὶ ἐκλήϊσσε φαρέτρην·
καί οἱ ἀπ' ἰφθίμων ὤμων χείρεσσιν ἑλοῦσα
τόξον, ἀνεκρέμασε πρὸς κίονα πατρὸς ἑοῖο
πασσάλου ἐκ χρυσέου· τὸν δ' ἐς θρόνον εἷσεν ἄγουσα.
τῷ δ' ἄρα νέκταρ ἔδωκε πατὴρ, δέπαϊ χρυσείῳ
δεικνύμενος φίλον υἱόν· ἔπειτα δὲ δαίμονες ἄλλοι
ἔνθα καθίζουσιν· χαίρει δέ τε πότνια Λητὼ,
οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.

Χαῖρε, μάκαιρ' ὦ Λητοῖ, ἐπεὶ τέκες ἀγλαὰ τέκνα,
Ἀπόλλωνά τ' ἄνακτα καὶ Ἄρτεμιν ἰοχέαιραν,
[τὴν μὲν ἐν Ὀρτυγίῃ, τὸν δὲ κραναῇ ἐνὶ Δήλῳ,]
κεκλιμένη πρὸς μακρὸν ὄρος καὶ Κύνθιον ὄχθον,
ἀγχοτάτω φοίνικος, ἐπ' Ἰνώποιο ῥεέθροις.

Πῶς τ' ἄρ σ' ὑμνήσω, πάντως εὔυμνον ἐόντα;
πάντη γάρ τοι, Φοῖβε, νόμοι βεβλήαται ᾠδῆς,
ἠμὲν ἀν' ἤπειρον πορτιτρόφον, ἠδ' ἀνὰ νήσους.

πᾶσαι δὲ σκοπιαί τοι ἅδον καὶ πρώονες ἄκροι

ὑψηλῶν ὀρέων, ποταμοί θ' ἅλαδε προρέοντες,
ἀκταί τ' εἰς ἅλα κεκλιμέναι, λιμένες τε θαλάσσης.

ἦ ὥς σε πρῶτον Λητὼ τέκε, χάρμα βροτοῖσιν,
κλινθεῖσα πρὸς Κύνθου ὄρος κραναῇ ἐνὶ νήσῳ,
Δήλῳ ἐν ἀμφιρύτῃ; ἑκάτερθε δὲ κῦμα κελαινὸν
ἐξῄει χέρσονδε λιγυπνοίοις ἀνέμοισιν.
ἔνθεν ἀπορνύμενος, πᾶσι θνητοῖσιν ἀνάσσεις

ὅσσους Κρήτη ἐντὸς ἔχει καὶ δῆμος Ἀθηνῶν,
νῆσός τ' Αἰγίνη, ναυσικλείτη τ' Εὔβοια,
Αἰγαί τ', Εἰρεσίαι τε καὶ ἀγχιάλη Πεπάρηθος,
Θρηΐκιός τ' Ἀθόως καὶ Πηλίου ἄκρα κάρηνα,
Θρηϊκίη τε Σάμος, Ἴδης τ' ὄρεα σκιόεντα,
Σκῦρος καὶ Φώκαια καὶ Αὐτοκάνης ὄρος αἰπὺ,
Ἴμβρος τ' εὐκτιμένη καὶ Λῆμνος ἀμιχθαλόεσσα,
Λέσβος τ' ἠγαθέη, Μάκαρος ἕδος Αἰολίωνος,
καὶ Χίος, ἣ νήσων λιπαρωτάτη εἰν ἁλὶ κεῖται,
παιπαλόεις τε Μίμας καὶ Κωρύκου ἄκρα κάρηνα,
καὶ Κλάρος αἰγλήεσσα καὶ Αἰσαγέης ὄρος αἰπὺ,
καὶ Σάμος ὑδρηλὴ, Μυκάλης τ' αἰπεινὰ κάρηνα,
Μίλητός τε, Κόως τε, πόλις Μερόπων ἀνθρώπων,
καὶ Κνίδος αἰπεινὴ καὶ Κάρπαθος ἠνεμόεσσα,
Νάξος τ' ἠδὲ Πάρος, Ῥηναιά τε πετρήεσσα·
τόσσον ἐπ' ὠδίνουσα Ἑκηβόλον ἵκετο Λητὼ,
εἴ τίς οἱ γαιέων υἱεῖ θέλοι οἰκία θέσθαι.
αἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη
Φοῖβον δέξασθαι, καὶ πιοτέρη περ ἐοῦσα·
πρίν γ' ὅτε δή ῥ' ἐπὶ Δήλου ἐβήσατο πότνια Λητὼ,
καί μιν ἀνειρομένη ἔπεα πτερόεντα προσηύδα·
Δῆλ', ἦ ἄρ κ' ἐθέλοις ἕδος ἔμμεναι υἷος ἐμοῖο,
Φοίβου Ἀπόλλωνος, θέσθαι τ' ἐνὶ πίονα νηόν;
ἄλλος δ' οὔτις σεῖό ποθ' ἅψεται, οὐδέ σε τίσει,
οὐδ' εὔβουν σε ἔσεσθαι ὀΐομαι, οὔτ' εὔμηλον,
οὐδὲ τρύγην οἴσεις, οὔτ' ἂρ φυτὰ μυρία φύσεις.
αἱ δέ κ' Ἀπόλλωνος ἑκαέργου νηὸν ἔχῃσθα,

ἄνθρωποί τοι πάντες ἀγινήσουσ' ἑκατόμβας.
ἐνθάδ' ἀγειρόμενοι· κνίσση δέ τοι ἄσπετος αἰεὶ

δηρὸν, ἄναξ, εἰ βόσκοις, θεοί κέ σ' ἔχωσιν

χειρὸς ἀπ' ἀλλοτρίης· ἐπεὶ οὔ τοι πῖαρ ὑπ' οὖδας.
Ὣς φάτο· χαῖρε δὲ Δῆλος, ἀμειβομένη δὲ προσηύδα·
Λητοῖ, κυδίστη θύγατερ μεγάλοιο Κοίοιο,
ἀσπασίη κεν ἔγωγε γονὴν ἑκάτοιο ἄνακτος
δεξαίμην· αἰνῶς γὰρ ἐτήτυμόν εἰμι δυσηχὴς
ἀνδράσιν· ὧδε δέ κεν περιτιμήεσσα γενοίμην.
ἀλλὰ τόδε τρομέω, Λητοῖ, ἔπος, οὐδέ σε κεύσω·
λίην γάρ τινά φασιν ἀτάσθαλον Ἀπόλλωνα
ἔσσεσθαι, μέγα δὲ πρυτανευσέμεν ἀθανάτοισι
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
τῷ ῥ' αἰνῶς δείδοικα κατὰ φρένα καὶ κατὰ θυμὸν,
μὴ, ὁπότ' ἂν τὸ πρῶτον ἴδῃ φάος ἠελίοιο,
νῆσον ἀτιμήσας, ἐπειὴ κραναήπεδός εἰμι,
ποσσὶ καταστρέψας ὤσῃ ἁλὸς ἐν πελάγεσσιν.
ἔνθ' ἐμὲ μὲν μέγα κῦμα κατὰ κρατὸς ἅλις αἰεὶ
κλύσσει· ὁ δ' ἄλλην γαῖαν ἀφίξεται, ἥ κεν ἅδῃ οἱ,
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα·
πουλύποδες δ' ἐν ἐμοὶ θαλάμας, φῶκαί τε μέλαιναι
οἰκία ποιήσονται ἀκηδέα, χήτεϊ λαῶν.
ἀλλ' εἴ μοι τλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
ἐνθάδε μιν πρῶτον τεύξειν περικαλλέα νηὸν,
ἔμμεναι ἀνθρώπων χρηστήριον, αὐτὰρ ἔπειτα

πάντας ἐπ' ἀνθρώπους· ἐπειὴ πολυώνυμος ἔστιν.
Ὣς ἄρ' ἔφη· Λητὼ δὲ θεῶν μέγαν ὅρκον ὄμοσσεν·
ἴστω νῦν τάδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν·
ἦ μὴν Φοίβου τῆδε θυώδης ἔσσεται αἰεὶ
βωμὸς καὶ τέμενος, τίσει δέ σέγ' ἔξοχα πάντων.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,

Δῆλος μὲν μάλα χαῖρε γόνῳ ἑκάτοιο ἄνακτος·
Λητὼ δ᾽ ἐννῆμάρ τε καὶ ἐννέα νύκτας ἀέλπτοις
ὠδίνεσσι πέπαρτο. θεαὶ δ᾽ ἔσαν ἔνδοθι πᾶσαι,
ὅσσαι ἄρισται ἔσαν, Διώνη τε, Ῥείη τε,
Ἰχναίη τε Θέμις καὶ ἀγάστονος Ἀμφιτρίτη,
ἄλλαι τ᾽ ἀθάναται, νόσφιν λευκωλένου Ἥρης.
[ἧστο γὰρ ἐν μεγάροισι Διὸς νεφεληγερέταο.]
μούνη δ᾽ οὐκ ἐπέπυστο μογοστόκος Εἰλείθυια·
ἧστο γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν,
Ἥρης φραδμοσύνῃ λευκωλένου, ἥ μιν ἔρυκεν
ζηλοσύνῃ, ὅτ᾽ ἄρ᾽ υἱὸν ἀμύμονά τε κρατερόν τε
Λητὼ τέξεσθαι καλλιπλόκαμος τότ᾽ ἔμελλεν.
Αἱ δ᾽ Ἶριν προὔπεμψαν ἐϋκτιμένης ἀπὸ νήσου,
ἀξέμεν Εἰλείθυιαν, ὑποσχόμεναι μέγαν ὅρμον,
χρυσείοισι λίνοισιν ἐερμένον, ἐννεάπηχυν·
νόσφιν δ᾽ ἤνωγον καλέειν λευκωλένου Ἥρης,
μή μιν ἔπειτ᾽ ἐπέεσσιν ἀποστρέψειεν ἰοῦσαν.
αὐτὰρ ἐπεὶ τόγ᾽ ἄκουσε ποδήνεμος ὠκέα Ἶρις,
βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ.
αὐτὰρ ἐπεί ῥ᾽ ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
αὐτίκ᾽ ἄρ᾽ Εἰλείθυιαν ἀπ᾽ ἐκ μεγάροιο θύραζε
ἐκπροκαλεσσαμένη, ἔπεα πτερόεντα προσηύδα,
πάντα μάλ᾽, ὡς ἐπέτελλον Ὀλύμπια δώματ᾽ ἔχουσαι.
τῇ δ᾽ ἄρα θυμὸν ἔπειθεν ἐνὶ στήθεσσι φίλοισιν·
βὰν δὲ ποσὶ, τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι.
εὖτ᾽ ἐπὶ Δήλου ἔβαινε μογοστόκος Εἰλείθυια,
τὴν τότε δὴ τόκος εἷλε, μενοίνησεν δὲ τεκέσθαι.
ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ᾽ ἔρεισεν
λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ᾽ ὑπένερθεν·
ἐκ δ᾽ ἔθορε πρὸ φόωσδε· θεαὶ δ᾽ ὀλόλυξαν ἅπασαι.
Ἔνθα σε, ἤϊε Φοῖβε, θεαὶ λόον ὕδατι καλῷ,
ἁγνῶς καὶ καθαρῶς· σπάρξαν δ᾽ ἐν φάρεϊ λευκῷ,
λεπτῷ, νηγατέῳ· πέρι δὲ χρύσεον στρόφον ἧκαν.
οὐδ᾽ ἄρ᾽ Ἀπόλλωνα χρυσάορα θήσατο μήτηρ,
ἀλλὰ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
ἀθανάτῃσιν χερσὶν ἐπήρξατο· χαῖρε δὲ Λητὼ,

οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.
Αὐτὰρ ἐπειδὴ, Φοῖβε, κατέβρως ἄμβροτον εἶδαρ,
οὐ σέγ᾽ ἔπειτ᾽ ἴσχον χρύσεοι στρόφοι ἀσπαίροντα,
οὐδ᾽ ἔτι δεσμά σ᾽ ἔρυκε, λύοντο δὲ πείρατα πάντα.
αὐτίκα δ᾽ ἀθανάτῃσι μετηύδα Φοῖβος Ἀπόλλων·
Εἴη μοι κίθαρίς τε φίλη καὶ καμπύλα τόξα,
χρήσω δ᾽ ἀνθρώποισι Διὸς νημερτέα βουλήν.
Ὣς εἰπὼν, ἐβίβασκεν ἐπὶ χθονὸς εὐρυοδείης
Φοῖβος ἀκερσεκόμης, ἑκατηβόλος· αἱ δ᾽ ἄρα πᾶσαι
θάμβεον ἀθάναται· χρυσῷ δ᾽ ἄρα Δῆλος ἅπασα

βεβρίθει, καθορῶσα Διὸς Λητοῦς τε γενέθλην·
γηθοσύνῃ, ὅτι μιν θεὸς εἵλετο οἰκία θέσθαι
νήσων ἠπείρου τε, φίλησε δὲ κηρόθι μᾶλλον

ἤνθησ᾽, ὡς ὅτε τε ῥίον οὔρεος ἄνθεσιν ὕλης.
Αὐτὸς δ᾽, ἀργυρότοξε, ἄναξ, ἑκατηβόλ᾽ Ἄπολλον,
ἄλλοτε μέν τ᾽ ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,
ἄλλοτε δ᾽ αὖ νήσους τε καὶ ἀνέρας ἠλάσκαζες

πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα·
πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι
ὑψηλῶν ὀρέων, ποταμοί θ᾽ ἅλαδε προρέοντες.

ἀλλὰ σὺ Δήλῳ, Φοῖβε, μάλιστ᾽ ἐπιτέρπεαι ἦτορ·
ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται,
σὺν σφοῖσιν τεκέεσσι καὶ αἰδοίῃς ἀλόχοισιν·
οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ
μνησάμενοι τέρπουσιν, ὅτ᾽ ἂν στήσωνται ἀγῶνα.
φαίη κ᾽ ἀθανάτους καὶ ἀγήρως ἔμμεναι αἰεὶ,
ὃς τότ᾽ ἐπαντιάσει᾽, ὅτ᾽ Ἰάονες ἀθρόοι εἶεν·
πάντων γάρ κεν ἴδοιτο χάριν, τέρψαιτο δὲ θυμὸν,
ἄνδρας τ᾽ εἰσορόων, καλλιζώνους τε γυναῖκας,
νῆάς τ᾽ ὠκείας ἠδ᾽ αὐτῶν κτήματα πολλά.
πρὸς δὲ, τόδε μέγα θαῦμα, ὅου κλέος οὔποτ᾽ ὀλεῖται,
κοῦραι Δηλιάδες, Ἑκατηβελέταο θεράπναι·

αἵτ' ἐπεὶ ἂρ πρῶτον μὲν Ἀπόλλων' ὑμνήσωσιν,
αὖτις δ' αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν
μνησάμεναι, ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν
ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.
πάντων δ' ἀνθρώπων φωνὰς καὶ κρεμβαλιαστὺν
μιμεῖσθ' ἴσασιν· φαίη δέ κεν αὐτὸς ἕκαστος
φθέγγεσθ'· οὕτω σφιν καλὴ συνάρηρεν ἀοιδή.

Ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν,
χαίρετε δ' ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθεν
μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών·
ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως·
τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ·
τοῦ πᾶσαι μετόπισθεν ἀριστεύουσιν ἀοιδαί.
ἡμεῖς δ' ὑμέτερον κλέος οἴσομεν, ὅσσον ἐπ' αἶαν
ἀνθρώπων στρεφόμεσθα πόλεις εὖ ναιεταώσας·
οἱ δ' ἐπὶ δὴ πείσονται, ἐπεὶ καὶ ἐτήτυμόν ἐστιν.

Αὐτὰρ ἐγὼν οὐ λήξω ἑκηβόλον Ἀπόλλωνα
ὑμνέων ἀργυρότοξον, ὃν ἠΰκομος τέκε Λητώ.

Ὦ ἄνα, καὶ Λυκίην καὶ Μῃονίην ἐρατεινὴν
καὶ Μίλητον ἔχεις, ἔναλον πόλιν ἱμερόεσσαν·
αὐτὸς δ' αὖ Δήλοιο περικλύστης μέγ' ἀνάσσεις.

Εἶσι δὲ φορμίζων Λητοῦς ἐρικυδέος υἱὸς
φόρμιγγι γλαφυρῇ πρὸς Πυθὼ πετρήεσσαν
ἄμβροτα εἵματ' ἔχων, τεθυωμένα· τοῖο δὲ φόρμιγξ
χρυσέου ὑπὸ πλήκτρου καναχὴν ἔχει ἱμερόεσσαν.
ἔνθεν δὲ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς, ὥστε νόημα,
εἶσι Διὸς πρὸς δῶμα, θεῶν μεθ' ὁμήγυριν ἄλλων·
αὐτίκα δ' ἀθανάτοισι μέλει κίθαρις καὶ ἀοιδή.
Μοῦσαι μέν θ' ἅμα πᾶσαι, ἀμειβόμεναι ὀπὶ καλῇ,

ὑμνεῦσίν ῥα θεῶν δῶρ' ἄμβροτα, ἠδ' ἀνθρώπων
τλημοσύνας, ὅσ' ἔχοντες ὑπ' ἀθανάτοισι θεοῖσιν
ζώουσ' ἀφραδέες καὶ ἀμήχανοι, οὐδὲ δύνανται
εὑρέμεναι θανάτοιό τ' ἄκος καὶ γήραος ἄλκαρ.
αὐτὰρ ἐϋπλόκαμοι Χάριτες καὶ ἐΰφρονες Ὧραι,
Ἁρμονίη θ', Ἥβη τε, Διὸς θυγάτηρ τ' Ἀφροδίτη,
ὀρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι·
τῇσι μὲν οὔτ' αἰσχρὴ μεταμέλπεται, οὔτ' ἐλάχεια,
ἀλλὰ μάλα μεγάλη τε ἰδεῖν καὶ εἶδος ἀγητὴ,
Ἄρτεμις ἰοχέαιρα, ὁμότροφος Ἀπόλλωνι.
ἐν δ' αὖ τῇσιν Ἄρης καὶ ἐΰσκοπος Ἀργειφόντης
παίζουσ'· αὐτὰρ ὁ Φοῖβος Ἀπόλλων ἐγκιθαρίζει,
καλὰ καὶ ὕψι βιβάς· αἴγλη δέ μιν ἀμφιφαείνει,
μαρμαρυγαί τε ποδῶν καὶ ἐϋκλώστοιο χιτῶνος.
οἱ δ' ἐπιτέρπονται θυμὸν μέγαν, εἰσορόωντες,
Λητώ τε χρυσοπλόκαμος καὶ μητίετα Ζεὺς,
υἷα φίλον παίζοντα μετ' ἀθανάτοισι θεοῖσιν.

Πῶς τ' ἄρ σ' ὑμνήσω, πάντως εὔυμνον ἐόντα;
ἠέ σ' ἐνὶ μνηστῆρσιν ἀείδω καὶ φιλότητι,
ὅππως μνωόμενος ἔκιες Ἀζανίδα κούρην,
Ἴσχυ' ἅμ' ἀντιθέῳ, Ἐλατιονίδῃ εὐίππῳ;
ἢ ἅμα Φόρβαντι, Τριόπου γένει, ἢ ἅμ' Ἐρεχθεῖ,
ἢ ἅμα Λευκίππῳ καὶ Λευκίπποιο δάμαρτι

πεζὸς, ὁ δ' ἵπποισιν· οὐ μὴν Τρίοπός γ' ἐνέλειπεν

ἢ ὡς τὸ πρῶτον χρηστήριον ἀνθρώποισιν
ζητεύων κατὰ γαῖαν ἔβης, ἑκατηβόλ' Ἄπολλον;
Πιερίην μὲν πρῶτον ἀπ' Οὐλύμποιο κατῆλθες·
Λέκτον τ' Ἠμαθίην τε παρέστιχες, ἠδ' Ἐνιῆνας,
καὶ διὰ Περραιβούς· τάχα δ' εἰς Ἰαωλκὸν ἵκανες,
Κηναίου τ' ἐπέβης ναυσικλειτῆς Εὐβοίης.
στῆς δ' ἐπὶ Ληλάντῳ πεδίῳ· τό τοι οὐχ ἅδε θυμῷ
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα.
ἔνθεν δ' Εὔριπον διαβὰς, ἑκατηβόλ' Ἄπολλον,

βῆς ἀν' ὄρος ζάθεον, χλωρόν· τάχα δ' ἷξες ἀπ' αὐτοῦ,
ἐς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην·
Θήβης δ' εἰσαφίκανες ἕδος καταειμένον ὕλῃ·
οὐ γάρ πώ τις ἔναιε βροτῶν ἱερῇ ἐνὶ Θήβῃ,
οὐδ' ἄρα πω τότε γ' ἦσαν ἀταρπιτοὶ οὐδὲ κέλευθοι
Θήβης ἂμ πεδίον πυρηφόρον, ἀλλ' ἔχεν ὕλη.
Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
Ὀγχηστὸν δ' ἷξες, Ποσιδήϊον ἀγλαὸν ἄλσος·
ἔνθα νεοδμὴς πῶλος ἀναπνέει ἀχθόμενος κῆρ,
ἕλκων ἅρματα καλά· χαμαὶ δ' ἐλατὴρ ἀγαθός περ,
ἐκ δίφροιο θορὼν, ὁδὸν ἔρχεται· οἱ δὲ τέως μὲν
κείν' ὄχεα κροτέουσιν, ἀνακτορίην ἀφιέντες.
εἰ δέ κεν ἅρματ' ἄγωσιν ἐν ἄλσεϊ δενδρήεντι,
ἵππους μὲν κομέουσι, τὰ δὲ κλίναντες ἐῶσιν.
ὣς γὰρ τὰ πρώτισθ' ὁσίη γένεθ'· οἱ δὲ ἄνακτι
εὔχονται, δίφρον δὲ θεοῦ τότε Μοῖρα φυλάσσει.
Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
Κηφισὸν δ' ἄρ' ἔπειτα κιχήσαο καλλιρέεθρον,
ὅστε Λιλαίηθεν προχέει καλλίρροον ὕδωρ.
τὸν διαβὰς, Ἑκάεργε, καὶ Ὠκαλέην πολύπυρον,
ἔνθεν ἄρ' εἰς Ἁλίαρτον ἀφίκεο ποιήεντα.
βῆς δ' ἐπὶ Τελφούσης· τόθι τοι ἅδε χῶρος ἀπήμων
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα·
στῆς δὲ μάλ' ἄγχ' αὐτῆς, καί μιν πρὸς μῦθον ἔειπες·
Τελφοῦσ', ἐνθάδε δὴ φρονέω περικαλλέα νηὸν,
ἀνθρώπων τεῦξαι χρηστήριον, οἵτε μοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δέ τ' ἐγὼ νημερτέα βουλὴν
πᾶσι θεμιστεύοιμι, χρέων ἐνὶ πίονι νηῷ.
Ὣς εἰπὼν, διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων,
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· ἡ δ' ἐσιδοῦσα
Τελφοῦσα κραδίην ἐχολώσατο, εἶπέ τε μῦθον·
Φοῖβε ἄναξ, ἑκάεργε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
ἐνθάδ' ἐπεὶ φρονέεις τεῦξαι περικαλλέα νηὸν,

ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτε τοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας·
ἀλλ' ἔκ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
πημανέει σ' αἰεὶ κτύπος ἵππων ὠκειάων,
ἀρδόμενοί τ' οὐρῆες ἐμῶν ἱερῶν ἀπὸ πηγέων.

ἔνθα τις ἀνθρώπων βουλήσεται εἰσοράασθαι
ἅρματά τ' εὐποίητα καὶ ὠκυπόδων κτύπον ἵππων,
ἢ νηόν τε μέγαν καὶ κτήματα πόλλ' ἐνεόντα.

ἀλλ' εἰ δή τι πίθοιο—σὺ δὲ κρείσσων καὶ ἀρείων
ἐσσὶ, ἄναξ, ἐμέθεν, σεῦ δὲ σθένος ἐστὶ μέγιστον—
ἐν Κρίσῃ ποίησαι ὑπὸ πτυχὶ Παρνησοῖο.
ἔνθ' οὔθ' ἅρματα καλὰ δονήσεται, οὔτε τοι ἵππων
ὠκυπόδων κτύπος ἔσται ἐΰδμητον περὶ βωμόν.
ἀλλὰ καὶ ὣς προσάγοιεν Ἰηπαιήονι δῶρα
ἀνθρώπων κλυτὰ φῦλα· σὺ δὲ φρένας ἀμφιγεγηθὼς
δέξαι' ἱερὰ καλὰ περικτιόνων ἀνθρώπων.
Ὣς εἰποῦσ', Ἑκάτου πέπιθε φρένας, ὄφρα οἱ αὐτῇ
Τελφούσῃ κλέος εἴη ἐπὶ χθονὶ, μηδ' Ἑκάτοιο.
Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
ἷξες δ' ἐς Φλεγύων ἀνδρῶν πόλιν ὑβριστάων,
οἳ Διὸς οὐκ ἀλέγοντες ἐπὶ χθονὶ ναιετάασκον
ἐν καλῇ βήσσῃ, Κηφισίδος ἐγγύθι λίμνης.
ἔνθεν καρπαλίμως προσέβης πρὸς δειράδα θύων·
ἵκεο δ' ἐς Κρίσην ὑπὸ Παρνησὸν νιφόεντα,
κνημὸν πρὸς Ζέφυρον τετραμμένον, αὐτὰρ ὕπερθεν
πέτρη ἐπικρέμαται, κοίλη δ' ὑποδέδρομε βῆσσα,
τρηχεῖ'· ἔνθα ἄναξ τεκμήρατο Φοῖβος Ἀπόλλων
νηὸν ποιήσασθαι ἐπήρατον, εἶπέ τε μῦθον·
Ἐνθάδε δὴ φρονέω τεύξειν περικαλλέα νηὸν,
ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτε μοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δ' ἄρ' ἐγὼ νημερτέα βουλὴν

πᾶσι θεμιστεύοιμι, χρέων ἐνὶ πίονι νηῷ.
Ὣς εἰπὼν, διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων,
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· αὐτὰρ ἐπ' αὐτοῖς
λάϊνον οὐδὸν ἔθηκε Τροφώνιος ἠδ' Ἀγαμήδης,
υἱέες Ἐργίνου, φίλοι ἀθανάτοισι θεοῖσιν·
ἀμφὶ δὲ νηὸν ἔνασσαν ἀθέσφατα φῦλ' ἀνθρώπων
ξεστοῖσιν λάεσσιν, ἀοίδιμον ἔμμεναι αἰεί.
ἀγχοῦ δὲ κρήνη καλλίῤῥοος, ἔνθα δράκαιναν
κτεῖνεν ἄναξ, Διὸς υἱὸς, ἀπὸ κρατεροῖο βιοῖο,
ζατρεφέα, μεγάλην, τέρας ἄγριον, ἣ κακὰ πολλὰ
ἀνθρώπους ἔρδεσκεν ἐπὶ χθονὶ, πολλὰ μὲν αὐτοὺς,
πολλὰ δὲ μῆλα ταναύποδ'· ἐπεὶ πέλε πῆμα δαφοινόν.
καί ποτε δεξαμένη χρυσοθρόνου ἔτρεφεν Ἥρης
δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσιν,
ὅν ποτ' ἄρ' Ἥρη ἔτικτε, χολωσαμένη Διῒ πατρὶ,
εὖτ' ἄρα δὴ Κρονίδης ἐρικυδέα γείνατ' Ἀθήνην
ἐκ κορυφῆς· ἡ δ' αἶψα χολώσατο πότνια Ἥρη,
ἠδὲ καὶ ἀγρομένοισι μετ' ἀθανάτοισιν ἔειπεν·
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
ὡς ἔμ' ἀτιμάζειν ἄρχει νεφεληγερέτα Ζεὺς
πρῶτος, ἐπεί μ' ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν·
καὶ νῦν νόσφιν ἐμεῖο τέκε γλαυκῶπιν Ἀθήνην,
ἣ πᾶσιν μακάρεσσι μεταπρέπει ἀθανάτοισιν·
αὐτὰρ ὅγ' ἠπεδανὸς γέγονεν μετὰ πᾶσι θεοῖσιν
παῖς ἐμὸς, Ἥφαιστος, ῥικνὸς πόδας, ὃν τέκον αὐτὴ

ῥίψ' ἀνὰ χερσὶν ἑλοῦσα, καὶ ἔμβαλεν εὐρέϊ πόντῳ·
ἀλλά ἑ Νηρῆος θυγάτηρ, Θέτις ἀργυρόπεζα,
δέξατο, καὶ μετὰ ᾗσι κασιγνήτῃσι κόμισσεν.
ὡς ὄφελ' ἄλλο θεοῖσι χαρίζεσθαι μακάρεσσιν,
σχέτλιε, ποικιλομῆτα· τί νῦν ἔτι μήσεαι ἄλλο;
πῶς ἔτλης οἶος τεκέειν γλαυκῶπιδ' Ἀθήνην;
οὐκ ἂν ἐγὼ τεκόμην; καὶ σὴ κεκλημένη ἔμπης
ἦν ἄρ' ἐν ἀθανάτοισιν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
καὶ νῦν μέν τοι ἐγὼ τεχνήσομαι, ὥς κε γένηται
παῖς ἐμὸς, ὅς κε θεοῖσι μεταπρέποι ἀθανάτοισιν,

οὔτε σὸν αἰσχύνασ' ἱερὸν λέχος, οὔτ' ἐμὸν αὐτῆς·
οὐδέ τοι εἰς εὐνὴν πωλήσομαι, ἀλλ' ἀπὸ σεῖο
τηλόθεν οὖσα, θεοῖσι μετέσσομαι ἀθανάτοισιν.
  Ὣς εἰποῦσ', ἀπὸ νόσφι θεῶν κίε χωομένη κῆρ.
αὐτίκ' ἔπειτ' ἠρᾶτο βοῶπις πότνια Ἥρη,
χειρὶ καταπρηνεῖ δ' ἔλασε χθόνα, καὶ φάτο μῦθον·
  Κέκλυτε νῦν μοι, Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Τιτῆνές τε θεοὶ, τοὶ ὑπὸ χθονὶ ναιετάοντες
Τάρταρον ἀμφὶ μέγαν, τῶν ἐξ ἄνδρες τε θεοί τε·
αὐτοὶ νῦν μευ πάντες ἀκούσατε, καὶ δότε παῖδα
νόσφι Διὸς, μηδέν τι βίην ἐπιδευέα κείνου·
ἀλλ' ὅγε φέρτερος εἴη, ὅσον Κρόνου εὐρύοπα Ζεύς.
  Ὣς ἄρα φωνήσασ' ἵμασε χθόνα χειρὶ παχείῃ·
κινήθη δ' ἄρα γαῖα φερέσβιος· ἡ δ' ἐσιδοῦσα
τέρπετο ὃν κατὰ θυμόν· ὀΐετο γὰρ τελέεσθαι.
ἐκ τούτου δὴ ἔπειτα τελεσφόρον εἰς ἐνιαυτὸν
οὔτε ποτ' εἰς εὐνὴν Διὸς ἤλυθε μητιόεντος,
οὔτε ποτ' ἐς θῶκον πολυδαίδαλον, ὡς τὸ πάρος περ
αὐτῷ ἐφεζομένη πυκινὰς φραζέσκετο βουλάς·
ἀλλ' ἥγ' ἐν νηοῖσι πολυλλίστοισι μένουσα
τέρπετο οἷς ἱεροῖσι βοῶπις πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
ἂψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
ἡ δ' ἔτεκ' οὔτε θεοῖς ἐναλίγκιον, οὔτε βροτοῖσιν,
δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσιν.
αὐτίκα τόνδε λαβοῦσα βοῶπις πότνια Ἥρη,
δῶκεν ἔπειτα φέρουσα κακῷ κακόν· ἡ δ' ὑπέδεκτο.
ὃς κακὰ πόλλ' ἔρδεσκε κατὰ κλυτὰ φῦλ' ἀνθρώπων.
ὃς τῇγ' ἀντιάσειε, φέρεσκέ μιν αἴσιμον ἦμαρ,
πρίν γέ οἱ ἰὸν ἐφῆκεν ἄναξ ἑκάεργος Ἀπόλλων
καρτερόν· ἡ δ' ὀδύνῃσιν ἐρεχθομένη χαλεπῇσιν
κεῖτο μέγ' ἀσθμαίνουσα, κυλινδομένη κατὰ χῶρον.
θεσπεσίη δ' ἐνοπὴ γένετ' ἄσπετος· ἡ δὲ καθ' ὕλην
πυκνὰ μάλ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, λεῖπε δὲ θυμὸν,
φοινὸν ἀποπνείουσ'· ὁ δ' ἐπεύξατο Φοῖβος Ἀπόλλων·
  Ἐνταυθοῖ νῦν πύθευ ἐπὶ χθονὶ βωτιανείρῃ·

οὐδὲ σύγε ζώουσα κακὸν δήλημα βροτοῖσιν
ἔσσεαι, οἳ γαίης πολυφόρβου καρπὸν ἔδοντες
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας·
οὐδέ τί τοι θάνατόν γε δυσηλεγέ' οὔτε Τυφωεὺς
ἀρκέσει, οὔτε Χίμαιρα δυσώνυμος, ἀλλὰ σέγ' αὐτοῦ
πύσει γαῖα μέλαινα καὶ ἠλέκτωρ Ὑπερίων.
Ὣς φάτ' ἐπευχόμενος· τὴν δὲ σκότος ὄσσε κάλυψεν.

τὴν δ' αὐτοῦ κατέπυσ' ἱερὸν μένος ἠελίοιο·
ἐξ οὗ νῦν Πυθὼ κικλήσκεται· οἱ δὲ ἄνακτα
Πύθιον καλέουσιν ἐπώνυμον, οὕνεκα κεῖθι
αὐτοῦ πῦσε πέλωρ μένος ὀξέος ἠελίοιο.

καὶ τότ' ἄρ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ Φοῖβος Ἀπόλλων,
οὕνεκά μιν κρήνη καλλίῤῥοος ἐξαπάφησεν·
βῆ δ' ἐπὶ Τελφούσης κεχολωμένος, αἶψα δ' ἵκανεν·
στῆ δὲ μάλ' ἄγχ' αὐτῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Τελφοῦσ', οὐκ ἄρ' ἔμελλες ἐμὸν νόον ἐξαπάφουσα,
χῶρον ἔχουσ' ἐρατὸν, προχέειν καλλίῤῥοον ὕδωρ.
ἐνθάδε δὴ καὶ ἐμὸν κλέος ἔσσεται, οὐδὲ σὸν οἴης.
Ἦ, καὶ ἐπὶ ῥίον ὦσεν ἄναξ, ἑκάεργος Ἀπόλλων,
πετραίης προχοῇσιν, ἀπέκρυψεν δὲ ῥέεθρα,
καὶ βωμὸν ποιήσατ' ἐν ἄλσεϊ δενδρήεντι,
ἄγχι μάλα κρήνης καλλιῤῥόου· ἔνθα δ' ἄνακτι
πάντες ἐπίκλησιν Τελφουσίῳ εὐχετόωνται,
οὕνεκα Τελφούσης ἱερῆς ᾔσχυνε ῥέεθρα.

καὶ τότε δὴ κατὰ θυμὸν ἐφράζετο Φοῖβος Ἀπόλλων,
οὕστινας ἀνθρώπους ὀργίονας εἰσαγάγοιτο,
οἳ θεραπεύσονται Πυθοῖ ἔνι πετρηέσσῃ.
Ταῦτ' ἄρα ὁρμαίνων, ἐνόησ' ἐπὶ οἴνοπι πόντῳ
νῆα θοήν· ἐν δ' ἄνδρες ἔσαν πολέες τε καὶ ἐσθλοὶ,
Κρῆτες ἀπὸ Κνωσοῦ Μινωΐου, οἵ ῥά τ' ἄνακτι
ἱερά τε ῥέζουσι, καὶ ἀγγέλλουσι θέμιστας
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅ,ττι κεν εἴπῃ,
χρείων ἐκ δάφνης γυάλων ὕπο Παρνησοῖο.

αἱ μὲν ἐπὶ πρῆξιν καὶ χρήματα νηῒ μελαίνῃ
ἐς Πύλον ἠμαθόεντα Πυληγενέας τ' ἀνθρώπους
ἔπλεον· αὐτὰρ ὁ τοῖσι συνήντετο Φοῖβος Ἀπόλλων·
ἐν πόντῳ δ' ἐπόρουσε, δέμας δελφῖνι ἐοικὼς,
νηῒ θοῇ, καὶ κεῖτο πέλωρ μέγα τε δεινόν τε.
τῶν δ' οὔτις κατὰ θυμὸν ἐπεφράσατ', οὐδ' ἐνόησεν

πάντοσ' ἀνασσείασκε, τίνασσε δὲ νήϊα δοῦρα.
οἱ δ' ἀκέων ἐνὶ νηῒ καθείατο δειμαίνοντες·
οὐδ' οἵγ' ὅπλ' ἔλυον κοίλην ἀνὰ νῆα μέλαιναν,
[οὐδ' ἔλυον λαῖφος νηὸς κυανοπρῴροιο,]
ἀλλ' ὡς τὰ πρώτιστα κατεστήσαντο βοεῦσιν,
ὣς ἔπλεον· κραιπνὸς δὲ Νότος κατόπισθεν ἔπειγεν
νῆα θοήν. πρῶτον δὲ παρημείβοντο Μάλειαν,
πὰρ δὲ Λακωνίδα γαῖαν, Ἕλος τ', ἔφαλον πτολίεθρον,
ἷξον, καὶ χῶρον τερψιμβρότου Ἠελίοιο,
Ταίναρον, ἔνθα τε μῆλα βαθύτριχα βόσκεται αἰεὶ
Ἠελίοιο ἄνακτος, ἔχει δ' ἐπιτερπέα χῶρον.
οἱ μὲν ἄρ' ἔνθ' ἔθελον νῆα σχεῖν, ἠδ' ἀποβάντες
φράσσασθαι μέγα θαῦμα, καὶ ὀφθαλμοῖσιν ἰδέσθαι,
εἰ μενέει νηὸς γλαφυρῆς δαπέδοισι πέλωρον,
ἢ εἰς οἶδμ' ἅλιον πολυΐχθυον αὖτις ὀρούσει.
ἀλλ' οὐ πηδαλίοισιν ἐπείθετο νηῦς εὐεργὴς,
ἀλλὰ παρὲκ Πελοπόννησον πίειραν ἔχουσα
ἤϊ' ὁδόν· πνοιῇ δὲ ἄναξ, ἑκάεργος Ἀπόλλων,
ῥηϊδίως ἴθυν'· ἡ δὲ πρήσσουσα κέλευθον
Ἀρήνην ἵκανε καὶ Ἀργυφέην ἐρατεινὴν,
καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐΰκτιτον Αἶπυ

καὶ Πύλον ἠμαθόεντα, Πυλοιγενέας τ' ἀνθρώπους·
βῆ δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καὶ παρὰ Δύμην,
ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
εὖτε Φερὰς ἐπέβαλλεν, ἀγαλλομένη Διὸς οὔρῳ

καί σφιν ὑπ' ἐκ νεφέων Ἰθάκης τ' ὄρος αἰπὺ πάφαντο,
Δουλίχιόν τε Σάμη τε καὶ ὑλήεσσα Ζάκυνθος.

ἀλλ' ὅτε δὴ Πελοπόννησον παρενίσσετο πᾶσαν,
καὶ δὴ ἐπὶ Κρίσης κατεφαίνετο κόλπος ἀπείρων,
ὅστε δι' ἐκ Πελοπόννησον πίειραν ἐέργει·
ἦλθ' ἄνεμος Ζέφυρος μέγας, αἴθριος, ἐκ Διὸς αἴσης,
λάβρος ἐπαιγίζων ἐξ αἰθέρος, ὄφρα τάχιστα
νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
ἄψοῤῥοι δὴ ἔπειτα πρὸς Ἠῶ τ' Ἠέλιόν τε
ἔπλεον, ἡγεμόνευε δ' ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
ἶξον δ' ἐς Κρίσην εὐδείελον, ἀμπελόεσσαν,
ἐς λιμέν'· ἡ δ' ἀμάθοισιν ἐχρίμψατο ποντοπόρος νηῦς.
Ἔνθ' ἐκ νηὸς ὄρουσεν ἄναξ, ἑκάεργος Ἀπόλλων,
ἀστέρι εἰδόμενος μέσῳ ἤματι· τοῦ δ' ἀπὸ πολλαὶ
σπινθαρίδες πωτῶντο, σέλας δ' εἰς οὐρανὸν ἷκεν·
ἐς δ' ἄδυτον κατέδυνε διὰ τριπόδων ἐριτίμων.
ἐν δ' ἄρ' ὅγε φλόγα δαῖε, πιφαυσκόμενος τὰ ἃ κῆλα,
πᾶσαν δὲ Κρίσην κάτεχεν σέλας· αἱ δ' ὀλόλυξαν
Κρισαίων ἄλοχοι, καλλίζωνοί τε θύγατρες,
Φοίβου ὑπὸ ῥιπῆς· μέγα γὰρ δέος εἷλεν ἕκαστον.
ἔνθεν δ' αὖτ' ἐπὶ νῆα, νόημ' ὣς, ἆλτο πέτεσθαι,
ἀνέρι εἰδόμενος αἰζηῷ τε κρατερῷ τε,
πρωθήβῃ, χαίτης εἰλυμένος εὐρέας ὤμους·
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
ἤ τι κατὰ πρῆξιν, ἦ μαψιδίως ἀλάλησθε,
οἷά τε ληϊστῆρες, ὑπεὶρ ἅλα, τοίτ' ἀλόωνται
ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;
τίφθ' οὕτως ἧσθον τετιηότες, οὐδ' ἐπὶ γαῖαν
ἐκβῆτ', οὐδὲ καθ' ὅπλα μελαίνης νηὸς ἔθεσθε;
αὕτη μέν γε δίκη πέλει ἀνδρῶν ἀλφηστάων,
ὁππότ' ἂν ἐκ πόντοιο ποτὶ χθονὶ νηῒ μελαίνῃ
ἔλθωσιν, καμάτῳ ἀδδηκότες· αὐτίκα δέ σφεας
σίτοιο γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ.
Ὣς φάτο, καί σφιν θάρσος ἐνὶ στήθεσσιν ἔθηκεν·
τὸν καὶ ἀμειβόμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Ξεῖν', ἐπεὶ οὐ μὲν γάρ τι καταθνητοῖσιν ἔοικας,
οὐ δέμας, οὐδὲ φυὴν, ἀλλ' ἀθανάτοισι θεοῖσιν,

οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι ταῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς δῆμος, τίς γαῖα; τίνες βροτοὶ ἐγγεγάασιν;
ἄλλῃ γὰρ φρονέοντες ἐπεπλέομεν μέγα λαῖτμα,
ἐς Πύλον ἐκ Κρήτης, ἔνθεν γένος εὐχόμεθ' εἶναι·
νῦν δ' ὧδε ξὺν νηῒ κατήλθομεν οὔτι ἑκόντες,
νόστου ἱέμενοι, ἄλλην ὁδὸν, ἄλλα κέλευθα·
ἀλλά τις ἀθανάτων δεῦρ' ἤγαγεν οὐκ ἐθέλοντας.
Τοὺς δ' ἀπαμειβόμενος προσέφη ἑκάεργος Ἀπόλλων·
ξεῖνοι, τοὶ Κνωσὸν πολυδένδρεον ἀμφινέμεσθε
τὸ πρὶν, ἀτὰρ νῦν οὐκέθ' ὑπότροποι αὖτις ἔσεσθε
ἔς τε πόλιν ἐρατὴν καὶ δώματα καλὰ ἕκαστος,
ἔς τε φίλας ἀλόχους· ἀλλ' ἐνθάδε πίονα νηὸν
ἕξετ' ἐμὸν, πολλοῖσι τετιμένοι ἀνθρώποισιν.
εἰμὶ δ' ἐγὼ Διὸς υἱὸς, Ἀπόλλων δ' εὔχομαι εἶναι·
ὑμέας δ' ἤγαγον ἐνθάδ' ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
οὔτι κακὰ φρονέων, ἀλλ' ἐνθάδε πίονα νηὸν
ἕξετ' ἐμὸν, πᾶσιν μάλα τίμιον ἀνθρώποισιν·
βουλάς τ' ἀθανάτων εἰδήσετε, τῶν ἰότητι
αἰεὶ τιμήσεσθε διαμπερὲς ἤματα πάντα.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πείθεσθε τάχιστα·
ἱστία μὲν πρῶτον κάθετον, λύσαντε βοείας·
νῆα δ' ἔπειτα θοὴν ἐπὶ ἠπείρου ἐρύσασθε,
ἐκ δὲ κτήμαθ' ἕλεσθε καὶ ἔντεα νηὸς εἴσης,
καὶ βωμὸν ποιήσατ' ἐπὶ ῥηγμῖνι θαλάσσης·
πῦρ δ' ἐπικαίοντες, ἐπί τ' ἄλφιτα λευκὰ θύοντες,
εὔχεσθαι δὴ ἔπειτα, παριστάμενοι περὶ βωμόν.

ὡς μὲν ἐγὼ τὸ πρῶτον ἐν ἠεροειδέϊ πόντῳ,
εἰδόμενος δελφῖνι, θοῆς ἐπὶ νηὸς ὄρουσα,
ὣς ἐμοὶ εὔχεσθαι Δελφινίῳ· αὐτὰρ ὁ βωμὸς
αὐτὸς Δέλφειος καὶ ἐπόψιος ἔσσεται αἰεί.

δειπνῆσαί τ' ἄρ' ἔπειτα θοῇ παρὰ νηῒ μελαίνῃ,
καὶ σπεῖσαι μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπὴν σίτοιο μελίφρονος ἐξ ἔρον ἧσθε,

ἔρχεσθαί θ' ἅμ' ἐμοὶ, καὶ ἰηπαιήον' ἀείδειν,
εἰσόκε χῶρον ἵκησθον, ἵν' ἕξετε πίονα νηόν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
ἱστία μὲν πρῶτον κάθεσαν, λῦσαν δὲ βοείας·
ἱστὸν δ' ἱστοδόκῃ πέλασαν, προτόνοισιν ὑφέντες·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἐκ δ' ἁλὸς ἤπειρόνδε θοὴν ἀνὰ νῆ' ἐρύσαντο
ὑψοῦ ἐπὶ ψαμάθοις, παρὰ δ' ἕρματα μακρὰ τάνυσσαν,
καὶ βωμὸν ποίησαν ἐπὶ ῥηγμῖνι θαλάσσης·
πῦρ δ' ἐπικαίοντες, ἐπί τ' ἄλφιτα λευκὰ θύοντες,
εὔχοντ', ὡς ἐκέλευε, παριστάμενοι περὶ βωμόν.
δόρπον ἔπειθ' εἵλοντο θοῇ παρὰ νηῒ μελαίνῃ,
καὶ σπεῖσαν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφιν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων,
φόρμιγγ' ἐν χείρεσσιν ἔχων, ἀγατὸν κιθαρίζων,
καλὰ καὶ ὕψι βιβάς· οἱ δὲ ῥήσσοντες ἕποντο
Κρῆτες πρὸς Πυθὼ, καὶ ἰηπαιήον' ἄειδον,
οἷοί τε Κρητῶν παιήονες, οἷσί τε Μοῦσα
ἐν στήθεσσιν ἔθηκε θεὰ μελίγηρυν ἀοιδήν.
ἄκμητοι δὲ λόφον προσέβαν ποσὶν, αἶψα δ' ἵκοντο
Παρνησὸν καὶ χῶρον ἐπήρατον, ἔνθ' ἄρ' ἔμελλον
οἰκήσειν πολλοῖσι τετιμένοι ἀνθρώποισιν.

δεῖξε δ' ἄγων αὐτοῦ δάπεδον καὶ πίονα νηόν.
τῶν δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν·
τὸν καὶ ἀνειρόμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Ὦ ἄν', ἐπειδὴ τῆλε φίλων καὶ πατρίδος αἴης
ἤγαγες—οὕτω που τῷ σῷ φίλον ἔπλετο θυμῷ—
πῶς καὶ νῦν βεόμεσθα; τό σε φράζεσθαι ἄνωγμεν.
οὔτε τρυγηφόρος ἥδε γ' ἐπήρατος, οὔτ' εὐλείμων,
ὥστ' ἀπό τ' εὖ ζώειν καὶ ἅμ' ἀνθρώποισιν ὀπηδεῖν.
Τοὺς δ' ἐπιμειδήσας προσέφη Διὸς υἱὸς Ἀπόλλων·
νήπιοι ἄνθρωποι, δυστλήμονες, οἳ μελεδῶνας
βούλεσθ', ἀργαλέους τε πόνους καὶ στείνεα θυμῷ.
ῥηΐδιον ἔπος ὔμμ' ἐρέω, καὶ ἐπὶ φρεσὶ θήσω.

δεξιτερῇ μάλ' ἕκαστος ἔχων ἐν χειρὶ μάχαιραν
σφάζειν αἰεὶ μῆλα· τὰ δ' ἄφθονα πάντα παρέσται,
ὅσσα ἐμοί κ' ἀγάγωσι περικλυτὰ φῦλ' ἀνθρώπων
νηὸν δὲ προφύλαχθε, δέδεχθε δὲ φῦλ' ἀνθρώπων

ἐνθάδ' ἀγειρομένων, καὶ ἐμὴν ἰθύν τε μάλιστα

ἠέ τι τηΰσιον ἔπος ἔσσεται, ἠέ τι ἔργον,
ὕβρις θ', ἣ θέμις ἐστὶ καταθνητῶν ἀνθρώπων

ἄλλοι ἔπειθ' ὑμῖν σημάντορες ἄνδρες ἔσονται,
τῶν ὑπ' ἀναγκαίῃ δεδμήσεσθ' ἤματα πάντα.
εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῇσι φύλαξαι.
Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Λητοῦς υἱέ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

B.

ΕΙΣ ΕΡΜΗΝ.

Ἑρμῆν ὕμνει, Μοῦσα, Διὸς καὶ Μαιάδος υἱὸν,
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,
Νύμφη ἐϋπλόκαμος, Διὸς ἐν φιλότητι μιγεῖσα,
αἰδοίη· μακάρων δὲ θεῶν ἠλεύαθ' ὅμιλον,
ἄντρον ἔσω ναίουσα παλίσκιον· ἔνθα Κρονίων
Νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
ὄφρα κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην,
λήθων ἀθανάτους τε θεοὺς, θνητούς τ' ἀνθρώπους.
ἀλλ' ὅτε δὴ μεγάλοιο Διὸς νόος ἐξετελεῖτο,
τῇ δ' ἤδη δέκατος μεὶς οὐρανῷ ἐστήρικτο·
[ἔς τε φόως ἄγαγεν, ἀρίσημά τε ἔργα τέτυκτο·]
καὶ τότ' ἐγείνατο παῖδα πολύτροπον, αἱμυλομήτην,
ληϊστῆρ', ἐλατῆρα βοῶν, ἡγήτορ' ὀνείρων,
νυκτὸς ὀπωπητῆρα, πυληδόκον, ὃς τάχ' ἔμελλεν
ἀμφανέειν κλυτὰ ἔργα μετ' ἀθανάτοισι θεοῖσιν.

ἠῷος γεγονὼς, μέσῳ ἤματι ἐγκιθάριζεν,
ἑσπέριος βοῦς κλέψεν ἑκηβόλου Ἀπόλλωνος,
τετράδι τῇ προτέρῃ, τῇ μιν τέκε πότνια Μαῖα.

ὃς καὶ ἐπειδὴ μητρὸς ἀπ' ἀθανάτων θόρε γυίων,
οὐκέτι δηρὸν ἔκειτο μένων ἱερῷ ἐνὶ λίκνῳ·
ἀλλ' ὅγ' ἀναΐξας ζήτει βόας Ἀπόλλωνος

οὐδὸν ὑπερβαίνων ὑψηρεφέος ἄντροιο

ἔνθα χέλυν εὑρὼν, ἐκτήσατο μυρίον ὄλβον

Ἑρμῆς τοι πρώτιστα χέλυν τεκτήνατ' ἀοιδόν

ἥ ῥά οἱ ἀντεβόλησεν ἐπ' αὐλείῃσι θύρῃσιν,
βοσκομένη προπάροιθε δόμων ἐριθηλέα ποίην,
σαῦλα ποσὶν βαίνουσα. Διὸς δ' ἐριούνιος υἱὸς
ἀθρήσας ἐγέλασσε, καὶ αὐτίκα μῦθον ἔειπεν·
Σύμβολον ἤδη μοι μέγ' ὀνήσιμον· οὐκ ὀνοτάζω.
χαῖρε, φυὴν ἐρόεσσα, χοροίτυπε, δαιτὸς ἑταίρη,
ἀσπασίη προφανεῖσα· πόθεν τόδε καλὸν ἄθυρμα,
αἰόλον ὄστρακον, ἐσσὶ, χέλυς ὄρεσι ζώουσα;
ἀλλ' οἴσω σ' ἐς δῶμα λαβών· ὄφελός τί μοι ἔσσῃ,
οὐδ' ἀποτιμήσω· σὺ δέ με πρώτιστον ὀνήσεις.
[οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.]
ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα
ζώουσ'· ἢν δὲ θάνῃς, τότε κεν μάλα καλὸν ἀείδοις.
Ὣς ἄρ' ἔφη· καὶ χερσὶν ἅμ' ἀμφοτέρῃσιν ἀείρας,
ἂψ εἴσω κίε δῶμα, φέρων ἐρατεινὸν ἄθυρμα.
ἔνθ' ἀναμηλώσας γλυφάνῳ πολιοῖο σιδήρου,
αἰῶν' ἐξετόρησεν ὀρεσκῴοιο χελώνης.
ὡς δ' ὁπότ' ὠκὺ νόημα διὰ στέρνοιο περήσει
ἀνέρος, ὅντε θαμειαὶ ἐπιστρωφῶσι μέριμναι,
[ἢ ὅτε δινηθῶσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαὶ,]
ὡς ἅμ' ἔπος τε καὶ ἔργον ἐμήδετο κύδιμος Ἑρμῆς.
πῆξε δ' ἄρ' ἐν μέτροισι ταμὼν δόνακας καλάμοιο,

πειρήνας διὰ νῶτα λιθορρίνοιο χελώνης·
ἀμφὶ δὲ δέρμα τάνυσσε βοὸς πραπίδεσσιν ἑῇσιν,
καὶ πήχεις ἐνέθηκ', ἐπὶ δὲ ζυγὸν ἤραρεν ἀμφοῖν·
ἑπτὰ δὲ συμφώνους ὀΐων ἐτανύσσατο χορδάς.
Αὐτὰρ ἐπειδὴ τεῦξε φέρων ἐρατεινὸν ἄθυρμα,
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς
σμερδαλέον κονάβησε· θεὸς δ' ὑπὸ καλὸν ἄειδεν,
ἐξ αὐτοσχεδίης πειρώμενος—ἠΰτε κοῦροι
ἡβηταὶ θαλίησι παραιβόλα κερτομέουσιν—
ἀμφὶ Δία Κρονίδην καὶ Μαιάδα καλλιπέδιλον,
ὡς πάρος ὠρίζεσκον ἑταιρείῃ φιλότητι,
ἥν τ' αὐτοῦ γενεὴν ὀνομακλυτὸν ἐξονομάζων·
ἀμφιπόλους τ' ἐγέραιρε καὶ ἀγλαὰ δώματα Νύμφης,
καὶ τρίποδας κατὰ οἶκον, ἐπηετανούς τε λέβητας.
καὶ τὰ μὲν οὖν ἤειδε, τὰ δὲ φρεσὶν ἄλλα μενοίνα.
καὶ τὴν μὲν κατέθηκε φέρων ἱερῷ ἐνὶ λίκνῳ
φόρμιγγα γλαφυρήν· ὁ δ' ἄρα κρειῶν ἐρατίζων
ἆλτο κατὰ σκοπιὴν εὐώδεος ἐκ μεγάροιο,
ὁρμαίνων δόλον αἰπὺν ἐνὶ φρεσίν, οἷά τε φῶτες
φηληταὶ διέπουσι μελαίνης νυκτὸς ἐν ὥρῃ.
Ἠέλιος μὲν ἔδυνε κατὰ χθονὸς Ὠκεανόνδε
αὐτοῖσίν θ' ἵπποισι καὶ ἅρμασιν· αὐτὰρ ἄρ' Ἑρμῆς
Πιερίης ἀφίκανε θεῶν ὄρεα σκιόεντα,
ἔνθα θεῶν μακάρων βόες ἄμβροτοι αὖλιν ἔχεσκον,
βοσκόμεναι λειμῶνας ἀκηρασίους, ἐρατεινούς.
τῶν τότε Μαιάδος υἱὸς, ἐΰσκοπος Ἀργειφόντης,
πεντήκοντ' ἀγέλης ἀπετάμνετο βοῦς ἐριμύκους.
πλανοδίας δ' ἤλαυνε διὰ ψαμαθώδεα χῶρον,
ἴχνι' ἀποστρέψας· δολίης δ' οὐ λήθετο τέχνης.

ἀντία ποιήσας ὁπλὰς τὰς πρόσθεν ὄπισθεν,
τὰς δ' ὄπιθεν πρόσθεν, κατὰ δ' ἔμπαλιν αὐτὸς ἔβαινεν.

σάνδαλα δ' αὐτίκ' ἔριψεν ἐπὶ ψαμάθοις ἁλίῃσιν,

ἄφραστ' ἠδ' ἀνόητα διέπλεκε θαυματὰ ἔργα,

συμμίσγων μυρίκας καὶ μυρσινοειδέας ὄζους.
τῶν τότε συνδήσας νεοθηλέος ἄγκαλον ὕλης,
ἀβλαβέως ὑπὸ ποσσὶν ἐδήσατο σάνδαλα κοῦφα
αὐτοῖσιν πετάλοισι, τὰ κύδιμος Ἀργειφόντης
ἔσπασε Πιερίηθεν, ὁδοιπορίην ἀλεείνων,
οἷά τ' ἐπειγόμενος, δολιχὴν ὁδὸν αὐτοτροπήσας.
Τὸν δὲ γέρων ἐνόησε, δέμων ἀνθοῦσαν ἀλωὴν,
ἱέμενον πεδίονδε δι' Ὀγχηστὸν λεχεποίην.
τὸν πρότερος προσέφη Μαίης ἐρικυδέος υἱός·
Ὦ γέρον, ὅστε φυτὰ σκάπτεις ἐπικαμπύλος ὤμους,
ἦ πολυοινήσεις, εὖτ' ἂν τάδε πάντα φέρῃσιν.

καί τε ἰδὼν, μὴ ἰδὼν εἶναι, καὶ κωφὸς, ἀκούσας,
καὶ σιγᾷν, ὅτε μή τι καταβλάπτῃ τὸ σὸν αὐτοῦ.
Τόσσον φὰς, συνέσευε βοῶν ἴφθιμα κάρηνα.
πολλὰ δ' ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινοὺς
καὶ πεδί' ἀνθεμόεντα διήλασε κύδιμος Ἑρμῆς.
ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νὺξ,
ἡ πλείων, τάχα δ' ὄρθρος ἐγίγνετο δημιοεργός·
ἡ δὲ νέον σκοπιὴν προσεβήσατο δῖα Σελήνη,
Πάλλαντος θυγάτηρ, Μεγαμηδείδαο ἄνακτος·
τῆμος ἐπ' Ἀλφειὸν ποταμὸν Διὸς ἄλκιμος υἱὸς
Φοίβου Ἀπόλλωνος βοῦς ἤλασεν εὐρυμετώπους.

ἀκμῆτες δ' ἵκανον ἐς αὔλιον ὑψιμέλαθρον
καὶ ληνοὺς, προπάροιθεν ἀριπρεπέος λειμῶνος.

ἔνθ' ἐπεὶ εὖ βοτάνης ἐπεφόρβει βοῦς ἐριμύκους

καὶ τὰς μὲν συνέλασσεν ἐς αὔλιον, ἀθρόας οὔσας,
λωτὸν ἐρεπτομένας ἠδ' ἐρσήεντα κύπειρον·
σὺν δ' ἐφόρει ξύλα πολλὰ, πυρὸς δ' ἐπεμαίετο τέχνην.
δάφνης ἀγλαὸν ὄζον ἑλὼν ἐπέλεψε σιδήρῳ,
ἄρμενον ἐν παλάμῃ· ἄμπνυτο δὲ θερμὸς ἀϋτμή.

Ἑρμῆς τοι πρώτιστα πυρήϊα πῦρ τ' ἀνέδωκεν.

πολλὰ δὲ κάγκανα κᾶλα κατουδαίῳ ἐνὶ βόθρῳ
οὖλα λαβὼν ἐπέθηκεν ἐπηετανά· λάμπετο δὲ φλὸξ
τηλόσε φῦσαν ἱεῖσα πυρὸς μέγα δαιομένοιο.
ὄφρα δὲ πῦρ ἀνέκαιε βίη κλυτοῦ Ἡφαίστοιο,
τόφρα δ' ἐριβρύχους ἕλικας βοῦς ἕλκε θύραζε
δοιὰς ἄγχι πυρός· δύναμις δέ οἱ ἔπλετο πολλή.
ἀμφοτέρας δ' ἐπὶ νῶτα χαμαὶ βάλε φυσιοώσας

ἐγκλίνων δ' ἐκύλινδε, δι' αἰῶνάς τε τορήσας

ἔργῳ δ' ἔργον ὄπαζε, ταμὼν κρέα πίονα δημῷ·
ὤπτα δ' ἀμφ' ὀβελοῖσι πεπαρμένα δουρατέοισιν,
σάρκας ὁμοῦ καὶ νῶτα γεράσμια καὶ μέλαν αἷμα,
ἐργμένον ἐν χολάδεσσι· τὰ δ' αὐτοῦ κεῖτ' ἐπὶ χώρης·
ῥινοὺς δ' ἐξετάνυσσε καταστυφέλῳ ἐπὶ πέτρῃ,
ὡς ἔτι νῦν τάμετ' ἄσσα πολυχρόνιοι πεφύασιν,
δηρὸν δὴ μετὰ ταῦτα καὶ ἄκριτον. αὐτὰρ ἔπειτα
Ἑρμῆς χαρμόφρων εἰρύσσατο πίονα ἔργα
λείῳ ἐπὶ πλαταμῶνι, καὶ ἔσχισε δώδεκα μοίρας
κληροπαλεῖς· τέλεον δὲ γέρας προσέθηκεν ἑκάστῃ.
ἔνθ' ὁσίης κρεάων ἠράσσατο κύδιμος Ἑρμῆς.
ὀδμὴ γάρ μιν ἔτειρε, καὶ ἀθάνατόν περ ἐόντα,
ἡδεῖ'· ἀλλ' οὐδ' ὥς οἱ ἐπείθετο θυμὸς ἀγήνωρ,
καί τε μάλ' ἱμείροντι, περᾶν ἱερῆς κατὰ δειρῆς.
ἀλλὰ τὰ μὲν κατέθηκεν ἐς αὔλιον ὑψιμέλαθρον,
δημὸν καὶ κρέα πολλά· μετήορα δ' αἶψ' ἀνάειρεν,
σῆμα νέης φωρῆς, ἐπὶ δὲ ξύλα κάγκαν' ἀγείρας,
οὐλόποδ', οὐλοκάρηνα πυρὸς κατεδάμνατ' ἀϋτμῇ.
αὐτὰρ ἐπειδὴ πάντα κατὰ χρέος ἤνυσε δαίμων,
σάνδαλα μὲν προέηκεν ἐς Ἀλφειὸν βαθυδίνην,
ἀνθρακιὴν δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν
παννύχιος· καλὸν δὲ φόως ἐπέλαμπε Σελήνης.
Κυλλήνης δ' αἶψ' αὖτις ἀφίκετο δῖα κάρηνα
ὄρθριος, οὐδέ τίς οἱ δολιχῆς ὁδοῦ ἀντεβόλησεν,
οὔτε θεῶν μακάρων, οὔτε θνητῶν ἀνθρώπων·
οὐδὲ κύνες λελάκοντο. Διὸς δ' ἐριούνιος Ἑρμῆς

δοχμωθεὶς μεγάροιο διὰ κλήϊθρον ἔδυνεν,
αὔρῃ ὀπωρινῇ ἐναλίγκιος, ἠΰτ' ὀμίχλη.
ἰθύσας δ' ἄντρου ἐξίκετο πίονα νηὸν,
ἦκα ποσὶ προβιβῶν· οὐ γὰρ κτύπεν, ὥσπερ ἐπ' οὔδει.
ἐσσυμένως δ' ἄρα λίκνον ἐπῴχετο κύδιμος Ἑρμῆς·
σπάργανον ἀμφ' ὤμοις εἰλυμένος, ἠΰτε τέκνον
νήπιον, ἐν παλάμῃσι παρ' ἰγνύσι λαῖφος ἀθύρων
κεῖτο, χέλυν ἐρατὴν ἐπ' ἀριστερὰ χειρὸς ἐέργων.
μητέρα δ' οὐκ ἄρ' ἔληθε θεὰν θεὸς, εἶπέ τε μῦθον·
Τίπτε σὺ, ποικιλομῆτα, πόθεν τόδε νυκτὸς ἐν ὥρῃ
ἔρχῃ, ἀναιδείην ἐπιειμένε; νῦν σε μάλ' οἴω
ἢ τάχ' ἀμήχανα δεσμὰ περὶ πλευρῇσιν ἔχοντα
Λητοΐδου ὑπὸ χερσὶ δι' ἐκ προθύροιο περήσειν,
ἢ σὲ λαβόντα μεταξὺ κατ' ἄγκεα φηλητεύσειν.
ἔρρε, τάλαν! μεγάλην σε πατὴρ ἐφύτευσε μέριμναν
θνητοῖς ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν.
Τὴν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισιν·
μῆτερ ἐμὴ, τί με ταῦτα δεδίσκεαι, ἠΰτε τέκνον
νήπιον, ὃς μάλα παῦρα μετὰ φρεσὶν αἴσυλα οἶδεν,
ταρβαλέον, καὶ μητρὸς ὑπαιδείδοικεν ἐνιπάς;
αὐτὰρ ἐγὼ τέχνης ἐπιβήσομαι, ἥτις ἀρίστη,
βουλεύων ἐμὲ καὶ σὲ διαμπερές· οὐδὲ θεοῖσιν
νῶϊ μετ' ἀθανάτοισιν ἀδώρητοι καὶ ἄπαστοι
αὐτοῦ τῇδε μένοντες ἀνεξόμεθ', ὡς σὺ κελεύεις.
βέλτερον, ἤματα πάντα μετ' ἀθανάτοις ὀαρίζειν,
πλούσιον, ἀφνειὸν, πολυλήϊον, ἢ κατὰ δῶμα
ἄντρῳ ἐν ἠερόεντι θαασσέμεν· ἀμφὶ δὲ τιμῆς
κἀγὼ τῆς ὁσίης ἐπιβήσομαι, ἧσπερ Ἀπόλλων.
εἰ δέ κε μὴ δώῃσι πατὴρ ἐμὸς, ἤτοι ἔγωγε
πειρήσω· δύναμαι φηλητέων ὄρχαμος εἶναι.
εἰ δέ μ' ἐρευνήσει Λητοῦς ἐρικυδέος υἱὸς,
ἄλλο τί οἱ καὶ μεῖζον ὀΐομαι ἀντιβολήσειν.
εἶμι γὰρ ἐς Πυθῶνα, μέγαν δόμον ἀντιτορήσων,
ἔνθεν ἅλις τρίποδας περικαλλέας ἠδὲ λέβητας
πορθήσω, καὶ χρυσὸν, ἅλις τ' αἴθωνα σίδηρον,
καὶ πολλὴν ἐσθῆτα· σὺ δ' ὄψεαι, αἴκ' ἐθέλῃσθα.

Ὣς οἱ μέν ῥ' ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
υἱός τ' αἰγιόχοιο Διὸς καὶ πότνια Μαῖα.
Ἠὼς δ' ἠριγένεια φόως θνητοῖσι φέρουσα
ὤρνυτ' ἀπ' Ὠκεανοῖο βαθυῤῥόου· αὐτὰρ Ἀπόλλων
Ὀγχηστόνδ' ἀφίκανε κιὼν, πολυήρατον ἄλσος
ἁγνὸν ἐρισφαράγου Γαιηόχου· ἔνθα γέροντα
κνώδαλον εὗρε, δέμοντα παρὲξ ὁδοῦ ἕρκος ἀλωῆς.
τὸν πρότερος προσέφη Λητοῦς ἐρικυδέος υἱός·
Ὦ γέρον, Ὀγχηστοῖο βατοδρόπε ποιήεντος,
βοῦς ἀπὸ Πιερίης διζήμενος ἐνθάδ' ἱκάνω,
πάσας θηλείας, πάσας κεράεσσιν ἑλικτὰς,
ἐξ ἀγέλης· ὁ δὲ ταῦρος ἐβόσκετο μοῦνος ἀπ' ἄλλων,
κυάνεος· χαροποὶ δὲ κύνες κατόπισθεν ἕποντο
τέσσαρες, ἠΰτε φῶτες, ὁμόφρονες· οἱ μὲν ἔλειφθεν,
οἵ τε κύνες, ὅ τε ταῦρος—ὃ δὴ πέρι θαῦμα τέτυκται—
ταὶ δ' ἔβαν, ἠελίοιο νέον καταδυομένοιο,
ἐκ μαλακοῦ λειμῶνος, ἀπὸ γλυκεροῖο νομοῖο.
ταῦτά μοι εἰπὲ, γεραιὲ παλαιγενὲς, εἴ που ὄπωπας
ἀνέρα, ταῖσδ' ἐπὶ βουσὶ διαπρήσσοντα κέλευθον.
Τὸν δ' ὁ γέρων μύθοισιν ἀμειβόμενος προσέειπεν·
ὦ φίλος, ἀργαλέον μὲν, ὅσ' ὀφθαλμοῖσιν ἴδοιτο,
πάντα λέγειν· πολλοὶ γὰρ ὁδὸν πρήσσουσιν ὁδῖται,
τῶν οἱ μὲν κακὰ πολλὰ μεμαότες, οἱ δὲ μάλ' ἐσθλὰ,
φοιτῶσιν· χαλεπὸν δὲ δαήμεναί ἐστιν ἕκαστον.
αὐτὰρ ἐγὼ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἔσκαπτον περὶ γουνὸν ἀλωῆς οἰνοπέδοιο·
παῖδα δ' ἔδοξα, φέριστε, σαφὲς δ' οὐκ οἶδα, νοῆσαι,
ὅστις ὁ παῖς ἅμα βουσὶν ἐϋκραίρῃσιν ὀπήδει,
νήπιος, εἶχε δὲ ῥάβδον· ἐπιστροφάδην δ' ἐβάδιζεν.
[ἐξοπίσω δ' ἀνέεργε, κάρη δ' ἔχον ἀντίον αὐτῷ.]
Φῆ ῥ' ὁ γέρων· ὁ δὲ θᾶσσον ὁδὸν κίε μῦθον ἀκούσας·
οἰωνὸν δ' ἐνόει τανυσίπτερον, αὐτίκα δ' ἔγνω
φηλητὴν γεγαῶτα Διὸς παῖδα Κρονίωνος.
ἐσσυμένως δ' ἤϊξεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
ἐς Πύλον ἠγαθέην, διζήμενος εἰλίποδας βοῦς,
πορφυρέῃ νεφέλῃ κεκαλυμμένος εὐρέας ὤμους·

ἴχνιά τ' εἰσενόησεν Ἑκηβόλος, εἶπέ τε μῦθον·
Ὦ πόποι! ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἴχνια μὲν τάδε γ' ἐστὶ βοῶν ὀρθοκραιράων,
ἀλλὰ πάλιν τέτραπται ἐς ἀσφοδελὸν λειμῶνα·
βήματα δ' οὔτ' ἀνδρὸς τάδε γίγνεται, οὔτε γυναικὸς,
οὔτε λύκων πολιῶν, οὔτ' ἄρκτων, οὔτε λεόντων.

οὐδέ τί κεν ταύρου λασιαύχενος ἔλπομαι εἶναι,
ὅστις τοῖα πέλωρα βιβᾷ ποσὶ καρπαλίμοισιν·
αἰνὰ μὲν ἔνθεν ὁδοῖο, τὰ δ' αἰνότερ' ἔνθεν ὁδοῖο.

Ὣς εἰπὼν, ἤϊξεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
Κυλλήνης δ' ἀφίκανεν ὄρος καταειμένον ὕλη,
πέτρης ἐς κευθμῶνα βαθύσκιον, ἔνθα τε Νύμφη
ἀμβροσίη ἐλόχευσε Διὸς παῖδα Κρονίωνος·
ὀδμὴ δ' ἱμερόεσσα δι' οὔρεος ἠγαθέοιο
κίδνατο, πολλὰ δὲ μῆλα ταναύποδα βόσκετο ποίην·
ἔνθα τότε σπεύδων κατεβήσατο λάϊνον οὐδὸν.
[ἄντρον ἐς ἠερόεν ἑκατηβόλος αὐτὸς Ἀπόλλων.]
Τὸν δ' ὡς οὖν ἐνόησε Διὸς καὶ Μαιάδος υἱὸς,
χωόμενον περὶ βουσὶν, ἑκηβόλον Ἀπόλλωνα·
σπάργαν' ἔσω κατέδυνε θυήεντ', ἠΰτε πολλὴν
πρέμνων ἀνθρακιὴν ὕλη σποδὸς ἀμφικαλύπτει.

ὣς Ἑρμῆς Ἑκάεργον ἰδὼν ἀλέεινεν ἓ αὐτόν·
ἐν δ' ὀλίγῳ συνέλασσε κάρη, χεῖράς τε, πόδας τε,
δή ῥα νεόλλουτος, προκαλεύμενος ἥδυμον ὕπνον
ἄγρης· εἰνέτεόν τε χέλυν ὑπὸ μασχάλῃ εἶχεν.

γνῶ δ', οὐδ' ἠγνοίησε Διὸς καὶ Λητοῦς υἱὸς
Νύμφην τ' οὐρείην περικαλλέα καὶ φίλον υἱὸν,
παῖδ' ὀλίγον, δολίης εἰλυμένον ἐντροπίῃσιν.
παπτήνας δ' ἄρα πάντα μυχὸν μεγάλοιο δόμοιο,
τρεῖς ἀδύτους ἀνέῳγε, λαβὼν κληῗδα φαεινὴν,
νέκταρος ἐμπλείους ἠδ' ἀμβροσίης ἐρατεινῆς·
πολλὸς δὲ χρυσός τε καὶ ἄργυρος ἔνδον ἔκειτο,

πολλὰ δὲ φοινικόεντα καὶ ἄργυφα εἵματα Νύμφης,
οἷα θεῶν μακάρων ἱεροὶ δόμοι ἐντὸς ἔχουσιν.
ἔνθ' ἐπεὶ ἐξερέεινε μυχοὺς μεγάλοιο δόμοιο
Λητοΐδης, μύθοισι προσηύδα κύδιμον Ἑρμῆν·
Ὦ παῖ, ὃς ἐν λίκνῳ κατάκειαι, μήνυέ μοι βοῦς
θᾶσσον· ἐπεὶ τάχα νῶϊ διοισόμεθ' οὐ κατὰ κόσμον.
ῥίψω γάρ σε λαβὼν ἐς Τάρταρον ἠερόεντα,
ἐς ζόφον αἰνόμορον καὶ ἀμήχανον· οὐδέ σε μήτηρ
ἐς φάος, οὐδὲ πατὴρ ἀναλύσεται, ἀλλ' ὑπὸ γαίῃ
ἐῤῥήσεις, ὀλίγοισιν ἐν ἀνδράσιν ἡγεμονεύων.
Τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισιν·
Λητοΐδη, τίνα τοῦτον ἀπηνέα μῦθον ἔειπες,
καὶ βοῦς ἀγραύλους διζήμενος ἐνθάδ' ἱκάνεις;
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·
οὐκ ἂν μηνύσαιμ', οὐκ ἂν μήνυτρον ἀροίμην.
[*οὔτε βοῶν ἐλατῆρι, κραταιῷ φωτὶ, ἔοικα.*]
οὐκ ἐμὸν ἔργον τοῦτο· πάρος δέ μοι ἄλλα μέμηλεν·
ὕπνος ἔμοιγε μέμηλε καὶ ἡμετέρης γάλα μητρὸς,
σπάργανά τ' ἀμφ' ὤμοισιν ἔχειν, καὶ θερμὰ λοετρά.
μή τις τοῦτο πύθοιτο, πόθεν τόδε νεῖκος ἐτύχθη·
καί κεν δὴ μέγα θαῦμα μετ' ἀθανάτοισι γένοιτο,
παῖδα νέον γεγαῶτα διὰ προθύροιο περῆσαι
βουσὶ μετ' ἀγραύλοισι· τὸ δ' ἀπρεπέως ἀγορεύεις.
χθὲς γενόμην· ἁπαλοὶ δὲ πόδες, τρηχεῖα δ' ὑπὸ χθών.
εἰ δ' ἐθέλεις, πατρὸς κεφαλὴν, μέγαν ὅρκον, ὀμοῦμαι,
μὴ μὲν ἐγὼ μήτ' αὐτὸς ὑπίσχομαι αἴτιος εἶναι,
μήτε τιν' ἄλλον ὄπωπα βοῶν κλοπὸν ὑμετεράων,
αἵτινες αἱ βόες εἰσί· τὸ δὲ κλέος οἶον ἀκούω.
Ὣς ἄρ' ἔφη, καὶ πυκνὸν ἀπὸ βλεφάρων ἀμαρύσσων,
ὀφρύσι ῥιπτάζεσκεν, ὁρώμενος ἔνθα καὶ ἔνθα,
μάκρ' ἀποσυρίζων, ἅλιον τὸν μῦθον ἀκούων.
τὸν δ' ἁπαλὸν γελάσας προσέφη ἑκάεργος Ἀπόλλων·
Ὦ πέπον, ἠπεροπευτὰ, δολοφραδὲς, ἦ σε μάλ' οἴω
πολλάκις ἀντιτοροῦντα δόμους εὖ ναιετάοντας,
ἔννυχον οὐχ ἕνα μοῦνον ἐπ' οὔδεϊ φῶτα καθίσσαι,
σκευάζοντα κατ' οἶκον ἄτερ ψόφου, οἷ' ἀγορεύεις.

πολλοὺς δ' ἀγραύλους ἀκαχήσεις μηλοβοτῆρας
οὔρεος ἐν βήσσῃς, ὁπότ' ἂν κρειῶν ἐρατίζων
ἀντήσῃς ἀγέλῃσι βοῶν καὶ πώεσι μήλων.
ἀλλ' ἄγε, μὴ πύματόν τε καὶ ὕστατον ὕπνον ἰαύσῃς,
ἐκ λίκνου κατάβαινε, μελαίνης νυκτὸς ἑταῖρε.
τοῦτο γὰρ οὖν καὶ ἔπειτα μετ' ἀθανάτοις γέρας ἕξεις,
ἀρχὸς φηλητέων κεκλήσεαι ἤματα πάντα.
Ὣς ἄρ' ἔφη, καὶ παῖδα λαβὼν φέρε Φοῖβος Ἀπόλλων
σὺν δ' ἄρα φρασσάμενος, τότε δὴ κρατὺς Ἀργειφόντης
οἰωνὸν προέηκεν, ἀειρόμενος μετὰ χερσὶν,
τλήμονα γαστρὸς ἔριθον, ἀτάσθαλον ἀγγελιώτην.
ἐσσυμένως δὲ μετ' αὐτὸν ἐπέπταρε· τοῖο δ' Ἀπόλλων
ἔκλυεν, ἐκ χειρῶν δὲ χαμαὶ βάλε κύδιμον Ἑρμῆν.
ἕζετο δὲ προπάροιθε, καὶ ἐσσύμενός περ ὁδοῖο,
Ἑρμῆν κερτομέων, καί μιν πρὸς μῦθον ἔειπεν·
Θάρσει, σπαργανιῶτα, Διὸς καὶ Μαιάδος υἱέ·
εὑρήσω καὶ ἔπειτα βοῶν ἴφθιμα κάρηνα
τούτοις οἰωνοῖσι· σὺ δ' αὖθ' ὁδὸν ἡγεμονεύσεις.
Ὣς φάτ'· ὁ δ' αὖτ' ἀνόρουσε θοῶς Κυλλήνιος Ἑρμῆς,
σπουδῇ ἰών· ἄμφω δὲ παρ' οὔατα χερσὶν ἐώθει
σπάργανον, ἀμφ' ὤμοισιν ἐλιγμένον, εἶπε δὲ μῦθον·
Πῆ με φέρεις, Ἑκάεργε, θεῶν ζαμενέστατε πάντων;
ἦ με βοῶν ἕνεχ' ὧδε χολούμενος ὀρσολοπεύεις;
ὢ πόποι, εἴθ' ἀπόλοιτο βοῶν γένος! οὐ γὰρ ἔγωγε.
ὑμετέρας ἔκλεψα βόας, οὐδ' ἄλλον ὄπωπα,
αἵτινές εἰσι βόες· τὸ δὲ δὴ κλέος οἶον ἀκούω.
δὸς δὲ δίκην καὶ δέξο παρὰ Ζηνὶ Κρονίωνι.
Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα διαῤῥήδην ἐρέεινεν
Ἑρμῆς τ' οἰοπόλος καὶ Λητοῦς ἀγλαὸς υἱὸς,
ἀμφὶς θυμὸν ἔχοντες· ὁ μὲν, νημερτέα φωνῶν,
οὐκ ἀδίκως ἐπὶ βουσὶν ἐλάζυτο κύδιμον Ἑρμῆν·
αὐτὰρ ὁ τέχνῃσίν τε καὶ αἱμυλίοισι λόγοισιν
ἤθελεν ἐξαπατᾶν Κυλλήνιος Ἀργυρότοξον.
αὐτὰρ ἐπεὶ πολύμητις ἐὼν πολυμήχανον εὗρεν,
ἐσσυμένως δὴ ἔπειτα διὰ ψαμάθοιο βάδιζεν
πρόσθεν, ἀτὰρ κατόπισθε Διὸς καὶ Λητοῦς υἱός.

αἶψα δ' ἵκοντο κάρηνα θυώδεος Οὐλύμποιο,
ἐς πατέρα Κρονίωνα, Διὸς περικαλλέα τέκνα·
κεῖθι γὰρ ἀμφοτέροισι δίκης κατέκειτο τάλαντα.
εὐμυλίη δ' ἔχ' Ὄλυμπον ἀγάννιφον, ἀθάνατοι δὲ
ἄφθιτοι ἠγερέθοντο ποτὶ πτύχας Οὐλύμποιο.
ἔστησαν δ' Ἑρμῆς τε καὶ ἀργυρότοξος Ἀπόλλων
πρόσθε Διὸς γούνων· ὁ δ' ἀνείρετο φαίδιμον υἱὸν
Ζεὺς ὑψιβρεμέτης, καί μιν πρὸς μῦθον ἔειπεν·
Φοῖβε, πόθεν ταύτην μενοεικέα ληΐδ' ἐλαύνεις,
παῖδα νέον γεγαῶτα, φυὴν κήρυκος ἔχοντα;
σπουδαῖον τόδε χρῆμα θεῶν μεθ' ὁμήγυριν ἦλθεν.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
ὦ πάτερ, ἦ τάχα μῦθον ἀκούσεαι οὐκ ἀλαπαδνὸν,
κερτομέων, ὡς οἶος ἐγὼ φιλοληΐός εἰμι.
παῖδά τιν' εὗρον τόνδε διαπρύσιον κεραϊστὴν
Κυλλήνης ἐν ὄρεσσι, πολὺν διὰ χῶρον ἀνύσσας,
κέρτομον, οἷον ἔγωγε θεῶν οὐκ ἄλλον ὄπωπα,
οὐδ' ἀνδρῶν, ὁπόσοι λησίμβροτοί εἰσ' ἐπὶ γαίῃ.
κλέψας δ' ἐκ λειμῶνος ἐμὰς βοῦς ᾤχετ' ἐλαύνων
ἑσπέριος παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
εὐθὺ Πύλονδ' ἐλάων· τὰ δ' ἄρ' ἴχνια τοῖα πέλωρα,
οἷά τ' ἀγάσσασθαι, καὶ ἀγαυοῦ δαίμονος ἔργα.
τῇσιν μὲν γὰρ βουσὶν ἐς ἀσφοδελὸν λειμῶνα
ἀντία βήματ' ἔχουσα κόνις ἀνέφαινε μέλαινα·
αὐτὸς δ' οὗτος ὅδ' ἐκτὸς, ἀμήχανος, οὔτ' ἄρα ποσσὶν,
οὔτ' ἄρα χερσὶν ἔβαινε διὰ ψαμαθώδεα χῶρον·
ἀλλ' ἄλλην τινὰ μῆτιν ἔχων διέτριβε κέλευθα

τοῖα πέλωρ', ὡσεί τις ἀραιῇσι δρυσὶ βαίνοι.
ὄφρα μὲν οὖν ἐδίωκε διὰ ψαμαθώδεα χῶρον,
ῥεῖα μάλ' ἴχνια πάντα διέπρεπεν ἐν κονίῃσιν·
αὐτὰρ ἐπεὶ ψαμάθοιο μέγαν στίβον ἐξεπέρησεν,
ἄφραστος γένετ' ὦκα βοῶν στίβος ἠδὲ καὶ αὐτοῦ,
χῶρον ἀνὰ κρατερόν. τὸν δ' ἐφράσατο βροτὸς ἀνὴρ,
ἐς Πύλον εὐθὺς ἐλῶντα βοῶν γένος εὐρυμετώπων.
αὐτὰρ ἐπειδὴ τὰς μὲν ἐν ἡσυχίῃ κατέερξεν,

καὶ διὰ πυρπαλάμησεν ὁδοῦ, τὸ μὲν ἔνθα, τὸ δ' ἔνθα,
ἐν λίκνῳ κατέκειτο μελαίνῃ νυκτὶ ἐοικὼς,
ἄντρῳ ἐν ἠερόεντι κατὰ ζόφον· οὐδέ κεν αὐτὸν
αἰετὸς ὀξὺ λάων ἐσκέψατο· πολλὰ δὲ χερσὶν
αὐγὰς ὠμόργαζε, δολοφροσύνην ἀλεγύνων.
αὐτὸς δ' αὐτίκα μῦθον ἀπηλεγέως ἀγόρευεν·
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·
οὐδέ κε μηνύσαιμ', οὐδ' ἂν μήνυτρον ἀροίμην.
Ἤτοι ἄρ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο Φοῖβος Ἀπόλλων·
Ἑρμῆς δ' αὖθ' ἑτέρωθεν ἀμειβόμενος ἔπος ηὔδα,
δείξατο δ' ἐς Κρονίωνα, θεῶν σημάντορα πάντων·
Ζεῦ πάτερ, ἤτοι ἐγώ τοι ἀληθείην καταλέξω·
νημερτής τε γάρ εἰμι, καὶ οὐκ οἶδα ψεύδεσθαι.
ἦλθεν ἐς ἡμέτερον διζήμενος εἰλίποδας βοῦς
σήμερον, ἠελίοιο νέον ἐπιτελλομένοιο,
οὐδὲ θεῶν μακάρων ἄγε μάρτυρας, οὐδὲ κατόπτας·
μηνύειν δ' ἐκέλευεν ἀναγκαίης ὕπο πολλῆς·
πολλὰ δέ μ' ἠπείλησε βαλεῖν ἐς Τάρταρον εὐρὺν,
οὕνεχ' ὁ μὲν τέρεν ἄνθος ἔχει φιλοκυδέος ἥβης,
αὐτὰρ ἐγὼ χθιζὸς γενόμην—τὰ δέ τ' οἶδε καὶ αὐτὸς—
οὔτι βοῶν ἐλατῆρι, κραταιῷ φωτὶ, ἐοικώς.
πείθεο—καὶ γὰρ ἐμεῖο πατὴρ φίλος εὔχεαι εἶναι—
ὡς οὐκ οἴκαδ' ἔλασσα βόας, ὡς ὄλβιος εἴην,
οὐδ' ὑπὲρ οὐδὸν ἔβην· τὸ δέ τ' ἀτρεκέως ἀγορεύω.
Ἠέλιον δὲ μάλ' αἰδέομαι καὶ δαίμονας ἄλλους,
καὶ σὲ φιλῶ, καὶ τοῦτον ὀπίζομαι· οἶσθα καὶ αὐτὸς,
ὡς οὐκ αἴτιός εἰμι· μέγαν δ' ἐπιδαίομαι ὅρκον,
οὐ μὰ τάδ' ἀθανάτων εὐκόσμητα προθύραια.
καί που ἐγὼ τούτῳ τίσω ποτὲ νηλέα φώρην,
καὶ κρατερῷ περ ἐόντι· σὺ δ' ὁπλοτέροισιν ἄρηγε.
Ὣς φάτ' ἐπιλλίζων Κυλλήνιος Ἀργειφόντης·
καὶ τὸ σπάργανον εἶχεν ἐπ' ὠλένῃ, οὐδ' ἀπέβαλλεν.
Ζεὺς δὲ μέγ' ἐξεγέλασσεν, ἰδὼν κακομηδέα παῖδα,
εὖ καὶ ἐπισταμένως ἀρνεύμενον ἀμφὶ βόεσσιν.
ἀμφοτέρους δ' ἐκέλευσεν ὁμόφρονα θυμὸν ἔχοντας
ζητεύειν, Ἑρμῆν δὲ διάκτορον ἡγεμονεύειν,

καὶ δεῖξαι τὸν χῶρον ἐπ' ἀβλαβίῃσι νόοιο,
ὅππῃ δ' αὖτ' ἀπέκρυψε βοῶν ἴφθιμα κάρηνα.
νεῦσεν δὲ Κρονίδης, ἐπεπείθετο δ' ἀγλαὸς Ἑρμῆς·
ῥηϊδίως γὰρ ἔπειθε Διὸς νόος αἰγιόχοιο.
Τὼ δ' ἄμφω σπεύδοντε, Διὸς περικαλλέα τέκνα,
ἐς Πύλον ἠμαθόεντα ἐπ' Ἀλφειοῦ πόρον ἷξον,
ἀγροὺς δ' ἐξίκοντο καὶ αὔλιον ὑψιμέλαθρον,
ὅππου οἱ τὰ χρήματ' ἀτάλλετο νυκτὸς ἐν ὥρῃ.
ἔνθ' Ἑρμῆς μὲν ἔπειτα κιὼν παρὰ λάϊνον ἄντρον,
ἐς φάος ἐξήλαυνε βοῶν ἴφθιμα κάρηνα·
Λητοΐδης δ' ἀπάτερθεν ἰδὼν ἐνόησε βοείας
πέτρῃ ἐπ' ἠλιβάτῳ, τάχα δ' εἴρετο κύδιμον Ἑρμῆν·
Πῶς ἐδύνω, δολομῆτα, δύω βόε δειροτομῆσαι,
ὧδε νεογνὸς ἐὼν καὶ νήπιος; αὐτὸς ἔγωγε
θαυμαίνω κατόπισθε τὸ σὸν κράτος· οὐδέ τί σε χρὴ
μακρὸν ἀέξεσθαι, Κυλλήνιε, Μαιάδος υἱέ.

Ὣς ἄρ' ἔφη, καὶ χερσὶ περίστρεφε καρτερὰ δεσμὰ
ἄγνου· ταὶ δ' ὑπὸ ποσσὶ κατὰ χθονὸς αἶψα φύοντο
αὐτόθεν, ἀμβολάδην ἐστραμμέναι ἀλλήλῃσιν,
ῥειά τε καὶ πάσῃσιν ἐπ' ἀγραύλοισι βόεσσιν,
Ἑρμέω βουλῇσι κλεψίφρονος· αὐτὰρ Ἀπόλλων
θαύμασεν ἀθρήσας. τότε δὴ κρατὺς Ἀργειφόντης
χῶρον ὑποβλήδην ἐσκέψατο, πῦκν' ἀμαρύσσων,
ἐγκρύψαι μεμαώς. Λητοῦς δ' ἐρικυδέος υἱὸν
ῥεῖα μάλ' ἐπρήϋνεν ἑκηβόλον, ὡς ἔθελ' αὐτὸς,
καὶ κρατερόν περ ἐόντα· λαβὼν δ' ἐπ' ἀριστερὰ χειρὸς,
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς
σμερδαλέον κονάβησε· γέλασσε δὲ Φοῖβος Ἀπόλλων
γηθήσας, ἐρατὴ δὲ διὰ φρένας ἤλυθ' ἰωὴ
θεσπεσίης ἐνοπῆς, καί μιν γλυκὺς ἵμερος ᾕρει,
θυμῷ ἀκουάζοντα· λύρῃ δ' ἐρατὸν κιθαρίζων
στῆ ῥ' ὅγε θαρσήσας ἐπ' ἀριστερὰ Μαιάδος υἱὸς
Φοίβου Ἀπόλλωνος· τάχα δὲ λιγέως κιθαρίζων
γηρύετ' ἀμβολάδην—ἐρατὴ δέ οἱ ἕσπετο φωνὴ—
κραίνων ἀθανάτους τε θεοὺς καὶ γαῖαν ἐρεμνὴν,

ὡς τὰ πρῶτα γένοντο, καὶ ὡς λάχε μοῖραν ἕκαστος.
Μνημοσύνην μὲν πρῶτα θεῶν ἐγέραιρεν ἀοιδῇ,
μητέρα Μουσάων· ἡ γὰρ λάχε Μαιάδος υἱόν·
τοὺς δὲ κατὰ πρέσβιν τε, καὶ ὡς γεγάασιν ἕκαστος,
ἀθανάτους ἐγέραιρε θεοὺς Διὸς ἀγλαὸς υἱὸς,
πάντ᾽ ἐνέπων κατὰ κόσμον, ἐπωλένιον κιθαρίζων.
τὸν δ᾽ ἔρος ἐν στήθεσσιν ἀμήχανος αἴνυτο θυμὸν,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Βουφόνε, μηχανιῶτα, πονεύμενε, δαιτὸς ἑταῖρε,
πεντήκοντα βοῶν ἀντάξια ταῦτα μέμηλας.
ἡσυχίως καὶ ἔπειτα διακρινέεσθαι ὀΐω·
νῦν δ᾽ ἄγε μοι τόδε εἰπὲ, πολύτροπε Μαιάδος υἱὲ,
ἦ σοί γ᾽ ἐκ γενετῆς τάδ᾽ ἅμ᾽ ἕσπετο θαυματὰ ἔργα,
ἠέ τις ἀθανάτων ἠὲ θνητῶν ἀνθρώπων
δῶρον ἀγαυὸν ἔδωκε, καὶ ἔφρασε θέσπιν ἀοιδήν.

θαυμασίην γὰρ τήνδε νεήφατον ὄσσαν ἀκούω,
ἣν οὐ πώποτέ φημι δαήμεναι οὔτε τιν᾽ ἀνδρῶν,
οὔτε τιν᾽ ἀθανάτων, οἳ Ὀλύμπια δώματ᾽ ἔχουσιν,
νόσφι σέθεν, φηλῆτα, Διὸς καὶ Μαιάδος υἱέ.

τίς τέχνη; τίς μοῦσα ἀμηχανέων μελεδώνων;
τίς τρίβος; ἀτρεκέως γὰρ ἅμα τρία πάντα πάρεστιν,
εὐφροσύνην καὶ ἔρωτα, καὶ ἥδυμον ὕπνον ἑλέσθαι.

καὶ γὰρ ἐγὼ Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδὸς,
τῇσι χοροί τε μέλουσι καὶ ἀγλαὸς οἶμος ἀοιδῆς,
καὶ μολπὴ τεθαλυῖα καὶ ἱμερόεις βρόμος αὐλῶν·
ἀλλ᾽ οὔπω τί μοι ὧδε μετὰ φρεσὶν ἄλλο μέλησεν,
οἷα νέων θαλίῃς ἐνδέξια ἔργα πέλονται.
[θαυμάζω, Διὸς υἱὲ, τάδ᾽, ὡς ἐρατὸν κιθαρίζεις.]
νῦν δ᾽ ἐπεὶ οὖν, ὀλίγος περ ἐὼν, κλυτὰ μήδεα οἶδας,
ἵζε, πέπον, καὶ μῦθον ἐπαίνει πρεσβυτέροισιν·
νῦν γάρ τοι κλέος ἔσται ἐν ἀθανάτοισι θεοῖσιν,
σοί τ᾽ αὐτῷ καὶ μητρί· τὸ δ᾽ ἀτρεκέως ἀγορεύω·
ναὶ μὰ τόδε κρανέϊνον ἀκόντιον, ἦ μὲν ἐγώ σε

κυδρὸν ἐν ἀθανάτοισι καὶ ὄλβιον ἡγεμονεύσω,
δώσω τ' ἀγλαὰ δῶρα, καὶ ἐς τέλος οὐκ ἀπατήσω.
Τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισιν·
εἰρωτᾷς μ', Ἑκάεργε περιφραδές· αὐτὰρ ἐγὼ σοὶ
τέχνης ἡμετέρης ἐπιβήμεναι οὔτι μεγαίρω.
σήμερον εἰδήσεις· ἐθέλω δέ τοι ἤπιος εἶναι
βουλῇ καὶ μύθοισι· σὺ δὲ φρεσὶ πάντ' εὖ οἶδας.
πρῶτος γὰρ, Διὸς υἱὲ, μετ' ἀθανάτοισι θαάσσεις,
ἠΰς τε κρατερός τε· φιλεῖ δέ σε μητίετα Ζεὺς
ἐκ πάσης ὁσίης, ἔπορεν δέ τοι ἀγλαὰ δῶρα
καὶ τιμάς· σὲ δέ φασι δαήμεναι ἐκ Διὸς ὀμφῆς

μαντείας θ', Ἑκάεργε, Διὸς πάρα, θέσφατα πάντα.

καὶ νῦν αὐτὸς ἐγὼ παῖδ' ἀφνειὸν δεδάηκα.

σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅ,ττι μενοινᾷς.

ἀλλ' ἐπεὶ οὖν τοι θυμὸς ἐπιθύει κιθαρίζειν,
μέλπεο καὶ κιθάριζε, καὶ ἀγλαΐας ἀλέγυνε,
δέγμενος ἐξ ἐμέθεν· σὺ δέ μοι, φίλε, κῦδος ὄπαζε.

εὐμόλπει, μετὰ χερσὶν ἔχων λιγύφωνον ἑταίρην,
καλὰ καὶ εὖ κατὰ κόσμον ἐπισταμένην ἀγορεύειν·
εὔκηλος μὲν ἔπειτα φέρειν ἐς δαῖτα θάλειαν,
καὶ χορὸν ἱμερόεντα, καὶ ἐς φιλοκυδέα κῶμον,
εὐφροσύνην νυκτός τε καὶ ἤματος. ὅστις ἄρ' αὐτὴν
τέχνῃ καὶ σοφίῃ δεδαημένος ἐξερεείνῃ,
φθεγγομένη παντοῖα νόῳ χαρίεντα διδάσκει,
ῥεῖα συνηθείῃσιν ἀθυρομένη μαλακῇσιν,
ἐργασίην φεύγουσα δυήπαθον· ὃς δέ κεν αὐτὴν
νῆϊς ἐὼν τὸ πρῶτον ἐπιζαφελῶς ἐρεείνῃ,
μὰψ αὔτως κεν ἔπειτα μετήορά τε θρυλλίζοι.
σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅ,ττι μενοινᾷς.
καί τοι ἐγὼ δώσω ταύτην, Διὸς ἀγλαὲ κοῦρε.
ἡμεῖς δ' αὖτ' ὄρεός τε καὶ ἱπποβότου πεδίοιο

βουσὶ νομοὺς, Ἑκάεργε, νομεύσομεν ἀγραύλοισιν.
ἔνθεν ἅλις τέξουσι βόες, ταύροισι μιγεῖσαι,
μίγδην θηλείας τε καὶ ἄρσενας· οὐδέ τί σε χρὴ,
κερδαλέον περ ἐόντα, περιζαμενῶς κεχολῶσθαι.
Ὣς εἰπὼν ὤρεξ'· ὁ δ' ἐδέξατο Φοῖβος Ἀπόλλων.
Ἑρμῇ δ' ἐγγυάλιξεν ἔχειν μάστιγα φαεινὴν,
βουκολίας τ' ἐπέτελλεν· ἔδεκτο δὲ Μαιάδος υἱὸς
γηθήσας· κίθαριν δὲ λαβὼν ἐπ' ἀριστερὰ χειρὸς
Λητοῦς ἀγλαὸς υἱὸς, ἄναξ ἑκάεργος Ἀπόλλων,
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἣ δ' ὑπὸ καλὸν
ἱμερόεν κονάβησε· θεὸς δ' ὑπὸ μέλος ἄεισεν.
Ἔνθα βόας μὲν ἔπειτα ποτὶ ζάθεον λειμῶνα
ἐτραπέτην· αὐτοὶ δὲ, Διὸς περικαλλέα τέκνα,
ἄψοῤῥοι πρὸς Ὄλυμπον ἀγάννιφον ἐῤῥώσαντο,
τερπόμενοι φόρμιγγι· χάρη δ' ἄρα μητίετα Ζεὺς,
ἄμφω δ' ἐς φιλότητα συνήγαγε· καὶ ὁ μὲν Ἑρμῆς
Λητοΐδην ἐφίλησε διαμπερὲς, ὡς ἔτι καὶ νῦν,
σήματ' ἐπεὶ κίθαριν μὲν Ἑκηβόλῳ ἐγγυάλιξεν
ἱμερτὴν δεδαὼς, ὁ δ' ἐπωλένιον κιθάριζεν.
αὐτὸς δ' αὖθ' ἑτέρης σοφίης ἐκμάσσατο τέχνην·
συρίγγων ἐνοπὴν ποιήσατο τηλόθ' ἀκουστήν.
καὶ τότε Λητοΐδης Ἑρμῆν πρὸς μῦθον ἔειπεν·
Δείδια, Μαιάδος υἱὲ, διάκτορε, ποικιλομῆτα,
μή μοι ἅμα κλέψῃς κίθαριν καὶ καμπύλα τόξα.
τιμὴν γὰρ πὰρ Ζηνὸς ἔχεις, ἐπαμοίβιμα ἔργα
θήσειν ἀνθρώποισι κατὰ χθόνα πουλυβότειραν.
ἀλλ' εἴ μοι τλαίης γε θεῶν μέγαν ὅρκον ὀμόσσαι,
ἢ κεφαλῇ νεύσας, ἢ ἐπὶ Στυγὸς ὄβριμον ὕδωρ,
πάντ' ἂν ἐμῷ θυμῷ κεχαρισμένα καὶ φίλα ἔρδοις.
Καὶ τότε Μαιάδος υἱὸς ὑποσχόμενος κατένευσεν,
μή ποτ' ἀποκλέψειν, ὅσ' Ἑκηβόλος ἐκτεάτισται,
μηδέ ποτ' ἐμπελάσειν πυκινῷ δόμῳ· αὐτὰρ Ἀπόλλων
Λητοΐδης κατένευσεν ἐπ' ἀρθμῷ καὶ φιλότητι,
μή τινα φίλτερον ἄλλον ἐν ἀθανάτοισιν ἔσεσθαι,
μήτε θεὸν, μήτ' ἄνδρα, Διὸς γόνον· ἐν δὲ τέλειον
σύμβολον ἀθανάτων ποιήσομαι, ἠδ' ἅμα πάντων

πιστὸν ἐμῷ θυμῷ καὶ τίμιον· αὐτὰρ ἔπειτα
ὄλβου καὶ πλούτου δώσω περικαλλέα ῥάβδον,
χρυσείην, τριπέτηλον, ἀκήριον, ἥ σε φυλάξει,
πάντας ἐπικραίνουσα θεοὺς, ἐπέων τε καὶ ἔργων,
τῶν ἀγαθῶν, ὅσα φημὶ δαήμεναι ἐκ Διὸς ὀμφῆς.
μαντείην δὲ, φέριστε, Διοτρεφὲς, ἣν ἐρεείνεις,
οὔτε σὲ θέσφατόν ἐστι δαήμεναι, οὔτε τιν' ἄλλον
ἀθανάτων· τὸ γὰρ οἶδε Διὸς νόος· αὐτὰρ ἔγωγε
πιστωθεὶς κατένευσα, καὶ ὤμοσα καρτερὸν ὅρκον,
μή τινα νόσφιν ἐμεῖο θεῶν αἰειγενετάων
ἄλλον γ' εἴσεσθαι Ζηνὸς πυκινόφρονα βουλήν.
καὶ σὺ, κασίγνητε, χρυσόῤῥαπι, μή με κέλευε
θέσφατα πιφαύσκειν, ὅσα μήδεται εὐρύοπα Ζεύς.
ἀνθρώπων δ' ἄλλον δηλήσομαι, ἄλλον ὀνήσω,
πολλὰ περιτροπέων ἀμεγάρτων φῦλ' ἀνθρώπων.
καί κεν ἐμῆς ὀμφῆς ἀπονήσεται, ὅστις ἂν ἔλθῃ
φωνῇ καὶ πτερύγεσσι τεληέντων οἰωνῶν·
οὗτος ἐμῆς ὀμφῆς ἀπονήσεται, οὐδ' ἀπατήσω.
ὃς δέ κε μαψιλόγοισι πιθήσας οἰωνοῖσιν
μαντείην ἐθέλῃσι παρὲκ νόον ἐξερεείνειν
ἡμετέρην, νοέειν δὲ θεῶν πλέον αἰὲν ἐόντων,
φημὶ, ἁλίην ὁδὸν εἶσιν, ἐγὼ δέ κε δῶρα δεχοίμην.

ἄλλο δέ τοι ἐρέω, Μαίης ἐρικυδέος υἱέ
[καὶ Διὸς αἰγιόχοιο, θεῶν ἐριούνιε δαῖμον·]
Θριαὶ γάρ τινές εἰσι, κασίγνηται γεγαυῖαι,
παρθένοι, ὠκείῃσιν ἀγαλλόμεναι πτερύγεσσιν,
τρεῖς· κατὰ δὲ κρατὸς πεπαλαγμέναι ἄλφιτα λευκὰ

οἰκία ναιετάουσιν ὑπὸ πτυχὶ Παρνησοῖο
μαντείης ἀπάνευθε διδάσκαλοι, ἣν ἐπὶ βουσὶν
παῖς ἔτ' ἐὼν μελέτησα· πατὴρ δ' ἐμὸς οὐκ ἀλέγυνεν.
ἐντεῦθεν δὴ ἔπειτα ποτώμεναι ἄλλοτ' ἐπ' ἄλλῃ,
κηρία βόσκονται, καί τε κραίνουσιν ἕκαστα.
αἱ δ' ὅτε μὲν θυίωσιν ἐδηδυῖαι μέλι χλωρὸν,
προφρονέως ἐθέλουσιν ἀληθείην ἀγορεύειν·

ἣν δ' ἀπονοσφισθῶσι θεῶν ἡδεῖαν ἐδωδὴν,
πειρῶνται δὴ ἔπειτα παρὲξ ὁδὸν ἡγεμονεύειν.
τάς τοι ἔπειτα δίδωμι· σὺ δ' ἀτρεκέως ἐρεείνων,
σὴν αὐτοῦ φρένα τέρπε· καὶ εἰ βροτὸν ἄνδρα δαείης,
πολλάκι σῆς ὀμφῆς ἐπακούσεται, αἴ κε τύχῃσιν.
ταῦτ' ἔχε, Μαιάδος υἱὲ, καὶ ἀγραύλους ἕλικας βοῦς,
ἵππους τ' ἀμφιπόλευε καὶ ἡμιόνους ταλαεργοὺς

καὶ χαροποῖσι λέουσι καὶ ἀργιόδουσι σύεσσιν,
καὶ κυσὶ καὶ μήλοισιν, ὅσα τρέφει εὐρεῖα χθὼν,
πᾶσι δ' ἐπὶ προβάτοισιν ἀνάσσειν κύδιμον Ἑρμῆν·
οἶον δ' εἰς Ἀΐδην τετελεσμένον ἄγγελον εἶναι,
ὅστ', ἄδοτός περ ἐὼν, δώσει γέρας οὐκ ἐλάχιστον.

Οὕτω Μαιάδος υἱὸν ἄναξ ἐφίλησεν Ἀπόλλων
παντοίῃ φιλότητι· χάριν δ' ἐπέθηκε Κρονίων.

πᾶσι δ' ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ὁμιλεῖ.
παῦρα μὲν οὖν ὀνίνησι, τὸ δ' ἄκριτον ἠπεροπεύει
νύκτα δι' ὀρφναίην φῦλα θνητῶν ἀνθρώπων.

Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Μαιάδος υἱέ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Γ.

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

ΜΟΥΣΑ μοι ἔννεπε ἔργα πολυχρύσου Ἀφροδίτης,
Κύπριδος, ἥτε θεοῖσιν ἐπὶ γλυκὺν ἵμερον ὦρσεν,
καί τ' ἐδαμάσσατο φῦλα καταθνητῶν ἀνθρώπων,
οἰωνούς τε Διϊπετέας καὶ θηρία πάντα,
ἠμὲν ὅσ' ἤπειρος πολλὰ τρέφει, ἠδ' ὅσα πόντος·
πᾶσιν δ' ἔργα μέμηλεν ἐϋστεφάνου Κυθερείης.
Τρισσὰς δ' οὐ δύναται πεπιθεῖν φρένας, οὐδ' ἀπατῆσαι

κούρην τ' αἰγιόχοιο Διὸς, γλαυκῶπιδ' Ἀθήνην·
οὐ γάρ οἱ εὔαδεν ἔργα πολυχρύσου Ἀφροδίτης,
ἀλλ' ἄρα οἱ πόλεμοί τε ἅδον καὶ ἔργον Ἄρηος,
ὑσμῖναί τε μάχαι τε, καὶ ἀγλαὰ ἔργ' ἀλεγύνειν.

πρώτη τέκτονας ἄνδρας ἐπιχθονίους ἐδίδαξεν
ποιῆσαι σατίνας τε καὶ ἅρματα ποικίλα χαλκῷ.

ἡ δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν
ἀγλαὰ ἔργ' ἐδίδαξεν, ἐπὶ φρεσὶ θεῖσα ἑκάστῃ.
οὐδὲ ποτ' Ἄρτεμιδα χρυσηλάκατον, κελαδεινὴν,
δάμναται ἐν φιλότητι φιλομμειδὴς Ἀφροδίτη.
καὶ γὰρ τῇ ἅδε τόξα, καὶ οὔρεσι θῆρας ἐναίρειν,
φόρμιγγές τε χοροί τε, διαπρύσιοί τ' ὀλολυγαὶ,
ἄλσεά τε σκιόεντα, δικαίων τε πτόλις ἀνδρῶν.
οὐδὲ μὲν αἰδοίῃ κούρῃ ἅδεν ἔργ' Ἀφροδίτης,
Ἱστίῃ, ἣν πρώτην τέκετο Κρόνος ἀγκυλομήτης,
[αὖτις δ' ὁπλοτάτην, βουλῇ Διὸς αἰγιόχοιο,]
πότνιαν, ἣν ἐμνῶντο Ποσειδάων καὶ Ἀπόλλων·
ἡ δὲ μάλ' οὐκ ἔθελεν, ἀλλὰ στερεῶς ἀπέειπεν,
ὤμοσε δὲ μέγαν ὅρκον, ὃ δὴ τετελεσμένος ἐστὶν,
ἁψαμένη κεφαλῆς πατρὸς Διὸς αἰγιόχοιο,
παρθένος ἔσσεσθαι πάντ' ἤματα, δῖα θεάων.
τῇ δὲ πατὴρ δῶκεν καλὸν γέρας ἀντὶ γάμοιο,
καί τε μέσῳ οἴκῳ κατ' ἄρ' ἕζετο, πῖαρ ἑλοῦσα·
πᾶσιν δ' ἐν νηοῖσι θεῶν τιμάοχός ἐστιν,
καὶ παρὰ πᾶσι βροτοῖσι θεῶν πρέσβειρα τέτυκται.
Τάων οὐ δύναται πεπιθεῖν φρένας, οὐδ' ἀπατῆσαι·
τῶν δ' ἄλλων οὔ πέρ τι πεφυγμένον ἔστ' Ἀφροδίτην,
οὔτε θεῶν μακάρων, οὔτε θνητῶν ἀνθρώπων·
καί τε παρὲκ Ζηνὸς νόον ἤγαγε τερπικεραύνου,
ὅστε μέγιστός τ' ἐστὶ, μεγίστης τ' ἔμμορε τιμῆς·
καί τε τοῦ, εὖτ' ἐθέλῃ, πυκινὰς φρένας ἐξαπαφοῦσα
ῥηϊδίως συνέμιξε καταθνητῇσι γυναιξὶν,
Ἥρης ἐκλελαθοῦσα, κασιγνήτης, ἀλόχου τε,
ἣ μέγα εἶδος ἀρίστη ἐν ἀθανάτῃσι θεῇσιν.

κυδίστην δ' ἄρα μιν τέκετο Κρόνος ἀγκυλομήτης,
μήτηρ τε Ῥείη· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
αἰδοίην ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν.

Τῇ δὲ καὶ αὐτῇ Ζεὺς γλυκὺν ἵμερον ἔμβαλε θυμῷ,
ἀνδρὶ καταθνητῷ μιχθήμεναι, ὄφρα τάχιστα
μηδ' αὐτὴ βροτέης εὐνῆς ἀποεργμένη εἴη,
καί ποτ' ἐπευξαμένη εἴπῃ μετὰ πᾶσι θεοῖσιν,
ἡδὺ γελοιήσασα, φιλομμειδὴς Ἀφροδίτη,
ὥς ῥα θεοὺς συνέμιξε καταθνητῇσι γυναιξὶν
καί τε καταθνητοὺς υἱεῖς τέκον ἀθανάτοισιν,
ὥς τε θεὰς συνέμιξε καταθνητοῖς ἀνθρώποις.
Ἀγχίσεω δ' ἄρα οἱ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ,
ὃς τότ' ἐν ἀκροπόλοις ὄρεσιν πολυπιδάκου Ἴδης
βουκολέεσκεν βοῦς, δέμας ἀθανάτοισιν ἐοικώς.
Τὸν δὴ ἔπειτα ἰδοῦσα φιλομμειδὴς Ἀφροδίτη
ἠράσατ', ἐκπάγλως δὲ κατὰ φρένας ἵμερος εἷλεν.
ἐς Κύπρον δ' ἐλθοῦσα, θυώδεα νηὸν ἔδυνεν,
[ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος, βωμός τε θυώδης·
ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς·]
ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ
ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας.
[ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν.]
ἑσσαμένη δ' εὖ πάντα περὶ χροῒ εἵματα καλὰ,
χρυσῷ κοσμηθεῖσα, φιλομμειδὴς Ἀφροδίτη
σεύατ' ἐπὶ Τροίην, προλιποῦσ' εὐώδεα Κύπρον,
ὕψι μετὰ νεφέεσσι θοῶς πρήσσουσα κέλευθον.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν·
βῆ δ' ἰθὺς σταθμοῖο δι' οὔρεος· οἱ δὲ μετ' αὐτὴν
σαίνοντες πολιοί τε λύκοι, χαροποί τε λέοντες,
ἄρκτοι, παρδάλιές τε θοαὶ, προκάδων ἀκόρητοι,
ἤϊσαν· ἡ δ' ὁρόωσα μετὰ φρεσὶ τέρπετο θυμὸν,
καὶ τοῖς ἐν στήθεσσι βάλ' ἵμερον· οἱ δ' ἅμα πάντες
σύνδυο κοιμήσαντο κατὰ σκιόεντας ἐναύλους.
αὐτὴ δ' ἐς κλισίας εὐποιήτους ἀφίκανεν.
τὸν δ' εὗρε σταθμοῖσι λελειμμένον, οἶον ἀπ' ἄλλων,

Ἀγχίσην ἥρωα, θεῶν ἄπο κάλλος ἔχοντα.
οἱ δ' ἅμα βουσὶν ἕποντο νομοὺς κάτα ποιήεντας
πάντες· ὁ δὲ σταθμοῖσι λελειμμένος, οἶος ἀπ' ἄλλων,
πωλεῖτ' ἔνθα καὶ ἔνθα, διαπρύσιον κιθαρίζων.
στῆ δ' αὐτοῦ προπάροιθε Διὸς θυγάτηρ Ἀφροδίτη,
παρθένῳ ἀδμήτῃ μέγεθος καὶ εἶδος ὁμοίη,
μή μιν ταρβήσειεν ἐν ὀφθαλμοῖσι νοήσας.
Ἀγχίσης δ' ὁρόων ἐφράζετο, θάμβαινέν τε,
εἶδός τε μέγεθός τε καὶ εἵματα σιγαλόεντα.
πέπλον μὲν γὰρ ἕεστο φαεινότερον πυρὸς αὐγῆς,
εἶχε δ' ἐπιγναμπτὰς ἕλικας, κάλυκάς τε φαεινάς.
ὅρμοι δ' ἀμφ' ἁπαλῇ δειρῇ περικαλλέες ἦσαν,
καλοί, χρύσειοι, παμποίκιλοι· ὡς δὲ σελήνη,
στήθεσιν ἀμφ' ἁπαλοῖσιν ἐλάμπετο, θαῦμα ἰδέσθαι.
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος δέ μιν ἀντίον ηὔδα·
  Χαῖρε, ἄνασσ', ἥτις μακάρων τάδε δώμαθ' ἱκάνεις,
Ἄρτεμις ἢ Λητὼ, ἠὲ χρυσέη Ἀφροδίτη,
ἢ Θέμις ἠϋγενὴς, ἠὲ γλαυκῶπις Ἀθήνη,
ἤ πού τις Χαρίτων δεῦρ' ἤλυθες, αἵτε θεοῖσιν
πᾶσιν ἑταιρίζουσι, καὶ ἀθάνατοι καλέονται·
ἤ τις Νυμφάων, αἵτ' ἄλσεα καλὰ νέμονται,
[ἢ Νυμφέων, αἳ καλὸν ὄρος τόδε ναιετάουσιν,]
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
σοὶ δ' ἐγὼ ἐν σκοπιῇ, περιφαινομένῳ ἐνὶ χώρῳ,
βωμὸν ποιήσω, ῥέξω δέ τοι ἱερὰ καλὰ
ὥρῃσιν πάσῃσι· σὺ δ' εὔφρονα θυμὸν ἔχουσα
δός με μετὰ Τρώεσσιν ἀριπρεπέ' ἔμμεναι ἄνδρα·
ποίει δ' εἰσοπίσω θαλερὸν γόνον, αὐτὰρ ἔμ' αὐτὸν
δηρὸν ἐῢ ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο,
ὄλβιον ἐν λαοῖς, καὶ γήραος οὐδὸν ἱκέσθαι.
  Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε χαμαιγενέων ἀνθρώπων,
οὔτις τοι θεός εἰμι· τί μ' ἀθανάτῃσιν ἐΐσκεις;
ἀλλὰ καταθνητή τε, γυνὴ δέ με γείνατο μήτηρ.
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὀνομακλυτὸς, εἴ που ἀκούεις,
ὃς πάσης Φρυγίης εὐτειχήτοιο ἀνάσσει·

γλῶσσαν δ' ὑμετέρην τε καὶ ἡμετέρην σάφα οἶδα.
Τρῳὰς γὰρ μεγάρῳ με τροφὸς τρέφεν· ἡ δὲ διὰ πρὸ
σμικρὴν παῖδ' ἀτίταλλε, φίλης παρὰ μητρὸς ἑλοῦσα.
[ὣς ἤτοι γλῶσσάν γε καὶ ὑμετέρην εὖ οἶδα.]
νῦν δέ μ' ἀνήρπαξε χρυσόῤῥαπις Ἀργειφόντης
ἐκ χοροῦ Ἀρτέμιδος χρυσηλακάτου, κελαδεινῆς·
πολλαὶ δὲ νύμφαι καὶ παρθένοι ἀλφεσίβοιαι
παίζομεν, ἀμφὶ δ' ὅμιλος ἀπείριτος ἐστεφάνωτο·
ἔνθεν μ' ἥρπαξε χρυσόῤῥαπις Ἀργειφόντης,
πολλὰ δ' ἔπ' ἤγαγεν ἔργα καταθνητῶν ἀνθρώπων,
πολλὴν δ' ἄκληρόν τε καὶ ἄκτιτον, ἣν διὰ θῆρες
ὠμοφάγοι φοιτῶσι κατὰ σκιόεντας ἐναύλους·
οὐδὲ ποσὶ ψαύειν ἐδόκουν φυσιζόου αἴης·
Ἀγχίσεω δέ με φάσκε παραὶ λέχεσιν καλέεσθαι
κουριδίην ἄλοχον, σοὶ δ' ἀγλαὰ τέκνα τεκεῖσθαι.
αὐτὰρ ἐπειδὴ δεῖξε καὶ ἔφρασεν, ἤτοι ὅγ' αὖτις
ἀθανάτων μετὰ φῦλ' ἀπέβη κρατὺς Ἀργειφόντης·
αὐτὰρ ἐγώ σ' ἱκόμην, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι ἠδὲ τοκήων
ἐσθλῶν· οὐ μὲν γάρ κε κακοὶ τοιόνδε τέκοιεν·
ἀδμήτην μ' ἀγαγὼν καὶ ἀπειρήτην φιλότητος,
πατρί τε σῷ δεῖξον καὶ μητέρι κέδν' εἰδυίῃ,
σοῖς τε κασιγνήτοις, οἵ τοι ὁμόθεν γεγάασιν,
[οὔ σφιν ἀεικελίη νυὸς ἔσσομαι, ἀλλ' εἰκυῖα·]
εἴ τοι ἀεικελίη γυνὴ ἔσσομαι, ἠὲ καὶ οὐκί.
πέμψαι δ' ἄγγελον ὦκα μετὰ Φρύγας αἰολοπώλους,
εἰπεῖν πατρί τ' ἐμῷ καὶ μητέρι κηδομένῃ περ·
οἱ δέ κέ τοι χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντὴν
πέμψουσιν· σὺ δὲ πολλὰ καὶ ἀγλαὰ δέχθαι ἄποινα.
ταῦτα δὲ ποιήσας, δαίνυ γάμον ἱμερόεντα,
τίμιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν.
  Ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ·
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
  Εἰ μὲν θνητή γ' ἐσσί, γυνὴ δέ σε γείνατο μήτηρ,
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὀνομακλυτὸς, ὡς ἀγορεύεις,
ἀθανάτοιο δ' ἕκητι διακτόρου ἐνθάδ' ἱκάνεις,

Ἑρμέω, ἐμὴ δ' ἄλοχος κεκλήσεαι ἤματα πάντα·
οὔτις ἔπειτα θεῶν οὔτε θνητῶν ἀνθρώπων
ἐνθάδε με σχήσει, πρὶν σῇ φιλότητι μιγῆναι
αὐτίκα νῦν· οὐδ' εἴ κεν ἑκηβόλος αὐτὸς Ἀπόλλων
τόξου ἀπ' ἀργυρέου προΐοι βέλεα στονόεντα.
βουλοίμην κεν ἔπειτα, γύναι εἰκυῖα θεῇσιν,
σῆς εὐνῆς ἐπιβὰς, δῦναι δόμον Ἄϊδος εἴσω.
Ὣς εἰπὼν, λάβε χεῖρα· φιλομμειδὴς δ' Ἀφροδίτη
ἕρπε μεταστρεφθεῖσα, κατ' ὄμματα καλὰ βαλοῦσα,
ἐς λέχος εὔστρωτον, ὅθι περ πάρος ἔσκεν ἄνακτι
χλαίνῃσιν μαλακῇς ἐστρωμένον· αὐτὰρ ὕπερθεν
ἄρκτων δέρματ' ἔκειτο, βαρυφθόγγων τε λεόντων,
τοὺς αὐτὸς κατέπεφνεν ἐν οὔρεσιν ὑψηλοῖσιν.
οἱ δ' ἐπεὶ οὖν λεχέων εὐποιήτων ἐπέβησαν,
κόσμον μέν οἱ πρῶτον ἀπὸ χροὸς εἷλε φαεινὸν,
πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε καὶ ὅρμους·
λῦσε δέ οἱ ζώνην, ἰδὲ εἵματα σιγαλόεντα
ἔκδυε, καὶ κατέθηκεν ἐπὶ θρόνου ἀργυροήλου
Ἀγχίσης· ὁ δ' ἔπειτα, θεῶν ἰότητι καὶ αἴσῃ,
ἀθανάτῃ παρέλεκτο θεᾷ βροτὸς, οὐ σάφα εἰδώς.
Ἦμος δ' ἂψ εἰς αὖλιν ἀποκλίνουσι νομῆες
βοῦς τε καὶ ἴφια μῆλα νομῶν ἐξ ἀνθεμοέντων,
τῆμος ἄρ' Ἀγχίσῃ μὲν ἐπὶ γλυκὺν ὕπνον ἔχευεν
νήδυμον, αὐτὴ δὲ χροῒ ἕννυτο εἵματα καλά.
ἑσσαμένη δ' εὖ πάντα περὶ χροῒ δῖα θεάων,
ἔστη πὰρ κλισίῃ· εὐποιήτου δὲ μελάθρου
κῦρε κάρη· κάλλος δὲ παρειάων ἀπέλαμπεν
ἄμβροτον, οἷόν τ' ἐστὶν ἐϋστεφάνου Κυθερείης·
ἐξ ὕπνου δ' ἀνέγειρεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὄρσεο, Δαρδανίδη· τί νυ νήγρετον ὕπνον ἰαύεις;
καὶ φράσαι, εἴ τι ὁμοίη ἐγὼν ἰνδάλλομαι εἶναι,
οἵην δή με τὸ πρῶτον ἐν ὀφθαλμοῖσι νόησας.
Ὣς φάθ'· ὁ δ' ἐξ ὕπνοιο μάλ' ἐμμαπέως ὑπάκουσεν.
ὡς δὲ ἴδεν δειρήν τε καὶ ὄμματα κάλ' Ἀφροδίτης,
τάρβησέν τε καὶ ὄσσε παρακλιδὸν ἔτραπεν ἄλλῃ·
ἂψ δ' αὖτις χλαίνῃ τ' ἐκαλύψατο καλὰ πρόσωπα,

καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Αὐτίκα σ' ὡς τὰ πρῶτα, θεά, ἴδον ὀφθαλμοῖσιν,
ἔγνων, ὡς θεὸς ἦσθα· σὺ δ' οὐ νημερτὲς ἔειπες.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι αἰγιόχοιο,
μή με ζῶντ' ἀμενηνὸν ἐν ἀνθρώποισιν ἐάσης
ναίειν, ἀλλ' ἐλέαιρ'· ἐπεὶ οὐ βιοθάλμιος ἀνὴρ
γίγνεται, ὅστε θεαῖς εὐνάζεται ἀθανάτῃσιν.
Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε καταθνητῶν ἀνθρώπων,
θάρσει, μηδέ τι σῇσι μετὰ φρεσὶ δείδιθι λίην.
οὐ γάρ τοί τι δέος, παθέειν κακὸν ἐξ ἐμέθεν γε,
οὐδ' ἄλλων μακάρων· ἐπειὴ φίλος ἐσσὶ θεοῖσιν.
σοὶ δ' ἔσται φίλος υἱὸς, ὃς ἐν Τρώεσσιν ἀνάξει·
καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται.

τῷ δὲ καὶ Αἰνείας ὄνομ' ἔσσεται, οὕνεκά μ' αἰνὸν
ἔσχεν ἄχος, ἕνεκα βροτοῦ ἀνέρος ἔμπεσον εὐνῇ.

ἀγχίθεοι δὲ μάλιστα καταθνητῶν ἀνθρώπων
αἰεὶ ἀφ' ὑμετέρης γενεῆς εἶδός τε φυήν τε.
ἤτοι μὲν ξανθὸν Γανυμήδεα μητίετα Ζεὺς
ἥρπασ' ἑὸν διὰ κάλλος, ἵν' ἀθανάτοισι μετείη,
καί τε Διὸς κατὰ δῶμα θεοῖς ἐπιοινοχοεύοι,
θαῦμα ἰδεῖν, πάντεσσι τετιμένος ἀθανάτοισιν,
χρυσέου ἐκ κρητῆρος ἀφύσσων νέκταρ ἐρυθρόν.
Τρῶα δὲ πένθος ἄλαστον ἔχε φρένας, οὐδέ τι ᾔδει,
ὅππῃ οἱ φίλον υἱὸν ἀνήρπασε θέσπις ἄελλα·
τὸν δὴ ἔπειτα γόασκε διαμπερὲς ἤματα πάντα.
καί μιν Ζεὺς ἐλέησε, δίδου δέ οἱ υἷος ἄποινα,
ἵππους ἀρσίποδας, τοίτ' ἀθανάτους φορέουσιν.
τούς οἱ δῶρον ἔδωκεν ἔχειν· εἶπεν δὲ ἕκαστα,
Ζηνὸς ἐφημοσύνῃσι, διάκτορος Ἀργειφόντης,
ὡς ἔοι ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα.
αὐτὰρ ἐπειδὴ Ζηνὸς ὅγ' ἔκλυεν ἀγγελιάων,
οὐκέτ' ἔπειτα γόασκε, γεγήθει δὲ φρένας ἔνδον·
γηθόσυνος δ' ἵπποισιν ἀελλοπόδεσσιν ὀχεῖτο.

ὡς δ' αὖ Τιθωνὸν χρυσόθρονος ἥρπασεν Ἠὼς,
ὑμετέρης γενεῆς, ἐπιείκελον ἀθανάτοισιν.
βῆ δ' ἴμεν αἰτήσουσα κελαινεφέα Κρονίωνα,
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα·
τῇ δὲ Ζεὺς ἐπένευσε, καὶ ἐκρήηνεν ἐέλδωρ·
νηπίη, οὐδ' ἐνόησε μετὰ φρεσὶ πότνια Ἠὼς
ἥβην αἰτῆσαι, ξῦσαί τ' ἀπὸ γῆρας ὀλοιόν.
τὸν δ' ἤτοι εἵως μὲν ἔχεν πολυήρατος ἥβη,
Ἠοῖ τερπόμενος χρυσοθρόνῳ, ἠριγενείῃ,
ναῖε παρ' Ὠκεανοῖο ῥοῇς ἐπὶ πείρασι γαίης.
αὐτὰρ ἐπεὶ πρῶται πολιαὶ κατέχυντο ἔθειραι
καλῆς ἐκ κεφαλῆς, εὐηγενέος τε γενείου,
τοῦ δ' ἤτοι εὐνῆς μὲν ἀπείχετο πότνια Ἠὼς,
αὐτὸν δ' αὖτ' ἀτίταλλεν, ἐνὶ μεγάροισιν ἔχουσα,
σίτῳ τ' ἀμβροσίῃ τε, καὶ εἵματα καλὰ διδοῦσα.
ἀλλ' ὅτε δὴ πάμπαν στυγερὸν κατὰ γῆρας ἔπειγεν,
οὐδέ τι κινῆσαι μελέων δύνατ', οὐδ' ἀναεῖραι,
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
ἐν θαλάμῳ κατέθηκε, θύρας δ' ἐπέθηκε φαεινάς·
τοῦ δ' ἤτοι φωνὴ ῥέει ἄσπετος, οὐδέ τι κίκυς
ἔσθ', οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐκ ἂν ἔγωγέ σε τοῖον ἐν ἀθανάτοισιν ἑλοίμην
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα.
ἀλλ' εἰ μὲν τοιοῦτος ἐὼν εἶδός τε δέμας τε
ζώοις, ἡμέτερός τε πόσις κεκλημένος εἴης,
οὐκ ἂν ἔπειτά μ' ἄχος πυκινὰς φρένας ἀμφικαλύπτοι.
νῦν δέ σε μὲν τάχα γῆρας ὁμοίιον ἀμφικαλύψει
νηλειὲς, τό,τ' ἔπειτα παρίσταται ἀνθρώποισιν,
οὐλόμενον, καματηρὸν, ὅ,τε στυγέουσι θεοί περ.
αὐτὰρ ἐμοὶ μέγ' ὄνειδος ἐν ἀθανάτοισι θεοῖσιν
ἔσσεται ἤματα πάντα διαμπερὲς εἵνεκα σεῖο,
οἳ πρὶν ἐμοὺς ὀάρους καὶ μήτιας, αἷς ποτὲ πάντας
ἀθανάτους συνέμιξα καταθνητῇσι γυναιξὶν,
τάρβεσκον—πάντας γὰρ ἐμὸν δάμνασκε νόημα—
νῦν δὲ δὴ οὐκέτι μοι στόμα χείσεται ἐξονομῆναι
τοῦτο μετ' ἀθανάτοισιν· ἐπεὶ μάλα πολλὸν ἀάσθην,

σχέτλιον, οὐκ ὀνομαστὸν, ἀπεπλάγχθην δὲ νόοιο,
παῖδα δ' ὑπὸ ζώνῃ ἐθέμην, βροτῷ εὐνηθεῖσα.
τὸν μὲν, ἐπὴν δὴ πρῶτον ἴδῃ φάος ἠελίοιο,
Νύμφαι μιν θρέψουσιν ὀρεσκῷοι, βαθύκολποι,
αἳ τόδε ναιετάουσιν ὄρος μέγα τε ζάθεόν τε,
αἵ ῥ' οὔτε θνητοῖς οὔτ' ἀθανάτοισιν ἕπονται·
δηρὸν μὲν ζώουσι, καὶ ἄμβροτον εἶδαρ ἔδουσιν,
καί τε μετ' ἀθανάτοις καλὸν χορὸν ἐῤῥώσαντο.
τῇσι δὲ Σειληνοὶ καὶ ἐΰσκοπος Ἀργειφόντης
μίσγοντ' ἐν φιλότητι μυχῷ σπείων ἐροέντων.
τῇσι δ' ἅμ' ἢ ἐλάται ἠὲ δρύες ὑψικάρηνοι
γεινομένῃσιν ἔφυσαν ἐπὶ χθονὶ βωτιανείρῃ,
καλαὶ, τηλεθάουσαι, ἐν οὔρεσιν ὑψηλοῖσιν.

ἑστᾶσ' ἠλίβατοι· τεμένη δέ ἑ κικλήσκουσιν
ἀθανάτων, τὰς δ' οὔτι βροτοὶ κείρουσι σιδήρῳ.

ἀλλ' ὅτε κεν δὴ Μοῖρα παρεστήκῃ θανάτοιο,
ἀζάνεται μὲν πρῶτον ἐπὶ χθονὶ δένδρεα καλὰ,
φλοιὸς δ' ἀμφιπεριφθινύθει, πίπτουσι δ' ἀπ' ὄζοι·
τῶν δέ θ' ὁμοῦ ψυχὴ λείπει φάος ἠελίοιο.
ταὶ μὲν ἐμὸν θρέψουσι παρὰ σφίσιν υἱὸν ἔχουσαι.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἕλῃ πολυήρατος ἥβη,
ἄξουσίν τοι δεῦρο θεαὶ, δείξουσί τε παῖδα.

σοὶ δ' ἐγὼ, ὄφρα κε ταῦτα μετὰ φρεσὶ πάντα διέλθω,
ἐς πέμπτον ἔτος αὖτις ἐλεύσομαι υἱὸν ἄγουσα.

τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδῃς θάλος ὀφθαλμοῖσιν,
γηθήσεις ὁρόων—μάλα γὰρ θεοείκελος ἔσται—
ἄξεις δ' αὐτίκα μιν ποτὶ Ἴλιον ἠνεμόεσσαν.
ἢν δέ τις εἴρηταί σε καταθνητῶν ἀνθρώπων,
ἥτις τοι φίλον υἱὸν ὑπὸ ζώνῃ θέτο μήτηρ,
τῷ δὲ σὺ μυθεῖσθαι μεμνημένος, ὥς σε κελεύω·
φάσθαι τοι Νύμφης καλυκώπιδος ἔκγονον εἶναι,
αἳ τόδε ναιετάουσιν ὄρος, καταειμένον ὕλῃ.

εἰ δέ κεν ἐξείπῃς καὶ ἐπεύξεαι ἄφρονι θυμῷ,
ἐν φιλότητι μιγῆναι ἐϋστεφάνῳ Κυθερείῃ,
Ζεύς σε χολωσάμενος βαλέει ψολόεντι κεραυνῷ.
εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῇσι νοήσας,
ἴσχεο, μηδ' ὀνόμαινε, θεῶν δ' ἐποπίζεο μῆνιν.
Ὣς εἰποῦσ', ἤϊξε πρὸς οὐρανὸν ἠνεμόεντα.

Χαῖρε, θεὰ, Κύπροιο ἐϋκτιμένης μεδέουσα·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

Δ.

ΕΙΣ ΔΗΜΗΤΡΑΝ.

ΔΗΜΗΤΡ' ἠΰκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν,
αὐτὴν, ἠδὲ θύγατρα τανύσφυρον, ἣν Ἀϊδωνεὺς
ἥρπαξεν, δῶκεν δὲ βαρύκτυπος εὐρύοπα Ζεὺς,
νόσφιν Δήμητρος χρυσαόρου, ἀγλαοκάρπου,
παίζουσαν κούρῃσι σὺν Ὠκεανοῦ βαθυκόλποις,
ἄνθεά τ' αἰνυμένην, ῥόδα καὶ κρόκον ἠδ' ἴα καλὰ,
λειμῶν' ἂμ μαλακὸν, καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον,
νάρκισσόν θ', ὃν φῦσε δόλον καλυκώπιδι κούρῃ
Γαῖα, Διὸς βουλῇσι, χαριζομένη Πολυδέκτῃ,
θαυμαστὸν γανόωντα, σέβας δέ τε πᾶσιν ἰδέσθαι
ἀθανάτοις τε θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·
τοῦ καὶ ἀπὸ ῥίζης ἑκατὸν κάρα ἐξεπεφύκει·
κηώδει δ' ὀδμῇ πᾶς τ' οὐρανὸς εὐρὺς ὕπερθεν
γαῖά τε πᾶσ' ἐγέλασσε καὶ ἁλμυρὸν οἶδμα θαλάσσης.
ἡ δ' ἄρα θαμβήσασ' ὠρέξατο χερσὶν ἅμ' ἄμφω
καλὸν ἄθυρμα λαβεῖν· χάνε δὲ χθὼν εὐρυάγυια
Νύσιον ἂμ πεδίον, τῇ ὄρουσεν ἄναξ Πολυδέγμων
ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.
ἁρπάξας δ' ἀέκουσαν ἐπὶ χρυσέοισιν ὄχοισιν
ἦγ' ὀλοφυρομένην· ἰάχησε δ' ἄρ' ὄρθια φωνῇ,
κεκλομένη πατέρα Κρονίδην ὕπατον καὶ ἄριστον.

οὐδέ τις ἀθανάτων, οὔτε θνητῶν ἀνθρώπων
ἤκουσεν φωνῆς, οὐδ' ἀγλαόκαρποι ἑταῖραι·
εἰ μὴ Περσαίου θυγάτηρ ἀταλὰ φρονέουσα
ἄϊεν ἐξ ἄντρου, Ἑκάτη λιπαροκρήδεμνος,
Ἠέλιός τε ἄναξ, Ὑπερίονος ἀγλαὸς υἱὸς,
κούρης κεκλομένης πατέρα Κρονίδην· ὁ δὲ νόσφιν
ἧστο θεῶν ἀπάνευθε πολυλλίστῳ ἐνὶ νηῷ,
δέγμενος ἱερὰ καλὰ παρὰ θνητῶν ἀνθρώπων.
Τὴν δ' ἀεκαζομένην ἦγεν Διὸς ἐννεσίῃσιν
πατροκασίγνητος, πολυσημάντωρ Πολυδέγμων,
ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.
ὄφρα μὲν οὖν γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα
λεῦσσε θεὰ, καὶ πόντον ἀγάῤῥοον ἰχθυόεντα,
αὐγάς τ' ἠελίου, ἔτι δ' ἤλπετο μητέρα κεδνὴν
ὄψεσθαι, καὶ φῦλα θεῶν αἰειγενετάων·
τόφρα οἱ ἐλπὶς ἔθελγε μέγαν νόον, ἀχνυμένης περ

ἤχησαν δ' ὀρέων κορυφαὶ καὶ βένθεα πόντου
φωνῇ ὑπ' ἀθανάτῃ· τῆς δ' ἔκλυε πότνια μήτηρ.
ὀξὺ δέ μιν κραδίην ἄχος ἔλλαβεν· ἀμφὶ δὲ χαίταις
ἀμβροσίαις κρήδεμνα δαΐζετο χερσὶ φίλῃσιν·
κυάνεον δὲ κάλυμμα κατ' ἀμφοτέρων βάλετ' ὤμων,
σεύατο δ', ὥστ' οἰωνὸς, ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
μαιομένη. τῇ δ' οὔτις ἐτήτυμα μυθήσασθαι
ἤθελεν, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων,
οὐδ' οἰωνῶν τις τῇ ἐτήτυμος ἄγγελος ἦλθεν.
ἐννῆμαρ μὲν ἔπειτα κατὰ χθόνα πότνια Δηὼ
στρωφᾶτ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα·
οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἡδυπότοιο
πάσσατ' ἀκηχεμένη, οὐδὲ χρόα βάλλετο λουτροῖς.
ἀλλ' ὅτε δὴ δεκάτη οἱ ἐπήλυθε φαινολὶς ἠὼς,
ἤντετό οἱ Ἑκάτη, σέλας ἐν χείρεσσιν ἔχουσα,
καί ῥά οἱ ἀγγελέουσα ἔπος φάτο, φώνησέν τε·
Πότνια Δήμητερ, ὡρηφόρε, ἀγλαόδωρε,
τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων
ἥρπασε Περσεφόνην, καὶ σὸν φίλον ἤκαχε θυμόν;

φωνῆς γὰρ ἤκουσ', ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν,
ὅστις ἔην· σοὶ δ' ὦκα λέγω νημερτέα πάντα

Ὣς ἄρ' ἔφη Ἑκάτη· τὴν δ' οὐκ ἠμείβετο μύθῳ
Ῥείης ἠϋκόμου θυγάτηρ, ἀλλ' ὦκα σὺν αὐτῇ
ἤϊξ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα.
Ἠέλιον δ' ἵκοντο, θεῶν σκοπὸν ἠδὲ καὶ ἀνδρῶν,
στὰν δ' ἵππων προπάροιθε, καὶ εἴρετο δῖα θεάων·
Ἠέλι', αἴδεσσαί με θεὰς ὕπερ, εἴ ποτε δή σευ
ἢ ἔπει ἢ ἔργῳ κραδίην καὶ θυμὸν ἴηνα·
κούρην, τὴν ἔτεκον, γλυκερὸν θάλος, εἴδεϊ κυδρὴν,
τῆς ἀδινὴν ὄπ' ἄκουσα δι' αἰθέρος ἀτρυγέτοιο
ὥστε βιαζομένης, ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν.
ἀλλὰ—σὺ γὰρ δὴ πᾶσαν ἐπὶ χθόνα καὶ κατὰ πόντον
αἰθέρος ἐκ δίης καταδέρκεαι ἀκτίνεσσιν—
νημερτέως μοι ἔνισπε, φίλον τέκος, εἴ που ὄπωπας,
ὅστις νόσφιν ἐμεῖο λαβὼν ἀέκουσαν ἀνάγκῃ
οἴχεται, ἠὲ θεῶν ἢ καὶ θνητῶν ἀνθρώπων.
Ὣς φάτο· τὴν δ' Ὑπεριονίδης ἠμείβετο μύθῳ·
Ῥείης ἠϋκόμου θύγατερ, Δήμητερ ἄνασσα,
εἰδήσεις· δὴ γὰρ μέγα ἅζομαι ἠδ' ἐλεαίρω
ἀχνυμένην περὶ παιδὶ τανυσφύρῳ· οὐδέ τις ἄλλος
αἴτιος ἀθανάτων, εἰ μὴ νεφεληγερέτα Ζεὺς,
ὅς μιν ἔδωκ' Ἀΐδῃ θαλερὴν κεκλῆσθαι ἄκοιτιν,
αὐτοκασιγνήτῳ· ὁ δ' ὑπὸ ζόφον ἠερόεντα
ἁρπάξας ἵπποισιν ἄγεν μεγάλα ἰάχουσαν.
ἀλλὰ, θεὰ, κατάπαυε μέγαν γόον· οὐδέ τί σε χρὴ
μὰψ αὔτως ἄπλητον ἔχειν χόλον· οὔ τοι ἀεικὴς
γαμβρὸς ἐν ἀθανάτοις πολυσημάντωρ Ἀϊδωνεὺς,
αὐτοκασίγνητος καὶ ὁμόσπορος, ἀμφὶ δὲ τιμὴν
ἔλλαχεν, ὡς τὰ πρῶτα διάτριχα δασμὸς ἐτύχθη·
τοῖς μέτα ναιετάει, τῶν ἔλλαχε κοίρανος εἶναι.
Ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα, τανύπτεροι ὥστ' οἰωνοί.
τὴν δ' ἄχος αἰνότερον καὶ κύντερον ἵκετο θυμόν.
χωσαμένη δὴ ἔπειτα κελαινεφέϊ Κρονίωνι,

νοσφισθεῖσα θεῶν ἀγορὴν καὶ μακρὸν Ὄλυμπον,
ᾤχετ' ἐπ' ἀνθρώπων πόλιας καὶ πίονα ἔργα,
εἶδος ἀμαλδύνουσα πολὺν χρόνον· οὐδέ τις ἀνδρῶν
εἰσορόων γίγνωσκε, βαθυζώνων τε γυναικῶν,
πρίν γ' ὅτε δὴ Κελεοῖο δαΐφρονος ἵκετο δῶμα,
ὃς τότ' Ἐλευσῖνος θυοέσσης κοίρανος ἦεν.
Ἕζετο δ' ἐγγὺς ὁδοῖο, φίλον τετιημένη ἦτορ,
Παρθενίῳ φρέατι, ὅθεν ὑδρεύοντο πολῖται,
ἐν σκιῇ, αὐτὰρ ὕπερθε πεφύκει θάμνος ἐλαίης,
γρηῒ παλαιγενέϊ ἐναλίγκιος, ἥτε τόκοιο
εἴργηται, δώρων τε φιλοστεφάνου Ἀφροδίτης,
οἷαί τε τροφοί εἰσι θεμιστοπόλων βασιλήων
παίδων, καὶ ταμίαι κατὰ δώματα ἠχήεντα.
τὴν δὲ ἴδον Κελεοῖο Ἐλευσινίδαο θύγατρες,
ἐρχόμεναι μεθ' ὕδωρ εὐήρυτον, ὄφρα φέροιεν
κάλπισι χαλκείῃσι φίλα πρὸς δώματα πατρὸς,
τέσσαρες, ὥστε θεαὶ, κουρήϊον ἄνθος ἔχουσαι,
Καλλιδίκη καὶ Κλεισιδίκη, Δημώ τ' ἐρόεσσα,
Καλλιθόη θ', ἣ τῶν προγενεστάτη ἦεν ἁπασέων,
οὐδ' ἔγνων—χαλεποὶ δὲ θεοὶ θνητοῖσιν ὁρᾶσθαι—
ἀγχοῦ δ' ἱστάμεναι ἔπεα πτερόεντα προσηύδων·
Τίς; πόθεν ἐσσὶ, γρηῦ, παλαιγενέων ἀνθρώπων;
τίπτε δὲ νόσφι πόληος ἀπέστιχες, οὐδὲ δόμοισιν
πιλνᾷ; ἔνθα γυναῖκες ἀνὰ μέγαρα σκιόεντα
τήλικαι, ὡς σύ περ ὧδε, καὶ ὁπλότεραι γεγάασιν,
αἵ κέ σε φίλωνται ἠμὲν ἔπει, ἠδὲ καὶ ἔργῳ.
Ὣς ἔφαν· ἡ δ' ἐπέεσσιν ἀμείβετο πότνα θεάων·
τέκνα φίλ', αἵτινές ἐστε γυναικῶν θηλυτεράων,
χαίρετ'· ἐγὼ δ' ὑμῖν μυθήσομαι· οὔτοι ἀεικὲς
ὑμῖν εἰρομένῃσιν ἀληθέα μυθήσασθαι.
Δηὼ ἐμοίγ' ὄνομ' ἐστί· τὸ γὰρ θέτο πότνια μήτηρ.
νῦν αὖτε Κρήτηθεν ἐπ' εὐρέα νῶτα θαλάσσης
ἤλυθον οὐκ ἐθέλουσα, βίῃ δ' ἀέκουσαν ἀνάγκῃ
ἄνδρες ληϊστῆρες ἀπήγαγον· οἱ μὲν ἔπειτα
νηῒ θοῇ Θορικόνδε κατέσχεθον, ἔνθα γυναῖκες
ἠπείρου ἐπέβησαν ἀολλέες, ἠδὲ καὶ αὐτοὶ

δεῖπνον ἐπηρτύνοντο παρὰ πρυμνήσια νηός.
ἀλλ' ἐμοὶ οὐ δόρποιο μελίφρονος ἤρατο θυμὸς,
λάθρη δ' ὁρμηθεῖσα δι' ἠπείροιο μελαίνης,
φεῦγον ὑπερφιάλους σημάντορας, ὄφρα κε μή με
ἀπριάτην περάσαντες ἐμῆς ἀπονaίατο τιμῆς.
οὕτω δεῦρ' ἱκόμην ἀλαλημένη, οὐδέ τι οἶδα,
ἥτις δὴ γαῖ' ἐστὶ, καὶ οἵτινες ἐγγεγάασιν.
ἀλλ' ὑμῖν μὲν πάντες Ὀλύμπια δώματ' ἔχοντες
δοῖεν κουριδίους ἄνδρας, καὶ τέκνα τεκέσθαι,
ὡς ἐθέλουσι τοκῆες· ἐμὲ αὖτ' οἰκτείρατε, κοῦραι,
προφρονέως, φίλα τέκνα, τέως πρὸς δῶμαθ' ἵκωμαι
ἀνέρος ἠδὲ γυναικὸς, ἵνα σφίσιν ἐργάζωμαι
πρόφρων, οἷα γυναικὸς ἀφήλικος ἔργα τέτυκται.
καί κεν παῖδα νεογνὸν ἐν ἀγκοίνῃσιν ἔχουσα
καλὰ τιθηνοίμην, καὶ δώματα τηρήσαιμι·
καί κε λέχος στορέσαιμι μυχῷ θαλάμων εὐπήκτων
δεσπόσυνον, καί κ' ἔργα διδασκήσαιμι γυναῖκας.
Φῆ ῥα θεά· τὴν δ' αὐτίκ' ἀμείβετο παρθένος ἀδμὴς,
Καλλιδίκη, Κελεοῖο θυγατρῶν εἶδος ἀρίστη·
Μαῖα, θεῶν μὲν δῶρα, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ
τετλάμεν ἄνθρωποι· δὴ γὰρ πολὺ φέρτεροί εἰσιν.
ταῦτα δέ τοι σαφέως ὑποθήσομαι, ἠδ' ὀνομήνω
ἀνέρας, οἷσιν ἔπεστι μέγα κράτος ἐνθάδε τιμῆς,
δήμου τε προὔχουσιν, ἰδὲ κρήδεμνα πόληος
εἰρύαται βουλῇσι καὶ ἰθείῃσι δίκῃσιν·
ἠμὲν Τριπτολέμου πυκιμήδεος, ἠδὲ Διόκλου,
ἠδὲ Πολυξείνου, καὶ ἀμύμονος Εὐμόλποιο,
καὶ Δολιχοῦ, καὶ πατρὸς ἀγήνορος ἡμετέροιο.
τῶν πάντων ἄλοχοι κατὰ δώματα πορσαίνουσιν·
τάων οὐκ ἄν τίς σε κατὰ πρώτιστον ὀπωπὴν
εἶδος ἀτιμήσασα, δόμων ἀπονοσφίσσειεν,
ἀλλά σε δέξονται· δὴ γὰρ θεοείκελός ἐσσι.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἵνα πρὸς δώματα πατρὸς
ἔλθωμεν, καὶ μητρὶ βαθυζώνῳ Μετανείρῃ
εἴπωμεν τάδε πάντα διαμπερὲς, αἴ κέ σ' ἀνώγῃ
ἡμέτερόνδ' ἰέναι, μηδ' ἄλλων δώματ' ἐρευνᾶν.

τηλύγετος δὲ οἱ υἱὸς ἐνὶ μεγάρῳ εὐπήκτῳ
ὀψίγονος τρέφεται, πολυεύχετος, ἀσπάσιός τε.
εἰ τόνγ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ῥεῖά κέ τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίη.
Ὣς ἔφαθ'· ἡ δ' ἐπένευσε καρήατι· ταὶ δὲ φαεινὰ
πλησάμεναι ὕδατος φέρον ἄγγεα κυδιάουσαι.
ῥίμφα δὲ πατρὸς ἵκοντο μέγαν δόμον, ὦκα δὲ μητρὶ
ἔννεπον, ὡς εἶδόν τε καὶ ἔκλυον· ἡ δὲ μάλ' ὦκα
ἐλθούσας ἐκέλευε καλεῖν ἐπ' ἀπείρονι μισθῷ.
αἱ δ', ὥστ' ἢ ἔλαφοι ἢ πόρτιες εἴαρος ὥρῃ
ἄλλοντ' ἂν λειμῶνα, κορεσσάμεναι φρένα φορβῇ,
ὣς αἱ ἐπισχόμεναι ἑανῶν πτύχας ἱμεροέντων
ἤϊξαν κοίλην κατ' ἀμαξιτόν· ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσοντο κροκηΐῳ ἄνθει ὁμοῖαι.
τέτμον δ' ἐγγὺς ὁδοῦ κυδρὴν θεὸν, ἔνθα πάρος περ
κάλλιπον· αὐτὰρ ἔπειτα φίλα πρὸς δώματα πατρὸς
ἡγεῦνθ'· ἡ δ' ἄρ' ὄπισθε, φίλον τετιημένη ἦτορ,
στεῖχε, κατάκρηθεν κεκαλυμμένη· ἀμφὶ δὲ πέπλος
κυάνεος ῥαδινοῖσι θεᾶς ἐλελίζετο ποσσίν.
αἶψα δὲ δώμαθ' ἵκοντο Διοτρεφέος Κελεοῖο,
βὰν δὲ δι' αἰθούσης, ἔνθα σφίσι πότνια μήτηρ
ἧστο παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
παῖδ' ὑπὸ κόλπῳ ἔχουσα, νέον θάλος· αἱ δὲ παρ' αὐτὴν
ἔδραμον. ἡ δ' ἄρ' ἐπ' οὐδὸν ἔβη ποσὶ, καί ῥα μελάθρου
κῦρε κάρη, πλῆσεν δὲ θύρας σέλαος θείοιο.
τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ χλωρὸν δέος εἷλεν·
εἶξε δέ οἱ κλισμοῖο, καὶ ἑδριάασθαι ἄνωγεν.
ἀλλ' οὐ Δημήτηρ ὡρηφόρος, ἀγλαόδωρος,
ἤθελεν ἑδριάασθαι ἐπὶ κλισμοῖο φαεινοῦ,
ἀλλ' ἀκέουσα ἔμιμνε, κατ' ὄμματα καλὰ βαλοῦσα·
πρίν γ' ὅτε δή οἱ ἔθηκεν Ἰάμβη κέδν' εἰδυῖα
πηκτὸν ἕδος, καθύπερθε δ' ἐπ' ἀργύφεον βάλε κῶας.
ἔνθα καθεζομένη προκατέσχετο χερσὶ καλύπτρην·
δηρὸν δ' ἄφθογγος τετιημένη ἧστ' ἐπὶ δίφρου,
οὐδέ τιν' οὔτ' ἔπεϊ προσπτύσσετο, οὔτε τι ἔργῳ,

ἀλλ' ἀγέλαστος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ἧστο, πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός.

πρίν γ' ὅτε δὴ χλεύῃς μιν Ἰάμβη κέδν' εἰδυῖα
πολλὰ παρασκώπτουσ' ἐτρέψατο πότνιαν, ἁγνὴν,
μειδῆσαι γελάσαι τε, καὶ ἵλαον σχεῖν θυμόν.
ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς

τῇ δὲ δέπας Μετάνειρα δίδου μελιηδέος οἴνου
πλήσασ', ἡ δ' ἀνένευσ'· οὐ γὰρ θεμιτόν οἱ ἔφασκεν
πίνειν οἶνον ἐρυθρόν· ἄνωγε δ' ἄρ' ἄλφι καὶ ὕδωρ
δοῦναι μίξασαν πιέμεν γλήχωνι τερείνῃ.
ἡ δὲ κυκεῶ τεύξασα θεᾷ πόρεν, ὡς ἐκέλευεν·
δεξαμένη δ' ὁσίης ἐπέβη πολυπότνια Δηώ.
τῆσι δὲ μύθων ἦρχεν ἐΰζωνος Μετάνειρα·
Χαῖρε, γύναι, ἐπεὶ οὔ σε κακῶν ἄπ' ἔολπα τοκήων
ἔμμεναι, ἀλλ' ἀγαθῶν· ἐπί τοι πρέπει ὄμμασιν αἰδὼς
καὶ χάρις, ὡσεί πέρ τε θεμιστοπόλων βασιλήων.
ἀλλὰ θεῶν μὲν δῶρα, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ
τετλάμεν ἄνθρωποι· ἐπὶ γὰρ ζυγὸς αὐχένι κεῖται.
νῦν δ', ἐπεὶ ἵκεο δεῦρο, παρέσσεται, ὅσσα τ' ἐμοί περ.
παῖδα δέ μοι τρέφε τόνδε, τὸν ὀψίγονον καὶ ἄελπτον
ὤπασαν ἀθάνατοι, πολυάρητος δέ μοί ἐστιν.
εἰ τόνγ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ῥεῖά κέ τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίην.
Τὴν δ' αὖτε προσέειπεν ἐϋστέφανος Δημήτηρ·
καὶ σὺ, γύναι, μάλα χαῖρε, θεοὶ δέ τοι ἐσθλὰ πόροιεν.
παῖδα δέ τοι πρόφρων ὑποδέξομαι, ὥς με κελεύεις,
θρέψω· κοὔ μιν, ἔολπα, κακοφραδίῃσι τιθήνης
οὔτ' ἄρ' ἐπηλυσίη δηλήσεται, οὔθ' ὑποταμνόν.
οἶδα γὰρ ἀντίτομον μέγα φέρτερον ὑλοτόμοιο,
οἶδα δ' ἐπηλυσίης πολυπήμονος ἐσθλὸν ἐρυσμόν.
Ὣς ἄρα φωνήσασα, θυώδεϊ δέξατο κόλπῳ,
χερσίν τ' ἀθανάτῃσι· γεγήθει δὲ φρένα μήτηρ.

ὣς ἡ μὲν Κελεοῖο δαΐφρονος ἀγλαὸν υἱὸν,
Δημοφόωνθ', ὃν ἔτικτεν ἐΰζωνος Μετάνειρα,
ἔτρεφεν ἐν μεγάροις. ὁ δ' ἀέξετο δαίμονι ἶσος,
οὔτ' οὖν σῖτον ἔδων, οὐ θησάμενος
Δημήτηρ
χρίεσκ' ἀμβροσίῃ, ὡσεὶ θεοῦ ἐκγεγαῶτα,
ἡδὺ καταπνείουσα, καὶ ἐν κόλποισιν ἔχουσα·
νύκτας δὲ κρύπτεσκε πυρὸς μένει, ἠΰτε δαλὸν,
λάθρα φίλων γονέων· τοῖς δὲ μέγα θαῦμα τέτυκτο,
ὡς προθαλὴς τελέθεσκε, θεοῖσι δὲ ἄντα ἐῴκει.
καί κέν μιν ποίησεν ἀγήρων τ' ἀθάνατόν τε,
εἰ μὴ ἄρ' ἀφραδίῃσιν ἐΰζωνος Μετάνειρα,
νύκτ' ἐπιτηρήσασα, θυώδεος ἐκ θαλάμοιο
σκέψατο· κώκυσεν δὲ, καὶ ἄμφω πλήξατο μηρὼ,
δείσασ' ᾧ περὶ παιδὶ, καὶ ἀάσθη μέγα θυμῷ·
καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
Τέκνον Δημοφόων, ξείνη σε πυρὶ ἔνι πολλῷ
κρύπτει, ἐμοὶ δὲ γόον καὶ κήδεα λυγρὰ τίθησιν.
Ὣς φάτ' ὀδυρομένη· τῆς δ' ἄϊε δῖα θεάων.
τῇ δὲ χολωσαμένη καλλιστέφανος Δημήτηρ
παῖδα φίλον, τὸν ἄελπτον ἐνὶ μεγάροισιν ἔτικτεν,
χείρεσσ' ἀθανάτῃσιν ἀπὸ ἕο θῆκε πέδονδε,
ἐξανελοῦσα πυρὸς, θυμῷ κοτέσασα μάλ' αἰνῶς·
καί ῥ' ἄμυδις προσέειπεν ἐΰζωνον Μετάνειραν·
Νήϊδες ἄνθρωποι καὶ ἀφράδμονες οὔτ' ἀγαθοῖο
αἶσαν ἐπερχομένου προγνώμεναι, οὔτε κακοῖο·
καὶ σὺ γὰρ ἀφραδίῃσι τεῇς μήκιστον ἀάσθης.
ἴστω γὰρ, θεῶν ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ,
ἀθάνατόν κέν τοι καὶ ἀγήραον ἤματα πάντα
παῖδα φίλον ποίησα, καὶ ἄφθιτον ὤπασα τιμήν·
νῦν δ' οὐκ ἔσθ' ὥς κεν θάνατον καὶ Κῆρας ἀλύξαι·
τιμὴ δ' ἄφθιτος αἰὲν ἐπέσσεται, οὕνεκα γούνων
ἡμετέρων ἐπέβη, καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν.
ὥρῃσιν δ' ἄρα τῷγε, περιπλομένων ἐνιαυτῶν,
παῖδες Ἐλευσινίων πόλεμον καὶ φύλοπιν αἰνὴν

αἰὲν ἐν ἀλλήλοισι συνάξουσ' ἤματα πάντα.

εἰμὶ δὲ Δημήτηρ τιμάοχος, ἥτε μέγιστον
ἀθανάτοις θνητοῖς τ' ὄνειαρ καὶ χάρμα τέτυκται.
ἀλλ' ἄγε μοι νηόν τε μέγαν καὶ βωμὸν ὑπ' αὐτῷ
τευχόντων πᾶς δῆμος ὑπαὶ πόλιν, αἰπύ τε τεῖχος,
Καλλιχόρου καθύπερθεν, ἐπὶ προὔχοντι κολωνῷ.
ὄργια δ' αὐτὴ ἐγὼν ὑποθήσομαι, ὡς ἂν ἔπειτα,
εὐαγέως ἔρδοντες, ἐμὸν νόον ἱλάσκοισθε.
Ὣς εἰποῦσα θεὰ, μέγεθος καὶ εἶδος ἄμειψεν,
γῆρας ἀπωσαμένη, περί τ' ἀμφί τε κάλλος ἄητο·
ὀδμὴ δ' ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων
σκίδνατο, τῆλε δὲ φέγγος ἀπὸ χροὸς ἀθανάτοιο
λάμπε θεᾶς, ξανθαὶ δὲ κόμαι κατενήνοθεν ὤμους,
αὐγῆς δ' ἐπλήσθη πυκινὸς δόμος, ἀστεροπῆς ὥς·
βῆ δὲ δι' ἐκ μεγάρων. τῆς δ' αὐτίκα γούνατ' ἔλυντο,
δηρὸν δ' ἄφθογγος γένετο χρόνον, οὐδέ τι παιδὸς
μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι.
τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινὴν,
κὰδ δ' ἄρ' ἀπ' εὐστρώτων λεχέων θόρον· ἡ μὲν ἔπειτα
παῖδ' ἀνὰ χερσὶν ἑλοῦσα, ἑῷ ἐγκάτθετο κόλπῳ·
ἡ δ' ἄρα πῦρ ἀνέκαι'· ἡ δ' ἔσσυτο πόσσ' ἀπαλοῖσιν,
μητέρ' ἀναστήσουσα θυώδεος ἐκ θαλάμοιο.
ἀγρόμεναι δέ μιν ἀμφὶς ἐλούεον ἀσπαίροντα,
ἀμφαγαπαζόμεναι· τοῦ δ' οὐ μειλίσσετο θυμός·
χειρότεραι γὰρ δή μιν ἔχον τροφοὶ ἠδὲ τιθῆναι.
Αἱ μὲν παννύχιαι κυδρὴν θεὸν ἱλάσκοντο,
δείματι παλλόμεναι· ἅμα δ' ἠοῖ φαινομένηφιν
εὐρυβίη Κελεῷ νημερτέα μυθήσαντο,
ὡς ἐπέτελλε θεὰ, καλλιστέφανος Δημήτηρ.
αὐτὰρ ὅγ' εἰς ἀγορὴν καλέσας πολυπείρονα λαὸν,
ἤνωγ' ἠϋκόμῳ Δημήτερι πίονα νηὸν
ποιῆσαι καὶ βωμὸν ἐπὶ προὔχοντι κολωνῷ.
οἱ δὲ μάλ' αἶψ' ἐπίθοντο, καὶ ἔκλυον αὐδήσαντος,
τεῦχον δ'; ὡς ἐπέτελλ'· ὁ δ' ἀέξετο δαίμονος αἴσῃ.
αὐτὰρ ἐπεὶ τέλεσαν, καὶ ἐρώησαν καμάτοιο,

βὰν ῥ' ἴμεν οἴκαδ' ἕκαστος· ἀτὰρ ξανθὴ Δημήτηρ
ἔνθα καθεζομένη μακάρων ἀπονόσφιν ἁπάντων,
μίμνε πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός.
αἰνότατον δ' ἐνιαυτὸν ἐπὶ χθόνα πουλυβότειραν
ποίησ' ἀνθρώποις καὶ κύντατον, οὐδέ τι γαῖα
σπέρμ' ἀνίει· κρύπτεν γὰρ ἐϋστέφανος Δημήτηρ.
πολλὰ δὲ καμπύλ' ἄροτρα μάτην βόες ἕλκον ἀρούραις·
πολλὸν δὲ κρῖ λευκὸν ἐτώσιον ἔμπεσε γαίῃ.
καί νύ κε πάμπαν ὄλεσσε γένος μερόπων ἀνθρώπων
λιμοῦ ὑπ' ἀργαλέης, γεράων τ' ἐρικυδέα τιμὴν
καὶ θυσιῶν ἤμερσεν Ὀλύμπια δώματ' ἔχοντας,
εἰ μὴ Ζεὺς ἐνόησεν, ἑῷ δ' ἐφράσσατο θυμῷ.
Ἶριν δὴ πρῶτον χρυσόπτερον ὦρσε καλέσσαι
Δήμητρ' ἠΰκομον, πολυήρατον εἶδος ἔχουσαν.
ὣς ἔφαθ'· ἡ δὲ Ζηνὶ κελαινεφέϊ Κρονίωνι
πείθετο, καὶ μεσσηγὺ διέδραμεν ὦκα πόδεσσιν.
ἵκετο δὲ πτολίεθρον Ἐλευσῖνος θυοέσσης,
εὗρεν δ' ἐν νηῷ Δημήτερα κυανόπεπλον,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Δήμητερ, καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδὼς,
ἐλθέμεναι μετὰ φῦλα θεῶν αἰειγενετάων.
ἀλλ' ἴθι, μηδ' ἀτέλεστον ἐμὸν ἔπος ἐκ Διὸς ἔστω.
Ὣς φάτο λισσομένη· τῇ δ' οὐκ ἐπεπείθετο θυμός.
αὖτις ἔπειτα θεοὺς μάκαρας Ζεὺς αἰὲν ἐόντας
πάντας ἐπιπροΐαλλεν· ἀμοιβηδὶς δὲ κιόντες
κίκλησκον, καὶ πολλὰ δίδον περικαλλέα δῶρα,
τιμάς θ', ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσιν·
ἀλλ' οὔτις πεῖσαι δύνατο φρένας ἠδὲ νόημα
θυμῷ χωομένης· στερεῶς δ' ἠναίνετο μύθους.
οὐ μὲν γάρ ποτ' ἔφασκε, θυώδεος Οὐλύμποιο
πρίν γ' ἐπιβήσεσθαι, οὐ πρὶν γῆς καρπὸν ἀνήσειν,
πρὶν ἴδοι ὀφθαλμοῖσιν ἑὴν εὐώπιδα κούρην.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βαρύκτυπος εὐρύοπα Ζεὺς,
εἰς Ἔρεβος πέμψε χρυσόῤῥαπιν Ἀργειφόντην,
ὄφρ' Ἀΐδην μαλακοῖσι παραιφάμενος ἐπέεσσιν,
ἁγνὴν Περσεφόνειαν ἀπὸ ζόφου ἠερόεντος

ἐς φάος ἐξαγάγοι μετὰ δαίμονας, ὄφρα ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα μεταλλήξειε χόλοιο.
Ἑρμῆς δ' οὐκ ἀπίθησεν, ἄφαρ δ' ὑπὸ κεύθεα γαίης
ἐσσυμένως κατόρουσε, λιπὼν ἕδος Οὐλύμποιο.
τέτμε δὲ τόνγε ἄνακτα δόμων ἔντοσθεν ἐόντα,
ἥμενον ἐν λεχέεσσι σὺν αἰδοίῃ παρακοίτι,
πόλλ' ἀεκαζομένῃ μητρὸς πόθῳ· ἡ δ' ἐπ' ἀτλήτων
ἔργοις θεῶν μακάρων μητίσετο βουλῇ.
ἀγχοῦ δ' ἱστάμενος προσέφη κρατὺς Ἀργειφόντης·
Ἀΐδη κυανοχαῖτα, καταφθιμένοισιν ἀνάσσων,
Ζεύς με πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν
ἐξαγαγεῖν Ἐρέβευσφι μετὰ σφέας, ὄφρα ἑ μήτηρ
ὀφθαλμοῖσιν ἰδοῦσα χόλου καὶ μήνιος αἰνῆς
ἀθανάτοις παύσειεν· ἐπεὶ μέγα μήδεται ἔργον,
φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων,
σπέρμ' ὑπὸ γῆς κρύπτουσα, καταφθινύθουσα δὲ τιμὰς
ἀθανάτων· ἡ δ' αἰνὸν ἔχει χόλον, οὐδὲ θεοῖσιν
μίσγεται, ἀλλ' ἀπάνευθε θυώδεος ἔνδοθι νηοῦ
ἧσται, Ἐλευσῖνος κραναὸν πτολίεθρον ἔχουσα.
Ὣς φάτο· μείδησεν δὲ ἄναξ ἐνέρων Ἀϊδωνεὺς
ὀφρύσιν, οὐδ' ἀπίθησε Διὸς βασιλῆος ἐφετμῇς.
ἐσσυμένως δ' ἐκέλευσε δαΐφρονι Περσεφονείῃ·
Ἔρχεο, Περσεφόνη, παρὰ μητέρα κυανόπεπλον,
ἤπιον ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα,
μηδέ τι δυσθύμαινε λίην περιώσιον ἄλλων.
οὔ τοι ἐν ἀθανάτοισιν ἀεικὴς ἔσσομ' ἀκοίτης,
αὐτοκασίγνητος πατρὸς Διός· ἐνθάδ' ἰοῦσα,
δεσπόσσης πάντων, ὁπόσα ζώει τε καὶ ἕρπει,
τιμὰς δὲ σχήσησθα μετ' ἀθανάτοισι μεγίστας.
τῶν δ' ἀδικησάντων τίσις ἔσσεται ἤματα πάντα,
οἵ κεν μὴ θυσίῃσι τεὸν μένος ἱλάσκωνται,
εὐαγέως ἔρδοντες, ἐναίσιμα δῶρα τελοῦντες.
Ὣς φάτο· γήθησεν δὲ περίφρων Περσεφόνεια,
καρπαλίμως δ' ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὅγ' αὐτῇ
ῥοιῆς κόκκον ἔδωκε φαγεῖν μελιηδέα λάθρῃ,
ἀμφὶ ἑ νωμήσας, ἵνα μὴ μένοι ἤματα πάντα

αὖθι παρ' αἰδοίῃ Δημήτερι, κυανοπέπλῳ.
ἵππους δὲ προπάροιθεν ὑπὸ χρυσέοισιν ὄχεσφιν
ἔντυεν ἀθανάτους πολυσημάντωρ Ἀϊδωνεύς.
ἡ δ' ὀχέων ἐπέβη, παρὰ δὲ κρατὺς Ἀργειφόντης
ἡνία καὶ μάστιγα λαβὼν μετὰ χερσὶ φίλῃσιν,
σεῦε δὶ' ἐκ μεγάρων· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
ῥίμφα δὲ μακρὰ κέλευθα διήνυσαν· οὐδὲ θάλασσα,
οὔθ' ὕδωρ ποταμῶν, οὔτ' ἄγκεα ποιήεντα,
ἵππων ἀθανάτων, οὔτ' ἄκριες, ἔσχεθον ὁρμὴν,
ἀλλ' ὑπὲρ αὐτάων βαθὺν ἠέρα τέμνον ἰόντες.
στῆσε δ' ἄγων, ὅθι μίμνεν ἐϋστέφανος Δημήτηρ,
νηοῖο προπάροιθε θυώδεος· ἡ δὲ ἰδοῦσα
ἤϊξ, ἠΰτε μαινὰς ὄρος κατὰ δάσκιον ὕλῃ.
Περσεφόνη δ' ἑτέρω
μητρὸς ἑῆς κατ
ἆλτο θέειν
τῇ δὲ

Τέκνον, μή ῥά τι μ
βρώμης· ἐξαύδ
ὡς μὲν γάρ κε νέουσ
καὶ παρ' ἐμοὶ καὶ πατρὶ, κελαινεφέϊ Κρονίωνι,
ναιετάοις, πάντεσσι τετιμένη ἀθανάτοισιν.
εἰ δ' ἐπάσω, πάλιν αὖτις ἰοῦσ', ὑπὸ κεύθεσι γαίης
οἰκήσεις ὡρέων τριτάτην μ
τὰς δὲ δύω παρ' ἐμοί τε καὶ ἄλλοις ἀθανάτοισιν.
ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδεσιν εἰαρινοῖσιν
παντοδαποῖς θάλλει, τότ' ἀπὸ ζόφου ἠερόεντος
αὖτις ἄνει μέγα θαῦμα θεοῖς, θνητοῖς τ' ἀνθρώποις.

καὶ τίνι σ' ἐξαπάτησε δόλῳ κρατερὸς Πολυδέγμων;
Τὴν δ' αὖ Περσεφόνη περικαλλὴς ἀντίον ηὔδα·
τοίγαρ ἐγώ τοι, μῆτερ, ἐρῶ νημερτέα πάντα·
εὖτέ μοι ἦλθ' Ἑρμῆς ἐριούνιος, ἄγγελος ὠκὺς,
πὰρ πατέρος Κρονίδαο καὶ ἄλλων οὐρανιώνων,

ἐλθεῖν ἐξ Ἐρέβευς, ἵνα μ' ὀφθαλμοῖσιν ἰδοῦσα
λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς·
αὐτὰρ ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος. αὐτὰρ ὁ λάθρῃ
ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδήν,
ἄκουσαν δὲ βίῃ με προσηνάγκασσε πάσασθαι.
ὡς δέ μ' ἀναρπάξας Κρονίδεω πυκινὴν διὰ μῆτιν
ᾤχετο, πατρὸς ἐμοῖο, φέρων ὑπὸ κεύθεα γαίης,
ἐξερέω, καὶ πάντα διίξομαι, ὡς ἐρεείνεις.
ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη, Φαινώ τε καὶ Ἠλέκτρη καὶ Ἰάνθη,
καὶ Μελίτη, Ἰάχη τε Ῥοδεία τε Καλλιρόη τε,
Μηλόβοσίς τε Τύχη τε καὶ Ὠκυρόη καλυκῶπις,
Χρυσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τ' Ἀδμήτη τε,
καὶ Ῥοδόπη, Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψώ,
καὶ Στὺξ, Οὐρανίη τε, Γαλαξαύρη τ' ἐρατεινὴ,
[Παλλάς τ' ἐγρεμάχη, καὶ Ἄρτεμις ἰοχέαιρα,]
παίζομεν, ἠδ' ἄνθεα δρέπομεν χείρεσσ' ἐρόεντα.
μίγδα κρόκον τ' ἀγανὸν, καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον,
καὶ ῥοδέας κάλυκας καὶ λείρια, θαῦμα ἰδέσθαι,
νάρκισσόν θ', ὃν ἔφυσ', ὥσπερ κρόκον, εὐρεῖα χθών.
αὐτὰρ ἐγὼ δρεπόμην περὶ χάρματι· γαῖα δ' ἔνερθεν
χώρησεν, τῇ δ' ἔκθορ' ἄναξ κρατερὸς Πολυδέγμων.
βῆ δὲ φέρων ὑπὸ γαῖαν ἐν ἅρμασι χρυσείοισιν
πόλλ' ἀεκαζομένην· ἐβόησα δ' ἄρ' ὄρθια φωνῇ.
ταῦτά τοι ἀχνυμένη περ ἀληθέα πάντ' ἀγορεύω.
  Ὣς τότε μὲν πρόπαν ἦμαρ ὁμόφρονα θυμὸν ἔχουσαι,
πολλὰ μάλ' ἀλλήλων κραδίην καὶ θυμὸν ἴαινον,
ἀμφαγαπαζόμεναι· ἀχέων δ' ἀπεπαύετο θυμὸς,
γηθοσύνας δὲ δέχοντο παρ' ἀλλήλων, ἔδιδόν τε.
τῇσιν δ' ἐγγύθεν ἦλθ' Ἑκάτη λιπαροκρήδεμνος·
πολλὰ δ' ἄρ' ἀμφαγάπησε κόρην Δημήτερος ἁγνήν·
ἐκ τοῦ οἱ πρόπολος καὶ ὀπάων ἔπλετ' ἄνασσα.
τῇς δὲ μετ' ἄγγελον ἧκε βαρύκτυπος εὐρύοπα Ζεὺς
Ῥείην ἠΰκομον, Δημήτερα κυανόπεπλον
ἀξέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσιν.

νεῦσε δέ οἱ κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
τὰς δὲ δύω παρὰ μητρὶ καὶ ἄλλοις ἀθανάτοισιν.
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Διὸς ἀγγελιάων.
ἐσσυμένως δ' ἤϊξε κατ' Οὐλύμποιο καρήνων,
ἐς δ' ἄρα Ῥάριον ἷξε, φερέσβιον οὖθαρ ἀρούρης
τὸ πρίν, ἀτὰρ τότε γ' οὔτι φερέσβιον, ἀλλὰ ἕκηλον
ἑστήκει πανάφυλλον· ἔκευθε δ' ἄρα κρῖ λευκὸν
μήδεσι Δήμητρος καλλισφύρου· αὐτὰρ ἔπειτα
μέλλεν ἄφαρ ταναοῖσι κομήσειν ἀσταχύεσσιν,
ἦρος ἀεξομένοιο, πέδῳ δ' ἄρα πίονες ὄγμοι
βρισέμεν ἀσταχύων, τὰ δ' ἐν ἐλλεδανοῖσι δεδέσθαι.
ἔνθ' ἐπέβη πρώτιστον ἀπ' αἰθέρος ἀτρυγέτοιο·
ἀσπασίως δ' ἴδον ἀλλήλας, κεχάρηντο δὲ θυμῷ.
τὴν δ' ὧδε προσέειπε Ῥέη λιπαροκρήδεμνος·
Δεῦρο, τέκος, καλέει σε βαρύκτυπος εὐρύοπα Ζεύς,
ἐλθέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κ' ἐθέλῃσθα μετ' ἀθανάτοισι θεοῖσιν.
νεῦσε δέ σοι κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
ἀθανάτοισιν.
σθαι, ἑῷ δ' ἐπένευσε κάρητι.
ἀλλ' ἴθι, τέκνον ἐμόν, καὶ πείθεο, μηδέ τι λίην
ἀζηχὲς μενέαινε κελαινεφέϊ Κρονίωνι.
αἶψα δὲ καρπὸν ἄεξε φερέσβιον ἀνθρώποισιν.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἐϋστέφανος Δημήτηρ·
αἶψα δὲ καρπὸν ἀνῆκεν ἀρουράων ἐριβώλων.
πᾶσα δὲ φύλλοισίν τε καὶ ἄνθεσιν εὐρεῖα χθὼν
ἔβρισ'· ἡ δὲ κιοῦσα θεμιστοπόλοις βασιλεῦσιν
δεῖξε, Τριπτολέμῳ τε, Διοκλεῖ τε πληξίππῳ,
Εὐμόλπου τε βίῃ, Κελεῷ θ', ἡγήτορι λαῶν,
δρησμοσύνην θ' ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν,
[Τριπτολέμῳ τε Πολυξείνῳ τ', ἐπὶ τοῖς δὲ Διοκλεῖ]
σεμνά, τά τ' οὔπως ἔστι παρεξίμεν, οὔτε πυθέσθαι,
οὔτ' ἀχέειν· μέγα γάρ τι θεῶν ἄγος ἰσχάνει αὐδήν.
ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·

ὃς δ' ἀτελὴς ἱερῶν, ὅς τ' ἄμμορος, οὔποθ' ὁμοίην
αἶσαν ἔχει, φθίμενός περ, ὑπὸ ζόφῳ εὐρώεντι.
Αὐτὰρ ἐπειδὴ πάνθ' ὑπεθήκατο δῖα θεάων,
βάν ῥ' ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων.
ἔνθα δὲ ναιετάουσι παραὶ Διῒ τερπικεραύνῳ
σεμναί τ' αἰδοῖαί τε. μέγ' ὄλβιος, ὅντιν' ἐκεῖναι
προφρονέως φίλωνται ἐπιχθονίων ἀνθρώπων.
αἶψα δέ οἱ πέμπουσιν ἐφέστιον ἐς μέγα δῶμα
Πλοῦτον, ὃς ἀνθρώποις ἄφενος θνητοῖσι δίδωσιν.

Ἀλλ' ἄγ', Ἐλευσῖνος θυοέσσης δῆμον ἔχουσα,
καὶ Πάρον ἀμφιρύτην, Ἄντρωνά τε πετρήεντα,
πότνια, ἀγλαόδωρ', ὡρηφόρε, Δηοῖ ἄνασσα,
αὐτὴ, καὶ κούρη, περικαλλὴς Περσεφόνεια,
πρόφρων ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.



ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

ΑΙΔΟΙΗΝ, χρυσοστέφανον, καλὴν Ἀφροδίτην
ᾄσομαι, ἣ πάσης Κύπρου κρήδεμνα λέλογχεν
εἰναλίης, ὅθι μιν Ζεφύρου μένος ὑγρὸν ἀέντος
ἤνεικεν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἀφρῷ ἔνι μαλακῷ. τὴν δὲ χρυσάμπυκες Ὧραι
δέξαντ' ἀσπασίως, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν·
κρατὶ δ' ἐπ' ἀθανάτῳ στεφάνην εὔτυκτον ἔθηκαν,
καλὴν, χρυσείην· ἐν δὲ τρητοῖσι λοβοῖσιν
ἄνθεμ' ὀρειχάλκου, χρυσοῖό τε τιμήεντος·
δειρῇ δ' ἀμφ' ἁπαλῇ καὶ στήθεσιν ἀργυφέοισιν
ὅρμοισι χρυσέοισιν ἐκόσμεον, οἷσί περ αὐταὶ
Ὧραι κόσμηθεν χρυσάμπυκες, ὁππότ' ἴοιεν
ἐς χορὸν ἱμερόεντα θεῶν καὶ δώματα πατρός.
αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ κόσμον ἔθηκαν,

ἦγον ἐς ἀθανάτους· οἱ δ' ἠσπάζοντο ἰδόντες,
χερσί τ' ἐδεξιόωντο, καὶ ἠρήσαντο ἕκαστος
εἶναι κουριδίην ἄλοχον, καὶ οἴκαδ' ἄγεσθαι,
εἶδος θαυμάζοντες ἰοστεφάνου Κυθερείης.

Χαῖρ', ἑλικοβλέφαρε, γλυκυμείλιχε· δὸς δ' ἐν ἀγῶνι
νίκην τῷδε φέρεσθαι, ἐμὴν δ' ἔντυνον ἀοιδήν·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ς.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ἀμφὶ Διώνυσον, Σεμέλης ἐρικυδέος υἱὸν,
μνήσομαι, ὡς ἐφάνη παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
ἀκτῇ ἔπι προβλῆτι, νεηνίῃ ἀνδρὶ ἐοικὼς,
πρωθήβῃ· καλαὶ δὲ περισσείοντο ἔθειραι,
κυάνεαι, φᾶρος δὲ περὶ στιβαροῖς ἔχεν ὤμοις
πορφύρεον. τάχα δ' ἄνδρες ἐϋσσέλμου ἀπὸ νηὸς
λῃσταὶ προγένοντο θοῶς ἐπὶ οἴνοπα πόντον,
Τυρσηνοί· τοὺς δ' ἦγε κακὸς μόρος· οἱ δὲ ἰδόντες
νεῦσαν ἐς ἀλλήλους, τάχα δ' ἔκθορον· αἶψα δ' ἑλόντες
εἶσαν ἐπὶ σφετέρης νηὸς, κεχαρημένοι ἦτορ.
υἱὸν γάρ μιν ἔφαντο Διοτρεφέων βασιλήων
εἶναι, καὶ δεσμοῖς ἔθελον δεῖν ἀργαλέοισιν.
τὸν δ' οὐκ ἴσχανε δεσμὰ, λύγοι δ' ἀπὸ τηλόσε πῖπτον
χειρῶν ἠδὲ ποδῶν· ὁ δὲ μειδιάων ἐκάθητο
ὄμμασι κυανέοισι· κυβερνήτης δὲ νοήσας,
αὐτίκα οἷς ἑτάροισιν ἐκέκλετο, φώνησέν τε·

Δαιμόνιοι, τίνα τόνδε θεὸν δεσμεύεθ' ἑλόντες,
καρτερόν! οὐδὲ φέρειν δύναταί μιν νηῦς εὐεργής.
ἢ γὰρ Ζεὺς ὅδε γ' ἐστὶν, ἢ ἀργυρότοξος Ἀπόλλων,
ἠὲ Ποσειδάων· ἐπεὶ οὐ θνητοῖσι βροτοῖσιν
εἴκελος, ἀλλὰ θεοῖς, οἳ Ὀλύμπια δώματ' ἔχουσιν.
ἀλλ' ἄγετ', αὐτὸν ἀφῶμεν ἐπ' ἠπείροιο μελαίνης

αὐτίκα· μηδ' ἐπὶ χεῖρας ἰάλλετε, μή τι χολωθεὶς
ὄρσῃ ἀργαλέους τ' ἀνέμους καὶ λαίλαπα πολλήν.
  Ὣς φάτο· τὸν δ' ἀρχὸς στυγερῷ ἠνίπαπε μύθῳ·
δαιμόνι', οὖρον ὅρα, ἅμα δ' ἱστίον ἕλκεο νηὸς,
σύμπανθ' ὅπλα λαβών· ὅδε δ' αὖτ' ἄνδρεσσι μελήσει.
ἔλπομαι, ἢ Αἴγυπτον ἀφίξεται, ἢ ὅγε Κύπρον,
ἢ ἐς Ὑπερβορέους, ἢ ἑκαστέρω· ἐς δὲ τελευτὴν
ἔκ ποτ' ἐρεῖ αὐτοῦ τε φίλους καὶ κτήματα πάντα,
οὕς τε κασιγνήτους· ἐπεὶ ἡμῖν ἔμβαλε δαίμων.
  Ὣς εἰπὼν, ἱστόν τε καὶ ἱστίον ἕλκετο νηός.
ἔμπνευσεν δ' ἄνεμος μέσον ἱστίον, ἀμφὶ δ' ἄρ' ὅπλα
καττάνυσαν· τάχα δέ σφιν ἐφαίνετο θαυματὰ ἔργα.
οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν
ἡδύποτος κελάρυζ' εὐώδης, ὤρνυτο δ' ὀδμὴ
ἀμβροσίη· ναύτας δὲ τάφος λάβε πάντας ἰδόντας.
αὐτίκα δ' ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ' ἱστὸν δὲ μέλας εἱλίσσετο κισσὸς,
ἄνθεσι τηλεθάων, χαρίεις δ' ἐπὶ καρπὸς ὀρώρει·
πάντες δὲ σκαλμοὶ στεφάνους ἔχον. οἱ δὲ ἰδόντες
Μηδείδην τότ' ἔπειτα κυβερνήτην ἐκέλευον
γῇ πελάαν. ὁ δ' ἄρα σφι λέων γένετ' ἔνδοθι νηὸς
δεινὸς ἐπ' ἀκροτάτης, μέγα δ' ἔβραχεν· ἐν δ' ἄρα μέσσῃ
ἄρκτον ἐποίησεν λασιαύχενα, σήματα φαίνων·
ἂν δ' ἔστη μεμαυῖα, λέων δ' ἐπὶ σέλματος ἄκρου
δεινὸν ὑπόδρα ἰδών. οἱ δ' ἐς πρύμνην ἐφόβηθεν,
ἀμφὶ κυβερνήτην δὲ, σαόφρονα θυμὸν ἔχοντα,
ἔσταν ἄρ' ἐκπληγέντες· ὁ δ' ἐξαπίνης ἐπορούσας
ἀρχὸν ἕλ'· οἱ δὲ θύραζε, κακὸν μόρον ἐξαλύοντες,
πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο. κυβερνήτην δ' ἐλεήσας
ἔσχεθε, καί μιν ἔθηκε πανόλβιον, εἶπέ τε μῦθον·
  Θάρσει, δῖε κάτωρ, τῷ ἐμῷ κεχαρισμένε θυμῷ·
εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηῒς Σεμέλη, Διὸς ἐν φιλότητι μιγεῖσα.

Χαῖρε, τέκος Σεμέλης εὐώπιδος· οὐδέ πη ἔστιν,
σεῖό γε ληθόμενον γλυκερὴν κοσμῆσαι ἀοιδήν.

Ζ.

ΕΙΣ ΑΡΕΑ.

Ἄρες ὑπερμενέτα, βρισάρματε, χρυσεοπήληξ,
ὀβριμόθυμε, φέρασπι, πολισσόε, χαλκοκορυστά,
καρτερόχειρ, ἀμόγητε, δορυσθενές, ἕρκος Ὀλύμπου,
Νίκης εὐπολέμοιο πάτερ, συναρωγὲ Θέμιστος,
ἀντιβίοισι τύραννε, δικαιοτάτων ἀγὲ φωτῶν,
ἠνορέης σκηπτοῦχε, πυραυγέα κύκλον ἑλίσσων
αἰθέρος ἑπταπόροις ἐνὶ τείρεσιν, ἔνθα σε πῶλοι
ζαφλεγέες τριτάτης ὑπὲρ ἄντυγος αἰὲν ἔχουσιν·
κλῦθι, βροτῶν ἐπίκουρε, δοτὴρ εὐθαρσέος ἥβης,
πρηῢ καταστίλβων σέλας ὑψόθεν ἐς βιότητα
ἡμετέρην καὶ κάρτος Ἀρήϊον· ὥς κε δυναίμην
σεύεσθαι κακότητα πικρὴν ἀπ' ἐμοῖο καρήνου,
καὶ ψυχῆς ἀπατηλὸν ὑπογνάμψαι φρεσὶν ὁρμήν,
θυμοῦ τ' αὖ μένος ὀξὺ κατισχέμεν, ὅς μ' ἐρέθησιν
φυλόπιδος κρυερῆς ἐπιβαινέμεν. ἀλλὰ σὺ θάρσος
δὸς, μάκαρ, εἰρήνης τε μένειν ἐν ἀπήμοσι θεσμοῖς,
δυσμενέων προφυγόντα μόθον, Κῆράς τε βιαίας.

Η.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

Ἄρτεμιν ὕμνει, Μοῦσα, κασιγνήτην Ἑκάτοιο,
παρθένον ἰοχέαιραν, ὁμότροφον Ἀπόλλωνος,
ἥθ' ἵππους ἄρσασα βαθυσχοίνοιο Μέλητος,
ῥίμφα διὰ Σμύρης παγχρύσεον ἅρμα διώκει

ἐς Κλάρον ἀμπελόεσσαν, ὅθ' ἀργυρότοξος Ἀπόλλων
ἧσται, μιμνάζων ἑκατηβόλον Ἰοχέαιραν.

Καὶ σὺ μὲν οὕτω χαῖρε, θεαί θ' ἅμα πᾶσαι, ἀοιδῇ·
αὐτὰρ ἐγὼ σὲ πρῶτα καὶ ἐκ σέθεν ἄρχομ' ἀείδειν,
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

Θ.

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

ΚΥΠΡΟΓΕΝΗ Κυθέρειαν ἀείσομαι, ἥτε βροτοῖσιν
μείλιχα δῶρα δίδωσιν, ἐφ' ἱμερτῷ δὲ προσώπῳ
αἰεὶ μειδιάει, καὶ ἐφ' ἱμερτὸν φέρει ἄνθος.

Χαῖρε, θεὰ, Σαλαμῖνος ἐϋκτιμένης μεδέουσα,
καὶ πάσης Κύπρου, δὸς δ' ἱμερόεσσαν ἀοιδήν·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Ι

ΕΙΣ ΑΘΗΝΑΝ.

ΠΑΛΛΑΔ' Ἀθηναίην ἐρυσίπτολιν ἄρχομ' ἀείδειν,
δεινὴν, ᾗ σὺν Ἄρηϊ μέλει πολεμήϊα ἔργα,
περθόμεναί τε πόληες, ἀϋτή τε πτόλεμοί τε,
καί τ' ἐῤῥύσατο λαὸν ἰόντα τε νισσόμενόν τε.

Χαῖρε, θεά· δὸς δ' ἄμμι τύχην εὐδαιμονίην τε.

ΙΑ.

ΕΙΣ ΗΡΑΝ.

ἭΡΗΝ ἀείδω χρυσόθρονον, ἣν τέκε Ῥείη,
ἀθανάτην βασίλειαν, ὑπείροχον εἶδος ἔχουσαν,

Ζηνὸς ἐριγδούποιο κασιγνήτην ἄλοχόν τε,
κυδρὴν, ἣν πάντες μάκαρες κατὰ μακρὸν Ὄλυμπον
ἁζόμενοι τίουσιν ὁμῶς Διὶ τερπικεραύνῳ.

ΙΒ.

ΕΙΣ ΔΗΜΗΤΡΑΝ.

ΔΗΜΗΤΡ' ἠΰκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν,
αὐτὴν, καὶ κούρην, περικαλλέα Περσεφόνειαν.

Χαῖρε, θεὰ, καὶ τήνδε σάω πόλιν· ἄρχε δ' ἀοιδῆς.

ΙΓ.

ΕΙΣ ΜΗΤΕΡΑ ΘΕΩΝ.

ΜΗΤΕΡΑ μοι πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων,
ὕμνει, Μοῦσα λίγεια, Διὸς θύγατερ μεγάλοιο·
ᾗ κροτάλων τυπάνων τ' ἰαχὴ, σύν τε βρόμος αὐλῶν
εὔαδεν, ἠδὲ λύκων κλαγγὴ, χαροπῶν τε λεόντων,
οὔρεά τ' ἠχήεντα, καὶ ὑλήεντες ἔναυλοι.

Καὶ σὺ μὲν οὕτω χαῖρε, θεαί θ' ἅμα πᾶσαι, ἀοιδῇ.

ΙΔ.

ΕΙΣ ΗΡΑΚΛΕΑ ΛΕΟΝΤΟΘΥΜΟΝ.

ἩΡΑΚΛΕΑ, Διὸς υἱὸν, ἀείσομαι, ὃν μέγ' ἄριστον
γείνατ' ἐπιχθονίων Θήβῃς ἔνι καλλιχόροισιν
Ἀλκμήνη, μιχθεῖσα κελαινεφέϊ Κρονίωνι·
ὃς πρὶν μὲν κατὰ γαῖαν ἀθέσφατον ἠδὲ θάλασσαν
πλαζόμενος, πομπῇσιν ὑπ' Εὐρυσθῆος ἄνακτος,

πολλὰ μὲν αὐτὸς ἔρεξεν ἀτάσθαλα, πολλὰ δ' ἀνέτλη·
νῦν δ' ἤδη κατὰ καλὸν ἕδος νιφόεντος Ὀλύμπου
ναίει τερπόμενος, καὶ ἔχει καλλίσφυρον Ἥβην.

Χαῖρε, ἄναξ, Διὸς υἱέ· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

ΙΕ.

ΕΙΣ ΑΣΚΛΗΠΙΟΝ.

ἸΗΤΗΡΑ νόσων, Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,
υἱὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνὶς
Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύου βασιλῆος,
χάρμα μέγ' ἀνθρώποισι, κακῶν θελκτῆρ' ὀδυνάων.

Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ· λίτομαι δέ σ' ἀοιδῇ.

Ιϛ.

ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ.

ΚΑΣΤΟΡΑ καὶ Πολυδεύκε' ἀείδεο, Μοῦσα λίγεια,
Τυνδαρίδας, οἳ Ζηνὸς Ὀλυμπίου ἐξεγένοντο·
τοὺς ὑπὸ Τηϋγέτου κορυφῆς τέκε πότνια Λήδη,
λάθρῃ ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι.

Χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων.

ΙΖ.

ΕΙΣ ΕΡΜΗΝ.

ἙΡΜΗΝ ἀείδω Κυλλήνιον, Ἀργειφόντην,
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,

ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,
Ἄτλαντος θυγάτηρ, Διὸς ἐν φιλότητι μιγεῖσα,
αἰδοίη· μακάρων δὲ θεῶν ἀλέεινεν ὅμιλον,
ἄντρῳ ναιετάουσα παλισκίῳ· ἔνθα Κρονίων
Νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
εὖτε κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην·
λάνθανε δ' ἀθανάτους τε θεοὺς, θνητούς τ' ἀνθρώπους.

Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Μαιάδος υἱέ·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

Χαῖρ', Ἑρμῆ χαριδῶτα, διάκτορε, δῶτορ ἐάων.

ΙΗ.

ΕΙΣ ΠΑΝΑ.

ἈΜΦΙ μοι Ἑρμείαο φίλον γόνον ἔννεπε, Μοῦσα,
αἰγιπόδην, δικέρωτα, φιλόκροτον, ὅστ' ἀνὰ πίση
δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι Νύμφαις·
αἵτε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα,
Πᾶν' ἀνακεκλόμεναι, νόμιον θεὸν, ἀγλαέθειρον,
αὐχμήενθ', ὃς πάντα λόφον νιφόεντα λέλογχεν,
καὶ κορυφὰς ὀρέων καὶ πετρήεντα κέλευθα·
φοιτᾷ δ' ἔνθα καὶ ἔνθα διὰ ῥωπήϊα πυκνὰ,
ἄλλοτε μὲν ῥείθροισιν ἐφελκόμενος μαλακοῖσιν,
ἄλλοτε δ' αὖ πέτρῃσιν ἐν ἠλιβάτοισι διοιχνεῖ,
ἀκροτάτην κορυφὴν μηλόσκοπον εἰσαναβαίνων.
πολλάκι δ' ἀργινόεντα διέδραμεν οὔρεα μακρὰ,
πολλάκι δ' ἐν κνημοῖσι διήλασε, θῆρας ἐναίρων,
ὀξέα δερκόμενος· τοτὲ δ' ἕσπερος ἔκλαγεν οἶος,
ἄγρης ἐξανιὼν, δονάκων ὕπο μοῦσαν ἀθύρων
νήδυμον· οὐκ ἂν τόνγε παραδράμοι ἐν μελέεσσιν
ὄρνις, ἥτ' ἔαρος πολυανθέος ἐν πετάλοισιν
θρῆνον ἐπιπροχέουσ' ἰάχει μελίγηρυν ἀοιδήν.

σὺν δέ σφιν τότε Νύμφαι ὀρεστιάδες, λιγύμολποι,
φοιτῶσαι πύκα ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ
μέλπονται· κορυφὴν δὲ περιστένει οὔρεος ἠχώ—
δαίμων δ' ἔνθα καὶ ἔνθα χορῶν, τοτὲ δ' ἐς μέσον ἕρπων,
πυκνὰ ποσὶν διέπει· λαῖφος δ' ἐπὶ νῶτα δαφοινὸν
λυγκὸς ἔχει, λιγυρῇσιν ἀγαλλόμενος φρένα μολπαῖς—
ἐν μαλακῷ λειμῶνι, τόθι κρόκος ἠδ' ὑάκινθος
εὐώδης θαλέθων καταμίσγεται ἄκριτα ποίῃ.
ὑμνεῦσιν δὲ θεοὺς μάκαρας καὶ μακρὸν Ὄλυμπον·
οἷόν θ' Ἑρμείην ἐριούνιον ἔξοχον ἄλλων
ἔννεπον, ὡς ὅγ' ἅπασι θεοῖς θοὸς ἄγγελός ἐστιν.
καί ῥ' ὅγ' ἐς Ἀρκαδίην πολυπίδακα, μητέρα μήλων,
ἐξίκετ', ἔνθα τέ οἱ τέμενος Κυλληνίου ἐστίν·
ἔνθ' ὅγε, καὶ θεὸς ὤν, ψαφαρότριχα μῆλ' ἐνόμευεν
ἀνδρὶ πάρα θνητῷ. θάλε γὰρ πόθος ὑγρὸς ἐπελθὼν,
Νύμφῃ ἐϋπλοκάμῳ Δρύοπος φιλότητι μιγῆναι·
ἐκ δ' ἐτέλεσσε γάμον θαλερόν· τέκε δ' ἐν μεγάροισιν
Ἑρμείῃ φίλον υἱὸν, ἄφαρ τερατωπὸν ἰδέσθαι,
αἰγιπόδην, δικέρωτα, πολύκροτον, ἡδυγέλωτα·
φεῦγε δ' ἀναΐξασα, λίπεν δ' ἄρα παῖδα τιθήνη·
δεῖσε γὰρ, ὡς ἴδεν ὄψιν ἀμείλιχον, ἠϋγένειον.
τὸν δ' αἶψ' Ἑρμείας ἐριούνιος ἐς χέρα θῆκεν
δεξάμενος· χαῖρεν δὲ νόῳ περιώσια δαίμων.
ῥίμφα δ' ἐς ἀθανάτων ἕδρας κίε, παῖδα καλύψας
δέρμασιν ἐν πυκινοῖσιν ὀρεσκῴοιο λαγωοῦ·
πὰρ δὲ Ζηνὶ κάθιζε καὶ ἄλλοις ἀθανάτοισιν,
δεῖξε δὲ κοῦρον ἑόν· πάντες δ' ἄρα θυμὸν ἔτερφθεν
ἀθάνατοι, περίαλλα δ' ὁ Βάκχειος Διόνυσος·
Πᾶνα δέ μιν καλέεσκον, ὅτι φρένα πᾶσιν ἔτερψεν.

Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ· λίτομαι δέ σ' ἀοιδῇ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΙΘ.

ΕΙΣ ΗΦΑΙΣΤΟΝ.

ΗΦΑΙΣΤΟΝ κλυτόμητιν ἀείδεο, Μοῦσα λίγεια,
ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα
ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονὸς, οἳ τὸ πάρος περ
ἄντροις ναιετάασκον ἐν οὔρεσιν, ἠΰτε θῆρες·
νῦν δὲ δι' Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες,
ῥηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν
εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.

Ἀλλ' ἵληθ', Ἥφαιστε· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

Κ.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

ΦΟΙΒΕ, σὲ μὲν καὶ κύκνος ὑπὸ πτερύγων λίγ' ἀείδει,
ὄχθῃ ἐπιθρώσκων ποταμὸν πάρα δινήεντα,
Πηνειόν σὲ δ' ἀοιδὸς, ἔχων φόρμιγγα λίγειαν,
ἡδυεπὴς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδει.

Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ· ἵλαμαι δέ σ' ἀοιδῇ.

ΚΑ.

ΕΙΣ ΠΟΣΕΙΔΩΝΑ.

ἈΜΦΙ Ποσειδάωνα, θεὸν μέγαν, ἄρχομ' ἀείδειν,
γαίης κινητῆρα καὶ ἀτρυγέτοιο θαλάσσης,
πόντιον, ὅσθ' Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς.
διχθά τοι, Ἐννοσίγαιε, θεοὶ τιμὴν ἐδάσαντο,
ἵππων τε δμητῆρ' ἔμεναι, σωτῆρά τε νηῶν.

Χαῖρε, Ποσείδαον γαιήοχε, κυανοχαῖτα,
καὶ μάκαρ, εὐμενὲς ἦτορ ἔχων, πλώουσιν ἄρηγε.

ΚΒ.

ΕΙΣ ΔΙΑ.

ΖΗΝΑ, θεῶν τὸν ἄριστον, ἀείσομαι, ἠδὲ μέγιστον,
εὐρύοπα, κρείοντα, τελεσφόρον, ὅστε Θέμιστι
ἐγκλιδὸν ἑζομένῃ πυκινοὺς ὀάρους ὀαρίζει.

Ἴληθ', εὐρύοπα Κρονίδη, κύδιστε, μέγιστε.

ΚΓ.

ΕΙΣ ΕΣΤΙΑΝ.

ἙΣΤΙΗ, ἥτε ἄνακτος, Ἀπόλλωνος ἑκάτοιο,
Πυθοῖ ἐν ἠγαθέῃ ἱερὸν δόμον ἀμφιπολεύεις,
αἰεὶ σῶν πλοκάμων ἀπολείβεται ὑγρὸν ἔλαιον.
ἔρχεο τόνδ' ἀνὰ οἶκον, ἐνηέα θυμὸν ἔχουσα,
σὺν Διῒ μητιόεντι, χάριν δ' ἅμ' ὄπασσον ἀοιδῇ.

ΚΔ.

ΕΙΣ ΜΟΥΣΑΣ ΚΑΙ ἈΠΟΛΛΩΝΑ.

ΜΟΥΣΑΩΝ ἄρχωμαι, Ἀπόλλωνός τε Διός τε.
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταὶ,
ἐκ δὲ Διὸς βασιλῆες. ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.

Χαίρετε, τέκνα Διὸς, καὶ ἐμὴν τιμήσατ' ἀοιδήν·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΚΕ.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

ΚΙΣΣΟΚΟΜΗΝ Διόνυσον, ἐρίβρομον, ἄρχομ' ἀείδειν,
Ζηνὸς καὶ Σεμέλης ἐρικυδέος ἀγλαὸν υἱὸν,
ὃν τρέφον ἠΰκομοι Νύμφαι, παρὰ πατρὸς ἄνακτος
δεξάμεναι κόλποισι, καὶ ἐνδυκέως ἀτίταλλον,
Νύσης ἐν γυάλοις· ὁ δ' ἀέξετο πατρὸς ἕκητι
ἄντρῳ ἐν εὐώδει, μεταρίθμιος ἀθανάτοισιν.
αὐτὰρ ἐπειδὴ τόνδε θεαὶ πολύυμνον ἔθρεψαν,
δὴ τότε φοιτίζεσκε καθ' ὑλήεντας ἐναύλους,
κισσῷ καὶ δάφνῃ πεπυκασμένος· αἱ δ' ἅμ' ἕποντο
Νύμφαι, ὁ δ' ἐξηγεῖτο· βρόμος δ' ἔχεν ἄσπετον ὕλην.

Καὶ σὺ μὲν οὕτω χαῖρε, πολυστάφυλ' ὦ Διόνυσε·
δὸς δ' ἡμᾶς χαίροντας ἐς ὥρας αὖτις ἱκέσθαι,
ἐκ δ' αὖθ' ὡράων ἐς τοὺς πολλοὺς ἐνιαυτούς.

Κς.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Οἱ μὲν γὰρ Δρακάνῳ σ', οἱ δ' Ἰκάρῳ ἠνεμοέσσῃ
φάσ', οἱ δ' ἐν Νάξῳ, Δῖον γένος, Εἰραφιῶτα,
οἱ δέ σ' ἐπ' Ἀλφειῷ ποταμῷ βαθυδινήεντι
κυσαμένην Σεμέλην τεκέειν Διῒ τερπικεραύνῳ,
ἄλλοι δ' ἐν Θήβῃσιν, ἄναξ, σὲ λέγουσι γενέσθαι·
ψευδόμενοι. σὲ δ' ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε
πολλὸν ἀπ' ἀνθρώπων, κρύπτων λευκώλενον Ἥρην.
ἔστι δέ τις Νύση, ὕπατον ὄρος, ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων

καί οἱ ἀναστήσουσιν ἀγάλματα πόλλ' ἐνὶ νηοῖς.
ὡς δὲ τὰ μὲν τρία, σοὶ πάντως τριετήρισιν αἰεὶ

ἄνθρωποι ῥέξουσι τεληέσσας ἑκατόμβας.

Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

Ὣς εἰπὼν, ἐπένευσε καρήατι μητίετα Ζεύς.

Ἵληθ', Εἰραφιῶτα, γυναιμανές· οἱ δέ σ' ἀοιδοὶ
ᾄδομεν ἀρχόμενοι λήγοντές τ'· οὐδέ πῃ ἔστιν,
σεῖ' ἐπιληθόμενον ἱερῆς μεμνῆσθαι ἀοιδῆς.

Καὶ σὺ μὲν οὕτω χαῖρε, Διώνυσ' εἰραφιῶτα,
σὺν μητρὶ Σεμέλῃ, ἥνπερ καλέουσι Θυώνην.

ΚΖ.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

ἌΡΤΕΜΙΝ ἀείδω χρυσηλάκατον, κελαδεινὴν,
παρθένον αἰδοίην, ἐλαφηβόλον, ἰοχέαιραν,
αὐτοκασιγνήτην χρυσαόρου Ἀπόλλωνος·
ἣ κατ' ὄρη σκιόεντα καὶ ἄκριας ἠνεμοέσσας
ἄγρῃ τερπομένη παγχρύσεα τόξα τιταίνει,
πέμπουσα στονόεντα βέλη· τρομέει δὲ κάρηνα
ὑψηλῶν ὀρέων, ἰάχει δ' ἐπὶ δάσκιος ὕλη
δεινὸν ὑπὸ κλαγγῆς θηρῶν· φρίσσει δέ τε γαῖα,
πόντος τ' ἰχθυόεις· ἡ δ' ἄλκιμον ἦτορ ἔχουσα
πάντῃ ἐπιστρέφεται, θηρῶν ὀλέκουσα γενέθλην.
αὐτὰρ ἐπὴν τερφθῇ θηροσκόπος Ἰοχέαιρα,
εὐφρήνῃ δὲ νόον, χαλάσασ' εὐκαμπέα τόξα,
ἔρχεται ἐς μέγα δῶμα κασιγνήτοιο φίλοιο,
Φοίβου Ἀπόλλωνος, Δελφῶν ἐς πίονα δῆμον,
Μουσέων καὶ Χαρίτων καλὸν χορὸν ἀρτυνέουσα.
ἔνθα καταιρεμάσασα παλίντονα τόξα καὶ ἰοὺς,
ἡγεῖται, χαρίεντα περὶ χροῒ κόσμον ἔχουσα

ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὄπ' ἰεῖσαι
ὑμνεῦσιν Λητὼ καλλίσφυρον, ὡς τέκε παῖδας,
ἀθανάτων βουλῇ τε καὶ ἔργμασιν ἔξοχ' ἀρίστους.

Χαίρετε, τέκνα Διὸς καὶ Λητοῦς ἠϋκόμοιο·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΚΗ.

ΕΙΣ ΑΘΗΝΑΝ.

ΠΑΛΛΑΔ' Ἀθηναίην, κυδρὴν θεόν, ἄρχομ' ἀείδειν,
γλαυκῶπιν, πολύμητιν, ἀμείλιχον ἦτορ ἔχουσαν,
παρθένον αἰδοίην, ἐρυσίπτολιν, ἀλκήεσσαν,
Τριτογενῆ, τὴν αὐτὸς ἐγείνατο μητίετα Ζεὺς
σεμνῆς ἐκ κεφαλῆς, πολεμήϊα τεύχε' ἔχουσαν,
χρύσεα, παμφανόωντα· σέβας δ' ἔχε πάντας ὁρῶντας
ἀθανάτους. ἡ δὲ πρόσθεν Διὸς αἰγιόχοιο
ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου,
σείσασ' ὀξὺν ἄκοντα· μέγας δ' ἐλελίζετ' Ὄλυμπος
δεινὸν ὑπὸ βρίμῃ Γλαυκώπιδος· ἀμφὶ δὲ γαῖα
σμερδαλέον ἰάχησεν· ἐκινήθη δ' ἄρα πόντος,
κύμασι πορφυρέοισι κυκώμενος, ἔσχετο δ' ἅλμη
ἐξαπίνης· στῆσεν δ' Ὑπερίονος ἀγλαὸς υἱὸς
ἵππους ὠκύποδας δηρὸν χρόνον, εἰσόκε κούρη
εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη,
Παλλὰς Ἀθηναίη· γήθησε δὲ μητίετα Ζεύς.

Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς τέκος αἰγιόχοιο·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΚΘ.

ΕΙΣ ΕΣΤΙΑΝ ΚΑΙ ΕΡΜΗΝ.

Ἱστίη, ἣ πάντων ἐν δώμασιν ὑψηλοῖσιν
ἀθανάτων τε θεῶν, χαμαὶ ἐρχομένων τ' ἀνθρώπων,
ἕδρην ἀΐδιον ἔλαχες, πρεσβηΐδα τιμὴν

καλὸν ἔχουσα γέρας καὶ τιμήν· οὐ γὰρ ἄτερ σοῦ
εἰλαπίναι θνητοῖσιν, ἵν' οὐ πρώτῃ πυμάτῃ τε
Ἱστίῃ ἀρχόμενος σπένδει μελιηδέα οἶνον.

καὶ σύ μοι, Ἀργειφόντα, Διὸς καὶ Μαιάδος υἱὲ,
ἄγγελε τῶν μακάρων, χρυσόῤῥαπι, δῶτορ ἐάων·
ναίετε δώματα καλὰ, φίλα φρεσὶν ἀλλήλοισιν

ἵλαος ὢν ἐπάρηγε σὺν αἰδοίῃ τε φίλῃ τε
Ἱστίῃ. ἀμφότεροι γὰρ ἐπιχθονίων ἀνθρώπων
εἰδότες ἔργματα καλὰ, νόῳ θ' ἕσπεσθε καὶ ἥβῃ.

Χαῖρε, Κρόνου θύγατερ, σύ τε καὶ χρυσόῤῥαπις Ἑρμῆς·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Λ.

ΕΙΣ ΓΗΝ ΜΗΤΕΡΑ ΠΑΝΤΩΝ.

Γαῖαν παμμήτειραν ἀείσομαι, ἠϋθέμεθλον,
πρεσβίστην, ἣ φέρβει ἐπὶ χθονὶ πάνθ', ὁπόσ' ἔστιν,
ἠμὲν ὅσα χθόνα δῖαν ἐπέρχεται, ἠδ' ὅσα πόντον,
ἠδ' ὅσα πωτῶνται, τάδε φέρβεται ἐκ σέθεν ὄλβου.
ἐκ σέο δ' εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσιν,
πότνια· σεῦ δ' ἔχεται δοῦναι βίον ἠδ' ἀφελέσθαι
θνητοῖς ἀνθρώποισιν. ὁ δ' ὄλβιος, ὅν κε σὺ θυμῷ

πρόφρων τιμήσεις· τῷ τ' ἄφθονα πάντα πάρεστιν.
βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ' ἀγροὺς
κτήνεσιν εὐθηνεῖ, οἶκος δ' ἐμπίμπλαται ἐσθλῶν·
αὐτοὶ δ' εὐνομίῃσι πόλιν κάτα καλλιγύναικα
κοιρανέουσ', ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ·
παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσιν,
παρθενικαί τε χοροῖς εὐανθέσιν εὔφρονι θυμῷ
παίζουσαι σκαίρουσι κατ' ἄνθεα μαλθακὰ ποίης,
οὕς κε σὺ τιμήσεις, σεμνὴ θεά, ἄφθονε δαῖμον.

Χαῖρε, θεῶν μῆτερ, ἄλοχ' Οὐρανοῦ ἀστερόεντος,
πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΛΑ.

ΕΙΣ ΗΛΙΟΝ.

Ἥλιον ὑμνεῖν αὖτε, Διὸς τέκος, ἄρχεο, Μοῦσα,
Καλλιόπη, φαέθοντα, τὸν Εὐρυφάεσσα βοῶπις
γείνατο Γαίης παιδὶ καὶ Οὐρανοῦ ἀστερόεντος.
γῆμε γὰρ Εὐρυφάεσσαν ἀγακλειτὴν Ὑπερίων,
αὐτοκασιγνήτην, ἥ οἱ τέκε κάλλιμα τέκνα,
Ἠῶ τε ῥοδόπηχυν, ἐϋπλόκαμόν τε Σελήνην,
Ἠέλιόν τ' ἀκάμαντ', ἐπιείκελον ἀθανάτοισιν,
ὃς φαίνει θνητοῖσι καὶ ἀθανάτοισι θεοῖσιν,
ἵπποις ἐμβεβαώς· σμερδνὸν δ' ὅγε δέρκεται ὄσσοις
χρυσέης ἐκ κόρυθος, λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ
αἰγλῆεν στίλβουσι, παρὰ κροτάφων τε παρειαὶ
λαμπραὶ ἀπὸ κρατὸς χαρίεν κατέχουσι πρόσωπον
τηλαυγές· καλὸν δὲ περὶ χροῒ λάμπεται ἔσθος,
λεπτουργές, πνοιῇ ἀνέμων· ὑπὸ δ' ἄρσενες ἵπποι

ἔνθ' ἄρ' ὅγε στήσας χρυσόζυγον ἅρμα καὶ ἵππους
ἑσπέριος πέμπῃσι δι' οὐρανοῦ Ὠκεανόνδε.

Χαῖρε, ἄναξ, πρόφρων δὲ βίον θυμήρε' ὄπαζε·
ἐκ σέο δ' ἀρξάμενος, κλήσω μερόπων γένος ἀνδρῶν
ἡμιθέων, ὧν ἔργα θεοὶ θνητοῖσιν ἔδειξαν.

ΛΒ.

ΕΙΣ ΣΕΛΗΝΗΝ.

ΜΗΝΗΝ ἀείδειν τανυσίπτερον ἔσπετε, Μοῦσαι,
ἡδυεπεῖς κοῦραι Κρονίδεω Διὸς, ἵστορες ᾠδῆς·
ἧς ἄπο αἴγλη γαῖαν ἑλίσσεται οὐρανόδεικτος,
κρατὸς ἀπ' ἀθανάτοιο, πολὺς δ' ὑπὸ κόσμος ὄρωρεν
αἴγλης λαμπούσης· στίλβει δέ τ' ἀλάμπετος ἀὴρ
χρυσέου ἀπὸ στεφάνου· ἀκτῖνες δ' ἐνδιάονται,
εὖτ' ἂν ἀπ' Ὠκεανοῖο λοεσσαμένη χρόα καλὸν,
εἵματα ἑσσαμένη τηλαυγέα, δῖα Σελήνη,
ζευξαμένη πώλους ἐριαύχενας, αἰγλήεντας,
ἐσσυμένως προτέρωσ' ἐλάσῃ καλλίτριχας ἵππους,
ἑσπερίη διχόμηνος, ὅτε πλήθῃ μέγας ὄγμος,
λαμπρόταταί τ' αὐγαὶ τότ' ἀεξομένης τελέθωσιν
οὐρανόθεν· τέκμωρ δὲ βροτοῖς καὶ σῆμα τέτυκται.
τῇ ῥά ποτε Κρονίδης ἐμίγη φιλότητι καὶ εὐνῇ·
ἡ δ' ὑποκυσσαμένη Πανδίην γείνατο κούρην,
ἐκπρεπὲς εἶδος ἔχουσαν ἐν ἀθανάτοισι θεοῖσιν.

Χαῖρε, ἄνασσα, θεὰ λευκώλενε, δῖα Σελήνη,
πρόφρον, ἐϋπλόκαμος· σέο δ' ἀρχόμενος, κλέα φωτῶν
ᾄσομαι ἡμιθέων, ὧν κλείουσ' ἔργματ' ἀοιδοὶ,
Μουσάων θεράποντες, ἀπὸ στομάτων ἐροέντων.

ΛΓ.

ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ.

ἈΜΦΙ Διὸς κούρους ἑλικώπιδες ἔσπετε Μοῦσαι,
Τυνδαρίδας, Λήδης καλλισφύρου ἀγλαὰ τέκνα,

Κάστορά θ' ἱππόδαμον, καὶ ἀμώμητον Πολυδεύκεα·
τοὺς ὑπὸ Τηϋγέτου κορυφῇ, ὄρεος μεγάλοιο,
μιχθεῖσ' ἐν φιλότητι κελαινεφέϊ Κρονίωνι,
σωτῆρας τέκε παῖδας ἐπιχθονίων ἀνθρώπων,
ὠκυπόρων τε νεῶν, ὅτε τε σπέρχωσιν ἄελλαι
χειμέριαι κατὰ πόντον ἀμείλιχον· οἱ δ' ἀπὸ νηῶν
εὐχόμενοι καλέουσι Διὸς κούρους μεγάλοιο
ἄρνεσσιν λευκοῖσιν, ἐπ' ἀκρωτήρια βάντες
πρύμνης· τὴν δ' ἄνεμός τε μέγας καὶ κῦμα θαλάσσης
θῆκαν ὑποβρυχίην· οἱ δ' ἐξαπίνης ἐφάνησαν
ξουθῇσι πτερύγεσσι δι' αἰθέρος ἀΐξαντες,
αὐτίκα δ' ἀργαλέων ἀνέμων κατέπαυσαν ἀέλλας,
κύματα δ' ἐστόρεσαν λευκῆς ἁλὸς ἐν πελάγεσσιν
ναύταις, σήματα καλὰ πόνου σφίσιν· οἱ δὲ ἰδόντες
γήθησαν, παύσαντο δ' ὀϊζυροῖο πόνοιο.

Χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΕΠΙΓΡΑΜΜΑΤΑ

ΚΑΙ ΑΛΛΑ ΤΙΝΑ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ ΕΠΩΝ

ΕΙΣ ΟΜΗΡΟΝ ΑΝΑΦΕΡΟΜΕΝΑ.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

Α.

ΠΡΟΣ ΝΕΟΤΕΙΧΕΙΣ.

ΑΙΔΕΙΣΘΕ ξενίων κεχρημένον ἠδὲ δόμοιο,
οἳ πόλιν αἰπεινὴν, Κύμης ἐριώπιδα κούρην,
ναίετε, Σαιδήνης πόδα νείατον ὑψικόμοιο,
ἀμβρόσιον πίνοντες ὕδωρ ξανθοῦ ποταμοῖο,
Ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.

Β.

ΕΙΣ ΤΗΝ ΚΥΜΗΝ ΑΝΑΣΤΡΕΨΩΝ.

ΑΙΨΑ πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν·
τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.

Γ.

ΕΙΣ ΜΙΔΗΝ.

ΧΑΛΚΕΗ παρθένος εἰμὶ, Μιδέω δ' ἐπὶ σήματι κεῖμαι.
ἔστ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠελιός τ' ἀνιὼν φαίνῃ, λαμπρή τε σελήνη,
καὶ ποταμοὶ πλήθωσιν, ἀνακλύζῃ δὲ θάλασσα·
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδης, ὅτι τῇδε τέθαπται.

Δ.

ΠΡΟΣ ΚΥΜΑΙΟΥΣ.

Οἵῃ μ' αἴσῃ δῶκε πατὴρ Ζεὺς κύρμα γενέσθαι,
νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀτάλλων!
ἥν ποτ' ἐπύργωσαν βουλῇ Διὸς αἰγιόχοιο
λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων,
ὁπλότεροι, μαλεροῖο πυρὸς κρίνοντες Ἄρηα,
Αἰολίδα Σμύρνην ἁλιγείτονα, ποντοτίνακτον,
ἥντε δι' ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος.
ἔνθεν ἀπορνύμεναι κοῦραι Διὸς, ἀγλαὰ τέκνα,
ἠθελέτην κλῆσαι δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν·
οἱ δ' ἀπανηνάσθην ἱερὴν ὄπα, φῆμιν ἀοιδῆς,
ἀφραδίῃ. τῶν μέν τε παθών τις φράσσεται αὖτις,
ὅ σφιν ὀνειδείῃσιν ἐμὸν διεμήσατο πότμον.
κῆρα δ' ἐγὼ, τήν μοι θεὸς ὤπασε γεινομένῳ περ,
τλήσομαι, ἀκράαντα φέρων τετληότι θυμῷ·
οὐδέ τί μοι φίλα γυῖα μένειν ἱεραῖς ἐν ἀγυιαῖς
Κύμης ὁρμαίνουσι, μέγας δέ με θυμὸς ἐπείγει
δῆμον ἐς ἀλλοδαπὸν ἰέναι, ὀλίγον περ ἐόντα.

Ε.

ΠΡΟΣ ΘΕΣΤΟΡΙΔΗΝ.

ΘΕΣΤΟΡΙΔΗ, θνητοῖσιν ἀνωΐστων πολέων περ,
οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

ϛ.

ΠΟΣΕΙΔΩΝΙ.

ΚΛΥΘΙ, Ποσείδαον μεγαλοσθενὲς, ἐννοσίγαιε,
εὐρυχόρου μεδέων ἠδὲ ζαθέου Ἑλικῶνος.

δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
ναύτης, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασιν.
δὸς δ' ἐς ὑπωρείην ὑψικρήμνοιο Μίμαντος
αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων τε κυρῆσαι·
φῶτά τε τισαίμην, ὃς ἐμὸν νόον ἠπεροπεύσας,
ὠδύσατο Ζῆνα ξένιον, ξενίην τε τράπεζαν.

Ζ.

ΕΙΣ ΠΟΛΙΝ ΕΡΥΘΡΑΙΑΝ.

ΠΟΤΝΙΑ γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβου,
ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,
τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ', οἷς ἐχολώθης.

Η.

ΠΡΟΣ ΝΑΥΤΑΣ.

ΝΑΥΤΑΙ ποντοπόροι, στυγερῇ ἐναλίγκιοι Ἄτῃ,
πτωκάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,
αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος·
δεινὴ γὰρ μέτοπις ξενίου Διὸς, ὅς κ' ἀλίτηται.

Θ.

ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΥΣ.

ὙΜΕΑΣ, ὦ ξεῖνοι, ἄνεμος λάβεν ἀντίος ἐλθών·
ἀλλ' ἔτι νῦν δέξασθε, καὶ ὁ πλόος ἔσσεται ὑμῖν.

Ι.

ΕΙΣ ΠΕΥΚΗΝ.

ἌΛΛΗ τίς σευ, πεύκη, ἀμείνονα καρπὸν ἵησιν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἠνεμοέσσης.

ἔνθα σίδηρος Ἄρηος ἐπιχθονίοισι βροτοῖσιν
ἔσσεται, εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσιν.

ΙΑ.

ΠΡΟΣ ΓΛΑΥΚΟΝ ΤΟΝ ΑΙΠΟΛΟΝ.

ΓΛΑΥΚΕ, βοτῶν ἐπίοπτα, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσιν
δοῦναι· ὣς γὰρ ἄμεινον. ὁ γὰρ καὶ πρῶτον ἀκούει
ἀνδρὸς ἐπερχομένου, καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

ΙΒ.

ΕΙΣ ΤΗΝ ΙΕΡΕΙΑΝ ΕΝ ΣΑΜΩΙ.

ΚΛΥΘΙ μοι εὐχομένῳ, Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνήν·
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ὧραι μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ.

ΙΓ.

ΕΙΣ ΟΙΚΟΝ ΤΩΝ ΦΡΑΤΟΡΩΝ.

ἈΝΔΡΟΣ μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης·
χρήματα δ' αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες,
ἥμενοι εἰν ἀγορῇ, κόσμος λαοῖσιν ὁρᾶσθαι·
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.
[ἤματι χειμερίῳ, ὁπότ' ἂν νίφῃσι Κρονίων.]

ΙΔ.

ΚΑΜΙΝΟΣ Η ΚΕΡΑΜΙΣ.

Εἴ μοι δώσετε μισθὸν, ἀείσω, ὦ κεραμῆες·
δεῦρ' ἄγ', Ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου·
εὖ δὲ πεπανθεῖεν κότυλοι καὶ πάντα κάναστρα,
φρυχθῆναί τε καλῶς, καὶ τιμῆς ὦνον ἀρέσθαι,
πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς
πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ, ὥς σφιν ἀεῖσαι.
ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδε' ἄρησθε,
συγκαλέω δὴ ἔπειτα καμίνῳ δηλητῆρας,
Σύντριβ' ὁμῶς Σμάραγόν τε καὶ Ἄσβετον ἠδὲ Σαβάκτην,
Ὠμόδαμόν θ', ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζοι.
πέρθε πύρ' αἴθουσαν καὶ δώματα· σὺν δὲ κάμινος
πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων.
ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος,
πάντ' ἔντοσθ' αὐτῆς κεραμήϊα λεπτὰ ποιοῦσα.
δεῦρο καὶ Ἠελίου θύγατερ, πολυφάρμακε Κίρκη,
ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα.
δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους,
οἵ θ' Ἡρακλῆος χεῖρας φύγον, οἵ τ' ἀπόλοντο·
τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος,
αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά·
γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.
ὃς δέ χ' ὑπερκύψει, περὶ τούτου πᾶν τὸ πρόσωπον
φλεχθείη, ὡς πάντες ἐπίσταιντ' αἴσιμα ῥέζειν.

ΙΕ.

ΕΙΡΕΣΙΩΝΗ.

ΔΩΜΑ προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο,
ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει ὄλβιος αἰεί.
αὐταὶ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔσεισιν

πολλὸς, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα,
εἰρήνη τ' ἀγαθή· ὅσα δ' ἄγγεα, μεστὰ μὲν εἴη,
κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μάζα.
[νῦν μὲν κριθαίην εὐώπιδα σησαμόεσσαν.]
τοῦ παιδὸς δὲ γυνὴ κατὰ δίφρακα βήσεται ὔμμιν,
ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα·
αὐτὴ δ' ἱστὸν ὑφαίνοι ἐπ' ἠλέκτρῳ βεβαυῖα.
νεῦμαί τοι, νεῦμαι ἐνιαύσιος, ὥστε χελιδών.
ἕστηκ' ἐν προθύροις, ψιλὴ πόδας· ἀλλὰ φέρ' αἶψα
πέρσαι τῷ Ἀπόλλωνι γυιάτιδος

Εἰ μέν τι δώσεις· εἰ δὲ μὴ, οὐχ ἑστήξομεν·
οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν.

ΙϚ.

ΤΟΙΣ ΑΛΙΕΥΣΙΝ.

ΟΜΗΡΟΣ.

Ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;

ΑΛΙΕΙΣ.

Ὅσσ' ἕλομεν, λιπόμεσθ'· ὅσσ' οὐχ ἕλομεν, φερόμεσθα.

ΟΜΗΡΟΣ.

Τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάατε,
οὔτε βαθυκλήρων, οὔτ' ἄσπετα μῆλα νεμόντων.

ΕΙΣ ΤΟΝ ΟΜΗΡΟΥ ΤΑΦΟΝ.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

ΑΠΟΣΠΑΣΜΑΤΙΑ ΕΠΩΝ.

Α. ΕΚ ΤΟΥ ΜΑΡΓΙΤΟΥ.

Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.

τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα,
οὔτ' ἄλλως τι σοφόν· πάσης δ' ἡμάρτανε τέχνης.

Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος

Β. ΕΚ ΤΗΣ ΘΗΒΑΙΔΟΣ (ΚΥΚΛΙΚΗΣ).

Ἄργος ἄειδε, θεὰ, πολυδίψιον, ἔνθεν ἄνακτες

εἵματα λυγρὰ φέρων σὺν Ἀρίονι κυανοχαίτῃ

αὐτὰρ ὁ Διογενὴς ἥρως, ξανθὸς Πολυνείκης,
πρῶτα μὲν Οἰδίποδι καλὴν παρέθηκε τράπεζαν
ἀργυρέην Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα
χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου,
αὐτὰρ ὅγ' ὡς φράσθη παρακείμενα πατρὸς ἑοῖο
τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ.
αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπαρὰς
ἀργαλέας ἠρᾶτο· θεὸν δ' οὐ λάνθαν' Ἐρινύν·
ὡς οὔ οἱ πατρῷά γ' ἐνὶ φιλότητι δάσαιντο,
εἶεν δ' ἀμφοτέροισιν ἀεὶ πόλεμοί τε μάχαι τε.

ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον·
ὤ μοι ἐγὼ, παῖδές μοι ὀνειδείοντες ἔπεμψαν.
εὖκτο Διῒ βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισιν,
χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω.

Γ. ΕΚ ΤΩΝ ΕΠΙΓΟΝΩΝ.

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.

Δ. ΕΚ ΤΩΝ ΚΥΠΡΙΩΝ (ΣΤΑΣΙΝΟΥ).

Ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμεν' ἀνδρῶν
βαθυστέρνου πλάτος αἴης.
Ζεὺς δὲ ἰδὼν ἐλέησε, καὶ ἐν πυκιναῖς πραπίδεσσιν
σύνθετο κουφίσσαι ἀνδρῶν παμβώτορα γαῖαν,
ῥιπίσσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο,
ὄφρα κενώσειεν θανάτῳ βάρος· οἱ δ' ἐνὶ Τροίῃ
ἥρωες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

αἶψα δὲ Λυγκεὺς
Τηΰγετον προσέβαινε, ποσὶν ταχέεσσι πεποιθώς·
ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
Ταντaλίδου Πέλοπος· τάχα δ' εἴσιδε κύδιμος ἥρως
δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα.
νύξε δ' ἄρ' ἄγχι στὰς τὸν Κάστορα

Ε. ΕΚ ΤΗΣ ΜΙΚΡΑΣ ΙΛΙΑΔΟΣ (ΛΕΣΧΕΩ).

Ἴλιον ἀείδω καὶ Δαρδανίην κλυτόπωλον,
ἧς πέρι πολλὰ πάθον Δαναοί, θεράποντες Ἄρηος.

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηϊοτῆτος
ἥρω Πηλείδην, οὐδ' ἤθελε δῖος Ὀδυσσεύς.

πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη.

Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα·
ἔνθ' ὅγ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης.

ἀμφὶ δὲ πόρκης
χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ δίκροος

νὺξ μὲν ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη.

αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον κατάγει κοίλας ἐπὶ νῆας·
παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης
ῥῖψε, ποδὸς τεταγὼν, ἀπὸ πύργου· τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ Μοῖρα κραταιή.
ἐκ δ' ἕλετ' Ἀνδρομάχην, ἠΰζωνον παράκοιτιν
Εκτορος, ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν, ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί.
αὐτόν τ' Ἀγχίσαο γόνον κλυτὸν ἱπποδάμοιο,
Αἰνείαν, ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν,
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

ς. ΕΚ ΤΩΝ ΝΟΣΤΩΝ.

Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσιν,
φάρμακα πόλλ' ἕψουσ' ἐνὶ χρυσείοισι λέβησιν.

Ζ. ΕΚ ΤΩΝ ΚΕΡΚΩΠΩΝ.

Ἐξαπατητῆρές τ' ἦσαν καὶ ψεῦσται

Η. ΕΞ ΑΔΗΛΩΝ ΤΙΝΩΝ ΕΠΩΝ.

Ὡς ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν.

φήμη δ' ἐς στρατὸν ἦλθε

πὰρ γὰρ ἐμοὶ θάνατος

Γρουνὸν μὲν δαίοντο· μέγας δ' Ἥφαιστος ἀνέστη.

δωρήσω τρίποδα χρυσούατον

χαλκῷ ἀπὸ ψυχὴν ἐρύσας

τάμ' ἀπειρεῖ χαλκῷ

βαρύβρομα θωΰσσοντες

συρίζουσα λόγχη

ἀελλοπόδων δρόμον ἵππων.

ERRATA.

α'. 112. in marg. dele Fιδέ.
ε'. 312. in marg. adde Fαλῶναι.
ι'. 186. in marg. dele Fιδέ.
κ'. 68. in marg. adde ἔFασαν.
ξ'. 183. et ο'. 299. in marg. adde Fαλφῇ.
σ'. 264. in marg. post οὐ Fεῖδ' adde Fαλώω.
υ'. 327. in marg. dele Fάδοι.
φ'. 91. in marg. adde ἀάFατον.

ΤΕΛΟΣ.

I.

INDEX

LOCORUM HOMERICORUM.

ILIAS.

Ilias perperam cit. ad θ'. 224.

A. 29. cit. ad δ'. 254.
62. 63. ad ψ'. 197.
63. ad τ'. 562. 563.
71. ad χ'. 579.
78. ad ε'. 31.
82. ad β'. 315.
95. ad γ'. 467.
98. ad α'. 92.
103. 4. ad δ'. 661.
104. ad δ'. 27.
122. ad β'. 190.
132. ad ν'. 291.
135. ad β'. 115.
138. ad ε'. 310.
142. ad ε'. 27.
144-6. ad ε'. 310.
192. ad δ'. 372.
201. ad α'. 97.
219. ad θ'. 186.
222. ad β'. 238.
237. ad α'. 97.
243. 44. ad β'. 315
252. ad γ'. 245.
287. ad τ'. 285.
297. ad β'. 319.
299. ad δ'. 646.
318. 19. ad ε'. 246.
380. ad β'. 315.
405. ad σ'. 79.
429. ad β'. 315.
474. ad δ'. 19.
527. ad θ'. 567.
528. ad θ'. 186.
B. 5. 6. ad ζ'. 231.
38. ad ε'. 101. not.
41. ad δ'. 798. not.
42. 43. ad β'. 3.
B. 51. cit. ad β'. 7.
135. ad κ'. 328.
189. ad ι'. 44.
198. 99. ad ι'. 44.
235. ad α'. 1.
396. ad η'. 104.
448. ad τ'. 174.
467. 68. ad ι'. 51.
489. ad μ'. 78.
494. ad γ'. 274.
591-94. ad γ'. 7.
634. ad ι'. 24.
649. ad τ'. 174.
742. ad δ'. 442.
776-78. ad ε'. 72.
791. ad ε'. 281.
800. ad ζ'. 103. ι'. 51.
850. ad χ'. 239. not.
857. ad α'. 304.
863. ad β'. 183.
Γ. 13. ad α'. 58.
39. ad θ'. 175.
157. ad δ'. 665.
163. ad α'. 238.
174. ad δ'. 10.
185. ad ν'. 27.
197. ad μ'. 78. not.
217. ad β'. 15.
221. ad ι'. 491.
276. ad μ'. 323.
277. ad μ'. 374.
388. ad ε'. 112. ρ'. 359.
409. ad δ'. 12.
Δ. 59. ad λ'. 142.
144. ad δ'. 602.
151. ad φ'. 61.
167. 68. ad β'. 315.

I. INDEX

Δ. 182. cit. ad β'. 257.
223. ad ι'. 151.
231. ad δ'. 384.
321. ad θ'. 186.
384. ad π'. 136. not.
402. ad λ'. 360. not.
498. ad α'. 1.
535. ad α'. 58.
E. 22. ad θ'. 32.
142. ad λ'. 134.
208. ad π'. 245.
392-94. ad θ'. 224.
397. ad ξ'. 318.
486. ad θ'. 525.
500. ad η'. 104.
546.47. ad γ'. 489. not.
549. ad γ'. 489.
642. ad. κ'. 81.
697. ad γ'. 151.
738-41. ad λ'. 634.
746.47. ad α'. 99.
770. ad ν'. 366.
778. ad ε'. 337.
875. ad ι'. 19.
905. ad γ'. 464. not.
Z. 15. ad ζ'. 305.
65. ad κ'. 164.
130. ad θ'. 32.
130. sqq. ad υ'. 74.
153. ad λ'. 385. not.
220. ad α'. 318.
252. ad λ'. 239.
264. ad β'. 20.
287-90. p. 590. 591.
321. ad δ'. 65.
397. ad γ'. 81.
423-24. ad ν'. 223.
488. ad α'. 34.
490. ad α'. 356.
500. ad ε'. 265.
H. 64. ad η'. 221.
135. ad ε'. 297.
139. ad α'. 1.
161. ad θ'. 258.
241. ad ζ'. 101.
316. ad μ'. 209.
334-35. ad γ'. 109.
350. ad θ'. 11.
421.22. ad μ'. 3.
H. 453. cit. ad ν'. 35. ε'. 157.
Θ. 1. ad β'. 1.
32. ad β'. 315.
66. ad β'. 1. θ'. 1.
122. ad μ'. 75.
130. ad δ'. 441.
185. ad ι'. 456.
203. ad σ'. 89.
250. ad α'. 283.
450. ad β'. 315.
476. ad υ'. 204. vid. not.
485. ad μ'. 3.
506. 7. ad ι'. 166.
555. (Ern. 551.) cit. ad ζ'. 58.
I. 2. ad α'. 238.
7. ad μ'. 276.
53. 54. ad ξ'. 212.
56. ad γ'. 97.
147. ad α'. 276. not.
164. ad α'. 313.
193. ad α'. 417. et γ'. 309. not.
206. ad σ'. 44.
234. ad ξ'. 425.
308. ad α'. 1.
313. ad α'. 1.
324. ad ψ'. 76.
381. ad λ'. 459.
409. ad ζ'. 33.
410.11. ad α'. 34. et cf. ad α'. 42.
442.43. ad δ'. 818.
446. ad ζ'. 163.
477. (Ern. 473.) ad α'. 1.
478. (474.) ad α'. 344.
500. (496.) ad α'. 1.
530. (526.) ad ε'. 106.
568. (564.) ad λ'. 423. not.
593.94. (589.90.) ad ζ'. 9.
641.42. (639.40.) ad ε'. 310.
649. (645.) ad ζ'. 200.
653. (649.) ad γ'. 195.
K. 98. ad μ'. 281.
135. ad α'. 99.
139. ad ε'. 404.
155.56. ad ε'. 281.
158. ad ε'. 45.
164. ad μ'. 279.
252.53. ad α'. 58.
260. ad α'. 262.
351-53. ad θ'. 124.

K. 429. cit. ad γ'. 366.
447. ad ζ'. 303.
460. ad γ'. 71.
500. ad ζ'. 74.
570. ad β'. 417.
Λ. 1. ad β'. 1. et θ'. 1.
105. ad μ'. 54. not.
147. ad τ'. 28.
164. ad λ'. 134.
298. ad γ'. 6.
308. ad ε'. 404.
327. ad γ'. 151.
450. ad χ'. 412.
461. ad ε'. 404.
483. ad μ'. 209.
621. (Ern. 620.) ad ζ'. 98.
734. (733.) ad ξ'. 222.
801. (800.) ad γ'. 154.
818. (817.) ad κ'. 579.
M. 70. ad ξ'. 182. not.
118. ad ε'. 281.
167. ad υ'. 27.
239-40. ad β'. 154. θ'. 29.
254.55. ad κ'. 213.
393. ad λ'. 565.
455. ad φ'. 47.
N. 41. ad ξ'. 268. not.
45. ad ε'. 281.
59. 60. ad ε'. 238.
102. 3. ad ε'. 368.
103. ad β'. 289.
127. ad μ'. 88.
233. ad δ'. 19. ζ'. 101. not.
322. ad η'. 104.
336. ad δ'. 659.
355. ad ν'. 142.
365.66. ad λ'. 239. 521.
493. ad μ'. 284.
523. ad θ'. 104.
544. ad δ'. 793. not.
588. ad τ'. 28.
588.89. ad λ'. 128.
616.17. ad δ'. 662.
772. ad ε'. 313.
793-94. ad β'. 1.
803. 4. ad ζ'. 134.
824. ad σ'. 79.
Ξ. 92. ad θ'. 240. not.
174. ad ε'. 205.
Ξ. 199. cit. ad λ'. 221. not.
216.17. ad θ'. 288.
233. ad ε'. 8.
290. ad α'. 320.
404. 5. ad β'. 3.
433. ad β'. 319.
434. ad δ'. 477.
O. 10. ad ζ'. 258.
189. ad ε'. 244.
193. ad ε'. 244.
305. ad γ'. 304.
309.10. ad γ'. 432.
322. ad ι'. 97.
325. ad ρ'. 21.
339. ad τ'. 136. not.
365. ad ω'. 1 not.
401. ad τ'. 457.
538. ad μ'. 243.
634-35. ad ζ'. 244.
Π. 14-16. ad ε'. 394.
127. ad ε'. 404.
169.70. ad γ'. 7.
173. ad η'. 126.
174. ad δ'. 477.
179. ad η'. 126.
193. ad η'. 126.
317. ad η'. 103.
803. ad τ'. 242.
P. 73. ad ι'. 40.
225.26. ad λ'. 521.
255. ad ζ'. 101. not.
263.64. ad δ'. 477.
434-35. ad α'. 1. vid. et not.
577. ad α'. 238.
591. ad δ'. 793.
599. ad χ'. 278.
670.71. ad ρ'. 134.
Σ. 56. ad ζ'. 163.
179. ad ζ'. 101. not.
283. ad δ'. 254.
318. ad α'. 320.
348. ad ε'. 249. not.
392. ad ζ'. 218.
453. ad ν'. 31. not.
486.87. ad ε'. 272.
487. ad ε'. 273.
T. 110. ad δ'. 477. bis.
247. ad θ'. 258.
273. ad τ'. 363. not.

Τ. 291. cit. ad α'. 1.
302. ad δ'. 184. bis.
404. ad υ'. 27.
407. ad ε'. 334. et ζ'. 125.
Υ. 4. ad β'. 68. not.
72. ad α'. 1. not.
138. ad κ'. 513.
152. ad α'. 1. not.
Φ. 5. ad β'. 1.
45. ad μ'. 105.
50. ad κ'. 301.
80. 81. ad β'. 1. θ'. 1.
122.23. ad ζ'. 224.
127. ad λ'. 579.
158. ad λ'. 239.
218. ad ζ'. 58.
239. ad λ'. 243.
317. ad ρ'. 10.
326. ad γ'. 6.
366. ad γ'. 121. et θ'. 225.
Χ. 55. ad σ'. 406.
80. ad β'. 300.
124.25. ad α'. 1. p. 8.
127. ad δ'. 691.
132. ad τ'. 177. et υ'. 27.
164. ad ρ'. 222.
222. ad γ'. 151.
363. ad α'. 1.
431. ad ε'. 299.
505. ad ρ'. 385.
509. ad υ'. 27.
Ψ. 55. ad β'. 289. not.
72. ad β'. 183.
Ψ. 88. cit. ad τ'. 28.
120. ad θ'. 507.
135. ad ξ'. 522.
208. ad β'. 421. not.
226.27. ad β'. 1.
227. ad β'. 1.
255. ad ε'. 249.
259.61. ad γ'. 274.
276. ad ε'. 17.
317. ad ε'. 83.
388. ad τ'. 562.
431. ad θ'. 190. et κ'. 169. not.
460. ad γ'. 246. not.
678.79. ad λ'. 275.
693. ad γ'. 6.
697. ad τ'. 28.
826. ad δ'. 626.
826.27. ad θ'. 190.
863. ad θ'. 383.
Ω. 4. 5. ad δ'. 793.
79. ad γ'. 6.
80. ad ε'. 51.
169. ad ρ'. 414.
339. ad ε'. 43.
343.44. ad κ'. 238.
390. ad λ'. 221.
425. ad ν'. 358. not.
445. ad ε'. 47.
486. ad α'. 413.
587. ad ζ'. 221. not.
707. ad α'. 1.
725. ad α'. 1.

ODYSSEA.

Α. 47. cit. ad θ'. 266.
48. 49. ad ε'. 8.
50. ad τ'. 172.
72. ad ν'. 96.
93. ad α'. 284. et γ'. 313.
96. ad ε'. 43.
109. 10. ad ε'. 319.
115. ad β'. 134.
124. ad β'. 114.
127. ad β'. 115.
142. ad α'. 112.
147. ad α'. 139. ε'. 138. τ'. 61.
Α. 175. cit. ad α'. 255.
187. ad α'. 255.
198. ad α'. 195.
203. 4. ad δ'. 167.
242. ad α'. 1. not.
284-86. ad γ'. 313.
286. ad α'. 93. not.
343. ad λ'. 634. not.
379. ad α'. 394. not.
398. ad γ'. 71.
406. 7. ad τ'. 57. not.
419. ad γ'. 309.

Α. 425. cit. ad α'. 208.
441. ad φ'. 46.
Β. 58-60. ad β'. 63.
85. ad δ'. 505.
89. ad ν'. 377.
106-8. ad ν'. 377.
168-70. ad β'. 244.
175. ad β'. 366.
206. 7. ad ε'. 211.
223. ad α'. 93.
257. ad θ'. 38.
286. 87. ad α'. 238.
291. 92. ad α'. 238.
295. ad β'. 289. not.
308. ad γ'. 97. not.
312. ad β'. 319.
316. ad χ'. 38.
316. 17. ad β'. 325.
340. 41. ad β'. 421.
355. ad η'. 104.
434. ad θ'. 183.
Γ. 81. ad α'. 186. ι'. 22.
103. ad δ'. 204.
151. ad γ'. 490.
199-200. ad δ'. 164. not.
205. ad γ'. 217.
214. ad δ'. 333.
218. ad γ'. 366.
251. ad θ'. 122.
266. ad τ'. 530.
295. ad ε'. 295.
309. ad α'. 417.
407-11. ad θ'. 6.
410. ad κ'. 517.
411. ad δ'. 311.
414. ad γ'. 442.
486. ad ζ'. 83.
Δ. 6. ad λ'. 521.
16. ad α'. 238.
27. ad η'. 313.
38. ad χ'. 324.
43. 44. ad δ'. 72.
64. ad υ'. 313.
103. ad ε'. 151. et θ'. 529.
104. ad δ'. 169.
109. 10. ad δ'. 165.
121. ad α'. 329.
135. ad η'. 105.
194. ad δ'. 61.
Δ. 213. cit. ad δ'. 61.
245. ad β'. 102.
272. ad δ'. 285.
287. ad δ'. 419.
337. ad φ'. 31.
353. ad ε'. 334. et ζ'. 125.
387. ad α'. 215.
417. ad δ'. 456.
418. ad χ'. 240. not.
433. ad β'. 289.
450. ad ν'. 204.
452. ad δ'. 451.
453. ad δ'. 451.
514. 15. ad ι'. 80.
563. 64. ad η'. 324.
567. ad ε'. 295.
569. ad δ'. 564.
607. ad δ'. 636.
611. ad θ'. 166. et 583.
627. ad α'. 119.
640. ad σ'. 15.
662. ad δ'. 27.
672. ad γ'. 195. not.
736. ad δ'. 351.
737. ad α'. 53.
802. ad ζ'. 20.
805. ad δ'. 165.
846. 47. ad δ'. 793.
Ε. 47. ad η'. 138.
51. ad ε'. 337. et χ'. 240.
61. ad ε'. 334. not.
66. ad ι'. 425.
73. 74. ad μ'. 88.
93. ad η'. 164.
119. ad ε'. 129.
133-34. ad ε'. 105.
137-39. ad ε'. 118.
266. 67. ad β'. 289.
317. ad β'. 421.
318. ad ε'. 254.
331. 32. ad ε'. 295.
334. ad ζ'. 125.
337. ad ζ'. 127. χ'. 240.
353. ad γ'. 6.
357. ad ε'. 280.
368. ad β'. 289.
385. ad ε'. 295.
402. ad β'. 421. not.
421. 22. ad δ'. 404. λ'. 134.

E. 422. cit. ad δ'. 442.
478. ad β'. 420.
Z. 2. ad μ'. 281.
5. 6. ad ι'. 106.
6. ad ι'. 333.
11. ad κ'. 517.
53. ad η'. 105.
80. ad ε'. 386.
102. ad ε'. 281.
108. ad ζ'. 18.
160. 61. ad α'. 1.
201. ad ι'. 43.
204. 5. ad ε'. 280. ζ'. 195.
264. ad ε'. 337.
270. ad η'. 318. et ν'. 119.
289. ad ζ'. 262.
291. ad ζ'. 262.
310. 11. ad η'. 53.
321. ad η'. 289.
H. 2. ad θ'. 124. not.
8. ad ζ'. 204.
31. 32. ad ν'. 320.
32. 33. ad ν'. 119.
34. ad η'. 39.
80. ad γ'. 307.
86. ad ν'. 4.
115. 16. ad ι'. 425.
119. ad δ'. 567.
122. ad α'. 193.
127. ad γ'. 174. not.
138. ad γ'. 341.
141. ad α'. 329.
143. ad η'. 41.
146. ad η'. 54.
159. 60. ad ν'. 20.
216. ad ρ'. 287.
318. 19. ad ν'. 79.
321-23. ad ν'. 119.
326. ad ν'. 119.
328. ad κ'. 130. not.
Θ. 63. ad θ'. 491.
124. 35. ad ζ'. 152.
159. 60. ad θ'. 133.
183. ad β'. 434.
215. ad α'. 262.
225. ad α'. 70.
246. ad θ'. 102.
248. 49. ad θ'. 102.
248. ad θ'. 100. et ν'. 119.
Θ. 248. 49. cit. ad θ'. 383.
249. ad ξ'. 521.
274. 75. ad θ'. 340.
279. ad χ'. 239.
294. ad α'. 1. not.
301. ad γ'. 287. not.
362. 63. ad ι'. 39.
426-29. ad θ'. 383.
437. ad ε'. 249. not.
443-45. ad ν'. 79.
450. 51. ad θ'. 383.
451. 52. ad ε'. 88.
492. ad θ'. 266.
492. 93. ad ν'. 2.
517. 18. ad δ'. 276.
564-72. ad ν'. 172. 173. not.
577. ad ι'. 13.
I. 3. ad θ'. 383.
5. ad θ'. 383.
6. ad ξ'. 155. not.
51. ad ξ'. 103.
80. ad γ'. 287. δ'. 514.
106. ad ι'. 564.
111. ad δ'. 477.
133. ad ε'. 72.
156. 57. ad α'. 262.
184. ad γ'. 274.
186. ad ι'. 425.
209. ad β'. 355.
275. 76. ad α'. 70.
279. ad γ'. 71.
336. ad ι'. 425.
408. ad ι'. 366.
411. ad ι'. 275.
458. ad λ'. 385. not.
464. ad ι'. 425.
473. ad κ'. 82.
483. ad ι'. 540.
502. 3. ad ι'. 106.
525. ad ι'. 106.
534. ad θ'. 567.
541. ad α'. 254. not.
K. 1. ad ι'. 564.
146. ad κ'. 251.
190. ad θ'. 29.
190-92. ad β'. 1.
191. ad μ'. 3.
227. ad ε'. 334. not.
240. ad κ'. 329.

K. 274. cit. ad κ'. 251.
301. ad α'. 1.
316. ad κ'. 233. not.
331. ad κ'. 296.
349. ad σ'. 76.
441. ad ε'. 363.
450. ad ν'. 20. not.
465. ad ζ'. 155. not.
471. ad κ'. 469.
510. ad ι'. 425.
Λ. 7. ad α'. 238.
11. ad γ'. 486.
134. 35. (Ern. 133. 34.) ad κ'. 490.
136. (135.) ad κ'. 316. not.
295. (294.) ad υ'. 65.
317. (316.) ad λ'. 311.
326. (325.) ad γ'. 303. not.
367. (366.) ad λ'. 366. not.
393. (392.) ad λ'. 579. not.
449. (448.) ad α'. 1.
568-627. ad ψ'. 310.
568. (567.) ad λ'. 322.
577. (576.) ad λ'. 309.
601. (600.) sqq. ad γ'. 464. not.
602. 3. (601. 2.) ad λ'. 385.
614. (613.) ad λ'. 613. not.
618. (617.) ad α'. 34.
627. (626.) ad λ'. 568. et 570. not.
M. 40. cit. ad θ'. 204.
97. ad ε'. 422.
99. 100. ad μ'. 89.
105. ad μ'. 439.
134. ad ν'. 352.
171. 72. ad γ'. 486.
172. ad δ'. 580.
174. ad δ'. 419.
208. ad β'. 1. not.
230. ad ε'. 254. not.
231. ad μ'. 89.
235. ad μ'. 85.
259. ad β'. 319.
273. ad μ'. 268. not.
368. ad θ'. 186.
369. ad δ'. 442. not.
389-90. ad ε'. 79.
410-12. ad ε'. 254.
N. 75. cit. ad ε'. 254. not.
78. ad κ'. 130. not.
104. ad ι'. 22.
129. ad μ'. 22.
223. ad ψ'. 313.
262. 63. ad κ'. 41.
277. ad ξ'. 288.
331. 32. ad κ'. 277.
351. ad α'. 186.
383-85. ad ν'. 333.
399. ad π'. 175.
407. ad β'. 238. et θ'. 352.
414. ad θ'. 260.
415. ad α'. 1. not.
429-32. ad κ'. 238.
431. ad σ'. 355.
439. 40. ad ε'. 1.
Ξ. 100. ad υ'. 187.
199. ad γ'. 287.
206. ad ν'. 42.
222. 23. ad θ'. 186.
233. ad ξ'. 223.
253. ad β'. 421.
316. ad ζ'. 204.
400. ad ζ'. 33.
402. 3. ad σ'. 79.
488. ad λ'. 221. not.
533. ad ε'. 404.
O. 16. 17. ad β'. 52. et δ'. 1.
74. ad ε'. 200.
187. ad γ'. 489. not.
297. (Ern. 296.) ad β'. 319.
344. (343.) ad ρ'. 287.
356. (355.) ad α'. 48. not.
358-60. (357-59.) ad λ'. 202.
392-94. (391-93.) ad γ'. 296.
495. 96. (494. 95.) ad γ'. 1.
504. 5. (503. 4.) ad π'. 130.
525. (524.) sqq. ad ρ'. 160. not.
Π. 12. cit. ad γ'. 309. not.
119. ad ε'. 364.
207. ad γ'. 378.
251. ad β'. 51.
307. ad θ'. 204.
310. ad τ'. 530.
349. ad ω'. 419.
401. 2. ad γ'. 214.
P. 37. ad λ'. 120

I. INDEX LOCORUM HOMERICORUM.

Ρ. 63. cit. ad δ'. 793.
88. ad ζ'. 221. not.
102. ad κ'. 320. not.
240. ad δ'. 477.
266-68. ad κ'. 210. not.
291. ad β'. 10.
522. sqq. ad ρ'. 442.
525. 26. ad ζ'. 204.
529. ad κ'. 320. not.
Σ. 7. ad σ'. 79.
53. ad α'. 1.
53. 54. ad ρ'. 287.
73. (Ern. 72.) ad σ'. 79.
130. (129.) ad ε'. 217.
165. (164.) ad ϖ'. 410.
373. (372.) ad ι'. 276.
408. (407.) ad α'. 371. vid. [illegible].
Τ. 114. ad θ'. 329. ν'. 45. σ'. 133.
138. sqq. ad β'. 105.
157-59. ad δ'. 1.
158. 59. ad α'. 285.
163. ad α'. 173.
172. ad γ'. 287.
203. ad γ'. 20. et χ'. 31.
228. 29. ad β'. 10.
304. ad ξ'. 159.
345. ad σ'. 76.
393. ad β'. 10. not.
521. ad α'. 1.
Υ. 8. ad ζ'. 155. not.
Υ. 47. 48. cit. ad μ'. 447.
111. ad ψ'. 104.
259. ad ν'. 402.
376. ad β'. 350.
Φ. 16. ad γ'. 489. not.
38-40. ad α'. 262.
90. ad φ'. 188.
216. ad δ'. 708.
350. ad α'. 356.
387. ad α'. 356.
Χ. 7. ad ε'. 281.
116-18. ad α'. 262.
230. ad β'. 319.
384. ad ο'. 419.
488. ad χ'. 1.
Ψ. 192. ad δ'. 718.
322. ad λ'. 635. not.
Ω. 12. ad τ'. 582.
60. ad α'. 1.
65. ibid.
82. ad ψ'. 104.
150. (Ern. 149.) ad α'. 1.
199. (198.) ad λ'. 299.
246. 47. (245. 46.) ad γ'. 274.
253. (352.) ad ψ'. 313.
260. (259.) ad λ'. 160.
300. 1. (299. 300.) ad β'. 319.
377. 78. (376. 77.) ad α'. 186.
402. (401.) ad ζ'. 231.
417. (416.) ad λ'. 320.

II.

INDEX

SCRIPTORUM ET GRAMMATICORUM.

ACUSILAUS ad κ'. 2. λ'. 520. (fr. 24. ed. Sturz.) ξ'. 553. (fr. 18.) ρ'. 207. (fr. 22.)
Æschylus. Prometh. 109. ad ε'. 490. 852. ad δ'. 563. ζ'. 204. Fragmenta: ad α'. 98. vid. not. β'. 20. (fr. inc. 46. Butler.) ἐν Πρωτεῖ ad δ'. 366. ἐν Ψυχαγωγοῖς (Butler vol. VIII. p. 221.) ad λ'. 134. Φιλοκτήτῃ ad ξ'. 12.
Alcæus ad λ'. 521. φ'. 71. (fr. 55. Blomf.)
Alcman ad γ'. 171. (fr. 40. Welck.) Vid. et præf. ζ'. 244. κ'. 513. (fr. 3. p. 21.) ψ'. 76.
Alexander Cotiaëus. — Præf. (ad χ'. 84.)
Alexion ad δ'. 12.
Anacreon ad ζ'. 59. θ'. 294. μ'. 313. φ'. 71. (fr. 47. Fischer).
Andron ad δ'. 797.
Androtion ad λ'. 271. (fr. p. 214. Siebel.)
Anonymi: ad γ'. 372. not. σ'. 367.
Anticlides ad δ'. 355. bis. (ἐν ἐξηγητικῷ) ad π'. 471.
Antimachus Colophonius ad ε'. 283. fr. 73. Schellenb. plenius cit. ad λ'. 579. Vid. et infra Homeri carm. rec.
Antipater ad γ'. 332.
(Antipater Sidon. ep. 63. vid. not. ad ξ'. 464.)
Antisthenes (vid. not.) ad α'. 1. bis. ε'. 211. η'. 257. ι'. 525.
Apion ad γ'. 341. δ'. 419. 563. ε'. 123. θ'. 288.
Apollodorus λ'. 579. μ'. 22. ubi 43. 54. 75. 77. 89. 252. 253. scriptum Ἀπολλώνιος. (περὶ θεῶν) γ'. 91. v. not. ψ'. 198. (ἐτυμολογιῶν) γ'. 444. v. not.
Apollonius Grammaticus ad ε'. 253. μ'. 22. (vid. not.) τ'. 177.
Apollonius Rhodius. Argon. 1. 88. ad θ'. 224. vid. not. 2, 283. ad τ'. 443.
Aratus. Vers. 581. ad ε'. 272. 61. ad κ'. 86. bis.
Archilochus ad χ'. 412. (fr. 41. ed. Liebel.) ξ'. 508. (fr. 67.) ε'. 534. (fr. 93.) Male pro Ἀρίσταρχος ad κ'. 193. v. not.
Archippus ad β'. 319.
Aristarchus (add. infra: Hom. carm. rec.) ad α'. 35. 109. 171. 174. 175. 208. 300. 320. 337. β'. 1. 46. 70. 206. 222. 260. 321. 338. γ'. 7. 8. 10. 71. 289. 290. 303. 304. 307. 327. 367. 453. δ'. 37. 39. 70. 84. 123. 221. 228. 231. 248. 260. 277. 336. 420. 465. 599. 606. 618. 712. 797. ε'. 80. 136. 217. 240. 247. 253. 281. 314. 337. 389. 391. 422. 458. not. 466. ζ'. 8. 89. 201. 287. 289. 330. η'. 22. 24. 107. 289. 311. θ'. 98. 102. not. 142. 288. 352. 355. 396. 494. 507. ι'. 185. 199. 221. 283. 331. 387. 425. 486. κ'. 3. 43. 110. 124. 136. 152. 161. 193. v. not. 220. 268. 315. 320. 351. 385. 395. 416. 465. (513. not.) λ'. 14. 16. 74. 185. 191. 233. 249. 264. 288. 385. (501. not.) 502. 510. 521. 526. 568. not. 597. 635. μ'.

441. ν'. 19. 26. 123. 332. ξ'. 12. 29. 65. 176. 328. 331. 428. ο'. 128. 244. 393. 397. 540. π'. 99. ρ'. 111. 217. 270. 455. σ'. 27. not. 44. 253. τ'. 37. 136. 139. 229. 498. χ'. 188. ψ'. 3. 191. not. 296. ω'. 1. ἀθετεῖ, ἠθέτησεν. α'. 356. β'. 134. 137. δ'. 192. 285. ζ'. 244. λ'. 547. ψ'. 310. bis. ω'. 1. νοθεύει. ρ'. 501. οὐκ οἶδε. κ'. 242. λ'. 525. παρέλαβεν αὐτὸν στίχος εὐήθης ὡς ἐν οὐδεμιᾷ ἐφέρετο δ'. 511. ὑπομνήματα ν'. 152. Aristarchus intellectus non nominatus ψ'. 191.

Aristophanes Comicus. Δαιταλεῖς cit. ad α'. 98. ἐν Πλούτῳ (454.) ad δ'. 662.

Aristophanes Grammaticus (add. infra: Hom. carm. rec.) ad α'. 38. c. not. 72. vid. not. 208. β'. 45. 46. 50. 70. 123. 156. 294. 312. 338. γ'. 82. 244. 246. 427. 486. δ'. 140. 339. 351. 785. ε'. 168. 179. 185. 247. 294. 334. 357. ζ'. 29. 74. 264. 297. η'. 317. θ'. 55. 67. 92. 142. 163. 494. ι'. 185. 199. 329. κ'. 124. 170. 324. 393. 457. λ'. 16. 174. 324. 359. 385. 400. μ'. 43. 98. ν'. 31. 96. 152. 190. 265. 358. ξ'. 12. 328. 338. 349. 466. 522. ο'. 91. 293. 397. ρ'. 52. 217. σ'. 27. (sed vid. not.) 44. 253. ψ'. 296. ἀθετεῖ γ'. 199. δ'. 62. λ'. 38. 161. 399. 435. μ'. 53. ν'. 19. ρ'. 181. σ'. 229. προσθέτει α'. 185. β'. 322. ὑποπτεύει θ'. 206. μεταποιεῖ α'. 424. σημειοῦται ἀστερίσκοις γ'. 71. κατὰ Σέλευκον ἔγραφε —β'. 190.

Aristoteles ad δ'. 356. 477. ε'. 93. 334. bis. ζ'. 103. (Hist. Anim. 6, 31. 8. 28.) ι'. 106. 333. 525. λ'. 634. μ'. 129. ρ'. 291. Hist. Anim. 6. 29. cit. ad δ'. 339. ἐν τῷ Περὶ ζῴων cit. ad σ'. 2. χ'. 299. (ὁ τοὺς πέπλους συντάξας v. not.) ad χ'. 9.

Ascalonita vid. Ptolemæus.

Asclepiades ad κ'. 2. λ'. 269. 321. 326. 582. μ'. 69.

Asius δ'. 797.

Athenocles ad ζ'. 144. ξ'. 504.

Bacchylides ad φ'. 295.

Callimachus ad γ'. 380. ibique not. Epigr. 5. 8. ad ξ'. 6. in not. Fragm. 46. cit. ad χ'. 299. (Hecale). 190.—ad ρ'. 599. 202.—ad κ'. 2. 224.—ad δ'. 1. 262.—ad β'. 134. 356.—ad η'. 107. 428. plenius—ad ξ'. 199. (Hecale). 458.—ad μ'. 252. not.)

Callistratus ad β'. 410. γ'. 486. ζ'. 29. 201. 207. 310. 318. θ'. 525. ι'. 486. κ'. 130. 190. 242. μ'. 252. ξ'. 204. 488. 489. ρ'. 455. ἀθετεῖ λ'. 52. ὑποπτεύει μ'. 104. ξ'. 22. ὑπονοεῖ μ'. 250.

Chæris ἐν διορθωτικοῖς ad η'. 80. not.

Chamæleon ad ε'. 334.

Chares vid. Chæris.

(Chœrili Epigr. ad β'. 315. not.)

Chrysippus ad ε'. 240.

Cleophorus ad γ'. 215. vid. not.

Comanus ad σ'. 27.

Comicus vid. Philemon.

Commentarii vid. Ὑπομν. in Ind. Rer. et Verb.

Crates ad β'. 1. γ'. 293. δ'. 84. 260. θ'. 22. 59. ι'. 22. (legitur Σαρπέτης) 60. κ'. 86. λ'. 14. 221. μ'. 89. ξ'. 12. ν'. 229. χ'. 188. ἐν τοῖς περὶ διορθώσεως μ'. 61.

Cratinus ἐν Πυτίνῃ cit. ad θ'. 186.

Cyclus. ἐν τῷ Κύκλῳ, ἐκ τοῦ Κύκλου β'. 120. δ'. 285. ἐκ τῶν Κυκλικῶν λ'. 547. ἡ Κυκλικὴ vid. Homeri Recens.

Demetrius ad σ'. 17. ὁ Ἰξίων ad β'. 96. ε'. 312. 431. 490. (γ'. 230. not.) ὁ Φαληρεὺς ad γ'. 267. not. (de Poëtis).

Demo (περὶ παροιμ.)—ad ν'. 302.

Demosthenes ad γ'. 171.

Dictys pag. 3. not.

Didymus ad β'. 260. ἐν Ὑπομνήμα- v. not. ad λ'. 509. ξ'. 6. ὑπομν-

μαντίζων ν'. 408. not. ἐν Ἐπιμερισμῷ τοῦ Μῆνιν α. θ. ad δ'. 797.
Diocles ad τ'. 457. ἀθετεῖ ζ'. 132.
Dionysius ὑποπτεύει ι'. 31. ἀθετεῖ ι'. 239. —Thrax, ad β'. 96. ἐν ταῖς μελέταις ad χ'. 9. Vid. et not. ad γ'. 230.
Dionysus (Dionysius) mythologus, ad μ'. 85.
Empedocles. Ἐμπεδόκλειος γνώμη cit. ad θ'. 266.
Ephorus, vid. not. ad γ'. 215.
Eratosthenes ad γ'. 188. ἐν Ὀλυμπιονικαῖς (sic) cit. ad θ'. 190. vid. not.
(Etymol. M. vid. not. ad π'. 468. χ'. 84. τ'. 518.)
Eudæmon Pelusius ad γ'. 68.
Eudoxus ad δ'. 477. λ'. 239.
Euphorion ad ι'. 121. ἐν Διονύσῳ cit. ad δ'. 228.
Euphrastus (Theophrastus) ad ψ'. 167.
Eupolis ad γ'. 104. π'. 175.
Euripides ad κ'. 6. ad α'. 215. (fragm. inc. 57.) ad λ'. 430. (Iph. Aul. 1149.) ad μ'. 181. (Phœniss. 290.) ad σ'. 279. (Orest. 1437.) Ad ejus Andromachen, et prologum ejus et vers. 52—102. vid. fragm. Ambr. Ad ej. Rhes. 856—884. vid. fragm. Ambr.
(Eustathius e scholiis antiquis hausit: vid. not. ad ι'. 246. et not. ad μ'. 69. φ'. 111. —Eust. ad Od. ι'. 198. em. ad ι'. 40.)
Galenus ad β'. 315. κ'. 305.
Glossographi ad ι'. 217. 312. 388.
Gregorius ὁ ἅγιος cit. ad θ'. 409.
(Heliodorus Æth. 3. 4. ad λ'. 613. not.)
Hellanicus ad β'. 185. vid. not. γ'. 4. (fr. 12. ed. Sturz.) ι'. 125. (fr. 100.) ἐν τῷ περὶ Χίου κτίσεως, ad θ'. 294. ubi vid. not.
Heracleon ὁ Γλαύκου ad ν'. 408. not.
Heraclides ad α'. 320. β'. 51. 63. ὁ Ποντικὸς ad ι'. 119. Ex ej. Alleg. Hom. sumpta sunt quæ citantur ad δ'. 456. v. not. (c. 66.) ι'. 121. v. not. (c. 68.) θ'. 266. (c. 69.) θ'. 284. (c. 26.) κ'. 6. (c. ult.)
Herodes ad δ'. 188. Ἀττικὸς ad σ'. 27. sed vid. not.
Herodianus ad α'. 112. 320. β'. 222. γ'. 7. 10. δ'. 123. 228. ι'. 281. θ'. 396. κ'. 43. λ'. 597. ν'. 228. ρ'. 57. 228. 231. σ'. 27. not. ἐν τῇ καθόλου λ'. 274.
Herodorus ad ν'. 96. ubi legitur Ἡρόδοτος.
Herodotus cit. ad β'. 315. (3. 134.) δ'. 356. bis. (2. 5—10.) λ'. 14. (1. 103.) Cf. Herodorus.
Hesiodus. ΕΡΓ. 57. cit. ad κ'. 2. vid. not. 144. ad ν'. 13. 241. ad ι'. 407. 311. ad λ'. 355. 315. ad ρ'. 347. 351. ad α'. 406. 440. ad ι'. 374. 491. ad σ'. 328. 623. ad ι'. 478. 721. ad α'. 226. ΑΣΠ. 297. ad ν'. 204. ΘΕΟΓ. 27. ad γ'. 20. not. 144. 5. ad ι'. 106. 199. ad θ'. 362. 274. ad λ'. 634. 338. ad δ'. 477. bis. 359. ad α'. 52. 374. ad α'. 8. 411. ad κ'. 139. 632. ad λ'. 287. 685. ad ι'. 309. 696. ad δ'. 442. not. 749. ad σ'. 328. not. 969. 70. ad ι'. 125. ἐν γυναικῶν καταλ. cit. ad α'. 98. (Gaisf. fr. 73.) ὁ τῆς Μελαμποδίας ποιητὴς ad λ'. 90. (Gaisf. fr. 56.) conf. ad κ'. 494. Fragmenta alia, et de eo: ad α'. 85. (ubi in not. de ejus Γῆς περιόδῳ) γ'. 68. (Gaisf. fr. 22.) δ'. 231. 232. η'. 54. 104. κ'. 2. (fr. Loesn. 77.) λ'. 286. (fr. Loesn. 64.) 326. μ'. 69. (fr. Loesn. 93.) 168. π'. 34.
(Hesychius v. Ἐννοδίῳ not. ad θ'. 55. Ἰδάλιμον ad ζ'. 206. Νώνυμος ad ζ'. 182. Πρόγονοι ad ι'. 221. Τηΰσιην ad ι'. 13.)
Hippocrates ad ζ. 318. κ'. 305.

II. INDEX SCRIPTORUM

Homericorum carminum recensiones (ἐκδόσεις) etc. ἡ Αἰολικὴ ad ξ'. 280. ἡ Αἰολὶς ad σ'. 98. αἱ Αἰολεῖς ad ξ'. 280. not. 331. not. ἡ κατὰ Ἀντίμαχον ad α'. 85. ἡ Ἀργολικὴ ad α'. 424. ἡ Ἀριστάρχου ad ψ'. 221. ἡ ἑτέρα τῶν Ἀριστάρχου ad ν'. 66. ἡ χαριεστέρα τῶν Ἀριστάρχου ad δ'. 727. αἱ Ἀριστάρχου ad γ'. 41. 443. δ'. 495. 668. 705. ε'. 156. 232. 272. 346. ζ'. 131. ψ'. 149. θ'. 63. not. 105. λ'. 461. μ'. 375. 422. ξ'. 30. 466. ο'. 317. π'. 304. αἱ Ἀριστάρχειαι ad ε'. 346. ζ'. 108. ξ'. 30. αἱ Ἀριστάρχειοι ad ι'. 280. ζ'. 8. ι'. 486. αἱ Ἀριστάρχου ad η'. 199. αἱ Ἀριστά . . . ad ψ'. 347. ἡ Ἀριστοφάνους ad ι'. 393. ἡ κατὰ Ἀριστοφάνην ad α'. 254. αἱ Ἀριστοφάνους ad ε'. 83. ἡ Κυκλικὴ ad π'. 195. (vid. not.) ρ'. 25. ἡ Μασσαλιωτικὴ ad α'. 38. ἡ ἐκ Μουσείου (-ου) ad ξ'. 204. ἡ Ῥιανοῦ ad β'. 152. ι'. 393. ν'. 274. ἡ κατὰ Ρ. ad α'. 95. not. αἱ Ρ. ad γ'. 178. ἡ γραφὴ ad ε'. 227. τ'. 83. ἡ ἀρχαία γραφὴ α'. 52. γραφὴ οὐκ ἄχαρις κ'. 324. 457. αἱ χαριέστεραι γραφαὶ α'. 356. λ'. 196. αἱ εἰκαιότεραι, τὰ εἰκαιότερα ad β'. 182. 248. c. not. ε'. 232. ξ'. 428. ρ'. 160. τινές, ἔνιαι τῶν ἐκδόσεων ad γ'. 303. θ'. 81. 82. ἡ κοινὴ ad ε'. 459. λ'. 74. αἱ κοιναὶ ad ρ'. 270. αἱ κοινότεραι, τὰ κοινότερα ad δ'. 668. ε'. 34. 217. ρ'. 160. πᾶσαι, ἅπασαι ad γ'. 41. ζ'. 100. ξ'. 326. σ'. 402. σχεδὸν πᾶσαι ad ζ'. 108. σ'. 28. αἱ πλείους ad μ'. 422. αἱ χαριέστεραι ad η'. 74. ρ'. 160. ἔνια τῶν ἀντιγράφων ad α'. 185. κατ' ἐνίους τῶν πάνυ ἀξιολόγων ad α'. 167. ὁ διασκευαστὴς ad λ'. 584. χ'. 31.

Homericus Hymnus in Merc. 110. ad δ'. 442. not.

Iamblichus ad β'. 153.

Ibycus ad ι'. 364.

Johannes Malelas Odyss. Argum. n.

Istrus ad γ'. 230. not.

Ixion v. Demetrius.

Leander (an Leandrius) ὁ Ἀρισταίδης ad γ'. 341.

(Lucianus Astrol. 22. ad μ'. 129. n.)

Lycophron ad ν'. 259.

Marsyas ad σ'. 85.

Megaclides ad ζ'. 106.

Mempsidorus ὁ τὴν Σικελίαν περιηγησάμενος cit. ad μ'. 301.

Menander ad α'. 215. (fr. inc. 157. Cler.) β'. 10. η'. 225. θ'. 260. ι'. 246. (Δὶς ἐξαπ. fr. 1.) π'. 175. ἐν Μισουμένῳ ad ρ'. 442.

Mnaseas ad σ'. 85.

Nicander ad β'. 214. (Ther. 129.) γ'. 444. τ'. 498. (Ther. 33.)

Nicias ad α'. 109.

Nicias ὁ πρῶτος (fortasse Maleotes) ad ψ'. 218.

Nicolaus ad α'. 21.

ὁ τῶν Νόστων ποιητὴς ad δ'. 12.

Onomacritus ad λ'. 604.

Oppianus ad λ'. 134. (Hal. 2. 497.)

Orpheus ad κ'. 2. (fr. 53.)

Panyasis ad μ'. 301.

Parmeniscus ad δ'. 242.

Pausanias (lexic.) ad β'. 300.

Pherecrates ad β'. 289.

Pherecydes ad δ'. 22. λ'. 266. (Sturz. fr. 12.) 281. (fr. 26.) 321. (fr. 59.) 326. (fr. 72.) μ'. 69. (fr. 33.) ο'. 16. bis (fr. 56.) 223. (fr. 77.) 225. (fr. 26.) τ'. 432. (fr. 18.) 518. (fr. 29.) φ'. 22. (fr. 46.) ἐν τῇ ἑβδόμῃ λ'. 266. 321. (fr. 25. 26.) ἐν τῇ δεκάτῃ λ'. 264. (fr. 29.)

Philemon, ὁ Κωμικὸς cit. ad μ'. 89. vid. not.

Philochorus ad υ'. 155. vid. not. (Siebel. fr. p. 93.)

Philostephanus ad μ'. 301. ο'. 16.

Philoxenus ad ι'. 22. 106. ἐν τῷ περὶ τῆς Ῥωμαίων διαλέκτου ad η'. 90. ἐν δευτέρῳ περὶ μονοσυλλάβων ῥημάτων ad ξ'. 485.

Phrynichus ad ν'. 14.

Pindarus Pyth. 2. 39—88. ad φ'. 303. 3. 91. ad τ'. 457. 4. 159. ad λ'. 308. Fragmenta: ad κ'. 3. (Schneid. fr. Prosod. 2.) 240. (Schn. incert. 141.)
Pius ad η'. 225. θ'. 372. χ'. 84. in præf. ἐν Ὑπομνήμ. π'. 468. in not.
Plato Phædr. p. 230. d. ad γ'. 121. ἐν Φαίδρῳ (p. 246. e.) ad μ'. 62. Rep. p. 328. c. ad θ'. 186. not. Legg. 9. init. ad ψ'. 167. Min. p. 319. ε'. ad τ'. 178.
Plutarchus in Alex. ad λ'. 224.
Polyænus ad μ'. 301.
Porphyrius ad α'. 1. (vid. not.) 68. 98. not. 185. 215. β'. 319. bis. γ'. 245. 296. 332. ε'. 93. η'. 104. bis. θ'. 186. not. 288. not. ι'. 197. Quæst. Hom. not. ad β'. 319.
Porsialus Hierapytnius ad γ'. 444.
Proxenus ἐν Ἠπειρωτικοῖς cit. ad α'. 259. vid. not. ξ'. 327.
Ptolemæus ad ν'. 352. ἐν τῷ πρώτῳ χρόνῳ (χρονικῶν) cit. ad δ'. 228. —ὁ Ἀσκαλωνίτης ad δ'. 221. 665. 806. ζ'. 149. λ'. 134. 221. 597. μ'. 284. π'. 305. ρ'. 231. —ὁ Σιδώνιος φησὶν ἀθετεῖσθαι τὸν στίχον, ad κ'. 329. —ὁ τοῦ Ὀροάνδρου ad β'. 222.
Pythagoras ad α'. 1. 371. ι'. 4.
Rhianus (add. supra: Hom. carm. rec.) ad β'. 244. 311. γ'. 24. δ'. 702. 788. ε'. 253. 294. 315. ζ'. 10. 44. 46. 57. 132. θ'. 299. ι'. 490. 491. κ'. 130. 188. ξ'. 295. 317. 343. 522. σ'. 385. 420. 113.
Satyrus ad θ'. 288.
Seleucus ad α'. 215. β'. 190.
Silenus Chius ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν μυθικῶν ἱστοριῶν ad α'. 75.
Simonides ad ξ'. 435. (Gaisf. fr. 144.) τ'. 518. (Gaisf. fr. 158.) ἐν ταῖς κατευχαῖς ad ζ'. 164.
Sisyphus Cous. Odyss. Argum.
Sophocles Œd. Tyr. (male Κολώνῳ) 1123. ad θ'. 186. Antig. 277. ad α'. 161. 475. 76. ad α'. 68. Aj. 580. ad δ'. 184. Fragmenta: τ'. 471. λ'. 128. (Ὀδυσσ. ἀκανθοπλ.) ἐν Ἄργει (Αἰγεῖ) ad η'. 106. ἐν Ἑρμιόνῃ ad δ'. 4. ἐν τῇ Νιόβῃ ad θ'. 186.
(Stephanus Byz. v. Δῆμος ad α'. 103. n. v. Πισιδία ad ε'. 283. n.)
Telesilla ad ν'. 289.
Theocritus ad (λ'. 613. not.) ξ'. 530.
Theodoridas ad γ'. 444.
Theophrastus ad ψ'. 167. not. ἐν φυτικοῖς ad κ'. 510.
Thucydides ad γ'. 71. 73. ξ'. 230. (omnia ex I. 5.)
Timæus (Tauromen.) ad ν'. 302.
Timolaus ad γ'. 267.
Tragici ad λ'. 271. ρ'. 208.
Tyrannio ad α'. 174. ζ'. 200.
Tzetzes ad λ'. 8. Comm. ad Lycophr. ad α'. 75. not. κ'. 2. not. λ'. 90. not. ψ'. 310.
Xenophon ad δ'. 65. (Laced. 15.) ν'. 288. 89.
Zenodorus ad δ'. 477. (ubi alii Zenodotus.)
Zenodotus ad α'. 38. bis. c. not. 261. 337. β'. 41. 42. 81. 180. not. γ'. 11. 50. 216. bis. 217. 228. 307. 313. 335. 368. 378. 380. 489. δ'. 1. 70. 162. 366. 370. 477. (alii Zenodorus). 498. ε'. 132. 459. ζ'. 1. 137. 256. 289. bis. η'. 15. 41. 140. 217. 222. θ'. 142. 251. ι'. 116. κ'. 41. 70. 160. 239. 351. (513. not.) λ'. 26. 38. 93. 191. 249. 498. 501. not. μ'. 15. 209. 284. 290. 297. 388. 422. ν'. 213. ξ'. 8. 171. 231. 295. ε'. 244. ρ'. 111. 221. σ'. 196. ἀθετεῖ ad δ'. 62. 353. 498. η'. 13. θ'. 23. π'. 104. 281. μεταποιεῖ ad δ'. 158. περιγράφει ad γ'. 400. ἀγνοεῖ ad λ'. 245. ὑποπτεύει ad ξ'. 22. ἐν ταῖς γλώσσαις ad γ'. 444. οἱ περὶ Ζηνόδοτον ad γ'. 11.
Zoilus ad ι'. 60.
(Zonaræ lex. in ἄλα ad ρ'. 455. not.)

III.

INDEX

RERUM ET VERBORUM NOTABILIORUM.

Voces asterisco * notatæ in lexicis non leguntur.

A ΣΤΕΡΗΤΙΚΟΝ α΄. 214. γ΄. 279. 444. δ΄. 92. 824. ρ΄. 57.—ἐπιτατικὸν β΄. 370. γ΄. 50. δ΄. 165. ἀπὸ ἰσότητος δ΄. 129. α τὸ ἁμοῦ γ΄. 165. 412. ζ΄. 268.

ἆ θαυμαστικὸν ξ΄. 361.

ἄβοσσος γ΄. 91.

ἀγάκλυτοι (accent.) α΄. 30. η΄. 39.

ἄγαλμα γ΄. 274. 438. δ΄. 602.—ἀνάθημα μ΄. 347.

ἄγαμαι β΄. 67. ζ΄. 168.

Ἀγαμέμνων θ΄. 75—80. ω΄. 1.

ἀγανὸς γ΄. 280.

ἀγασσάμενοι β΄. 67.

ἄγε β΄. 178. θ΄. 11.

ἀγέρωχος λ΄. 286.

Ἀγήνωρ α΄. 98.

Ἀγκαῖος χ΄. 9.

Ἀγλαοφήμη μ΄. 39.

ἀγλαΐης ζ΄. 273.

ἀγνοεῖται στίχος λ΄. 245.

ἀγινέσασκε ψ΄. 95. not.

ἄγνος ὁ, ι΄. 427.

ἀγορὰ ρ΄. 52.

ἀγρονόμοι (accent.) ζ΄. 106.

ἀγυιὰ β΄. 388.

Ἀγχίαλος α΄. 255. 259.

ἀγχιβαθὴς ε΄. 402.

ἀδὴν τὸ δαψιλὲς δ΄. 721.—(spir.) ε΄. 290.

Ἀΐδης. Ad descriptionem inferorum λ΄. 385. 570. 593. ω΄. init. Ἀΐδης Ὀλύμπιος ω΄. 1.

ἀδήσειεν ψιλωτέον α΄. 134.

*ἀδιαιρέτως λ΄. 185. not.

Ἄδραστος λ΄. 326. φ΄. 295. not.

Ἀδρήστη δ΄. 123.

Ἀδρίας μ΄. 104.

ἀεικέλιος ζ΄. 242.

ἄεσα, ἀεῖν etc. γ΄. 151.

Ἀερόπη λ΄. 437.

ἀετῶν augurium, civitas etc. β΄. 146.

ἄζη, ἄζω λ΄. 587.

ἀηδὼν (epith. ejus) τ΄. 518.

Ἀηδὼν τ΄. 518.

ἀὴρ, μέλας ἐστὶν η΄. 87.—ὁ καὶ ἡ ἀὴρ η΄. 14.

Ἀθάμας ε΄. 334. κ΄. 2.

ἀθετοῦνται στίχοι α΄. 99. 356. β΄. 134. 137. γ΄. 199. 232. 464. δ΄. 12. 62. 163. 192. 285. 353. 498. ζ΄. 244. η΄. 13. 174. θ΄. 23. ι΄. 540. κ΄. 329. λ΄. 38. 52. 157. 161. 315. 399. 435. 458. 547. 603. μ΄. 53. 86. 124. ν΄. 333. 398. ξ΄. 132. 495. 504. ο΄. 19. 78. 91. 95. π΄. 104. 239. 281. ρ΄. 134. 160. 181. σ΄. 229. 330. τ΄. 130. 346. ψ΄. 218. vid. et προσθετεῖν, ὑποπτεύειν, οὐκ ἦσαν—et in Ind. Scriptt. s. v. Aristarchus, Aristophanes, Diocles, Zenodotus, etc.

Ἀθηνᾶ et ejus attributa, alleg. α΄. 96. 270. 327. β΄. 383. 420. 433. γ΄. 21. ε΄. 5. η΄. 140.—πολιὰς ξ΄. 533.—Πρόνοια cogn. γ΄. 267. not. ω΄. 1.

Ἀθῆναι (numerus) ξ΄. 199. vid. Ὠγύγης. Ἀθηναίη δ΄. 547.

ἀθηρηλοιγὸς (spir.) λ'. 128.
ἄθρυπτος κ'. 329. not.
ἀθρόος (spir.) α'. 27.
αι et ε p. 586.
αἶα et Αἶα (fons) λ'. 239.
Αἰαίη ι'. 32.
Αἴας Λοκρὸς λ'. 384.
Αἰγαὶ, Αἰγὴ ε'. 381.
αἰγανέα δ'. 626.
αἴγειρος, ἡ, ε'. 64.
αἰγίοχος ι'. 154.
Αἴγλη ρ'. 208.
Αἴγυπτος ποταμόχωστος δ'. 356. Αἴγυπτος οὐρανόθεν ῥεῖ δ'. 477. Αἰγύπτιοι γ'. 324. ι'. 84.
'Αΐδεω trisyllabum λ'. 635. not.
Αἰήτης κ'. 137. 138.
Αἰθίοπες α'. 22. 23.
αἴθουσα, ε'. 146. σ'. 101.
αἶθρος ξ'. 318.
ἀϊκτὸς κ'. 20.
αἷμα οἱ παῖδες θ'. 581.
αἱμασιὰ ξ'. 10.
αἱματοδόχος γ'. 444.
αἵμνιον γ'. 444.
αἰνὴ κ'. 491.
αἰνιγματώδης λόγος ξ'. 508. ρ'. 468.
αἰνοπαθὴς μ'. 313.
αἶνος ξ'. 508.
αἶξ (genus) ξ'. 106.
αἰολεῖς, αἰολικὴ διαλ., αἰολικῶς β'. 68. 169. δ'. 94. μ'. 284. ξ'. 82. 280. ρ'. 221. not. σ'. 70. αἰολικὴ κλίσις δ'. 806.—ἔκτασις π'. 284.
—— de recens. Homerica vid. Ind. Auct. in Homer. recens.
Αἰόλη insula κ'. 1.—filia Æoli κ'. 6.
Αἰολίαι νῆσοι κ'. 1.
Αἰολιδοῦς μ'. 301.
Αἴολος κ'. 2. 6.
αἰσυμνήτης θ'. 258.
Αἴσων μ'. 69.
αἰτιατικὴ ἀντὶ γενικῆς τ'. 27. ψ'. 40.
Cf. ἀντίπτωσις.
Αἰχμόδικος vel -ικος σ'. 85.
'Ακάμας, λ'. 321.
ἀκατάλληλος δ'. 619.
ἀκάχησθαι (accent.) δ'. 806.
ἀκέστρια ξ'. 383.
ἄκοιτις κ'. 161.
ἀκολουθία, ἀκόλουθον α'. 112. 215. 275. 389. λ'. 275. μ'. 75.
ἀκόλουθοι οἱ ποιμένες ξ'. 327.
ἀκούειν κ'. 508. λ'. 521. 597.
ἀκουὴ γ'. 97. not.
ἄκουρος η'. 64.
'Ακραγαντῖνοι κ'. 1.
ἀκρατήφρων, -ἄφρων τ'. 530.
'Ακρίσιος π'. 118.
ἀκρίβεια 'Ομήρου ψ'. 126.
ἀκριδοφάγοι δ'. 222.
ἄκριες ι'. 400. ξ'. 2.
ἀκρίζειν ι'. 400.
ἀκρόπορος γ'. 463.
ἀκτὴ β'. 355. ε'. 180. not.
ἄκυλον κ'. 242.
ἄκυλος μ'. 89.
ἄλα et ἅλα ρ'. 455.
ἀλάλησθαι μ'. 284.
'Αλαλκομενηΐς δ'. 766.
ἀλάστων ξ'. 174.
ἄλατα γ'. 441.
ἀλέη ρ'. 23.
'Αλέκτωρ, δ'. 10.
'Αλεξάνδρεια δ'. 355.
'Αλέξανδρος ὁ Μακεδὼν ι'. 44. ὁ Πριάμου ψ'. 218.
ἅλες ὀρυκτοὶ λ'. 123.
ἁλιεῖς ω'. 419.
ἁλίη ἁλὸς β'. 273.
ἄλιβας ζ'. 201.
'Αλιθέρσης (spir.) β'. 157.
ἀλιτόξενος ξ'. 288.
ἀλιτρὸς ε'. 182.
ἀλκεῖν γ'. 237.
'Αλκιμέδη μ'. 69.
'Αλκμαίων (-άων) λ'. 326. ο'. 248.
'Αλκμανικὸν σχῆμα κ'. 513.
ἀλλὰ ἀντὶ τοῦ δὴ θ'. 236. κ'. 174.
ἀλλεπάλληλος λ'. 233.
ἄλλη et ἄλλῃ ε'. 71. ζ'. 138. λ'. 385. ξ'. 35.
ἀλληγορεῖν β'. 433.—ἀλληγορία δ'. 384.—ἀλληγορικῶς γ'. 332. δ'. 445. 456. κ'. 6.
ἀλλοιόμορφος η'. 199.
ἄλλοτι cum duob. acutis η'. 200.

*ἅλμα, κλάδος σ′. 70.
Ἀλοσύδνη δ′. 404.
Ἅλπεις ζ′. 204.
ἄλση ἐπιθαλάσσια κ′. 508.
Ἀλύβη, -ας α′. 304.
ἀλύειν ι′. 398.
ἄλφα α′. 349. ν′. 261.
Ἀλφεῖος (sic) ἰᾶται τοὺς ἀλφοὺς γ′. 489.
Ἀλφεσίβοια λ′. 287.
ἀλωὴ α′. 193. ζ′. 293.
ἅμα α′. 98.
ἄμαθος β′. 326.
Ἀμακλείδης κ′. 2.
Ἀμαλεὺς, Ἀμανεὺς τ′. 518.
Ἅμαξα, ἡ Ἄρκτος ε′. 273.
ἀμαρτήσαιμι ξ′. 406.
Ἀμάσικλος, Ἀμάσιχος, Ἀμείσιμος, Ἰμείσιμος α′. 277. δ′. 797.
ἀμαυρὸς δ′. 824.
ἀμβρόσιος δ′. 445. ε′. 8.
Ἀμπράκις, Ἀμπρακία, δ′. 797. c. not.
*ἀμεταδοσία ρ′. 407.
ἀμήχανος τ′. 363. not.
Ἄμμος ν′. 96.
ἄμνιον γ′. 444.
Ἀμνισὸς ποταμὸς τ′. 188.
ἀμόθεν πόθεν α′. 10.
ἀμολγῷ δ′. 841.
ἀμορβὸς χ′. 299.
ἀμὸς α′. 10.
ἄμοτον ζ′. 83.
ἄμπελος χρυσῆ λ′. 521.
ἀμπέμψαι ε′. 83. Cf. κάμβαλε.
ἄμπωτις μ′. 104.
ἄμυδις (spir.) δ′. 659.
Ἀμυθάων λ′. 290. μ′. 69.
Ἀμύκλα, Ἀμύκλας δ′. 22.
Ἀμφιάναξ λ′. 326.
Ἀμφιάραος λ′. 326.
ἀμφιβολία γ′. 391. ε′. 118.
Ἀμφιγυήεις θ′. 300.
Ἀμφιδάμας ν′. 66.
ἀμφικαρὴς ρ′. 231.
Ἀμφιμέδη ρ′. 207.
ἀμφίπολος femina α′. 136.
Ἄμφισσα σ′. 85.
Ἀμφιτρίτη γ′. 91. δ′. 404. ε′. 422.—Ποσειδωνία γ′. 91.
Ἀμφιτρύων λ′. 266. πρὸς Τηλεβόας antiqua cantio, γ′. 267.
ἀμφιφορεὺς β′. 349.
Ἀμφίων duo ejusd. nom. λ′. 262. 281. 283. τ′. 518.
ἀμφουδὶς λ′. 597. ρ′. 237.
ἄμως, ἀμωσγέπως α′. 10.
-αν pro -ασι α′. 2. not. 2.
ἀναβιβάζω de Orac. præf.
ἀνάγειν pro ἄγειν Ion. σ′. 89.
ἀνάγνωσις διπλῆ λ′. 134.
ἀναδιπλασιασμὸς γ′. 28. 41.
ἀναζωγραφέω η′. 59.
ἀναθήματα α′. 152. μ′. 347. σ′. 185.
ἀνακεφαλαίωσις λ′. 38.
ἀνακόπτομαι δ′. 733.
ἄναλδος, ἄναλτος ρ′. 228.
* ἀναμφαδὸν (sic) ψ′. 199.
ἀναπαλαίειν retractare θ′. 567.
ἀναπλήρωσις τῆς Ἰλιάδος γ′. 248.
ἀνάπνευστα (accent.) λ′. 274.
Ἀναρκία δ′. 797.
* ἀναστρεπτέον α′. 218. η′. 152.
ἀναστροφὴ ζ′. 89. δυνάμει γ′. 137. λέξεως θ′. 403.
ἀνατροπὴ κατηναγκασμένη ι′. 297.
ἀναφέρεσθαι δ′. 285.
ἀναφορὰ α′. 255. ἀναφορικῶς ἀντὶ τοῦ δεικτικῶς α′. 185. ἀναφορικὸν ἀντὶ ἀνταποδοτικοῦ γ′. 126. ἀναφορικῶς ξ′. 161.
ἀναφωνεῖν, ἀναφώνησις α′. 242. β′. 127. 284. 367. cum not. ad β′. 20. ε′. 82. 101.
ἀναψηλάφησις α′. 321.
ἀνδράγρια θ′. 332.
ἀνδρακὰς ν′. 14.
Ἀνδροκλῆς κ′. 6.
ἀνδρῶν α′. 356.
ἀνειδωλοποιέω α′. 115.
ἀνεμώλιοι εἶναι λ′. 249.
ἀνεξικακεῖν α′. 93.
ἀνεψιὰ η′. 54. ξ′. 68.
ἀνὴρ σημαίνει τέτταρα α′. 1.
ἀνθέλκομαι λ′. 18.
Ἀνθεμοῦσσα μ′. 39.
ἀνία α′. 193.
ἀνικονόμητος β′. 63.

ἀνυμβρέω β΄. 81.
* ἀναββέφησις μ΄. 105.
ἀνταπόδοσις ζ΄. 88. 228. ἀνταποδοτικὸν γ΄. 126.
Ἄντεια λ΄. 326.
* ἀντέκφρασις α΄. 429.
* ἀντεξισάζω λ΄. 309.
ἀντὶ pro ἀντὶ τοῦ not. ad α΄. 208.
ἄντζα ρ΄. 225.
* ἀντιδιασταλτικῶς μ΄. 33.
ἀντιδιαστολὴ α΄. 365.
Ἀντίκλεια α΄. 75.
Ἄντικλος δ΄. 285.
ἀντιμεθίστημι δ΄. 612.
Ἀντιόπη τ΄. 518. not.
ἀντιπαραχώρησις ξ΄. 485.
ἀντίπτωσις γ΄. 445. ε΄. 477. ζ΄. 60. ψ΄. 216. λ΄. 531.
Ἄντισσα γ΄. 169.
ἀντιστροφὴ β΄. 315. δ΄. 802.—ἰωνικὴ ε΄. 155.
ἄντιτα ρ΄. 51.
ἀντίφρασις μ΄. 70.
* ἀντωνυμιώνη (?) γ΄. 296.
ἀντωνυμία ἀναφορικὴ α΄. 185.
ἀνωΐστι δ΄. 93.
Ἄξιος (accent.) λ΄. 238. not.
ἀοιδοὶ α΄. 325. γ΄. 267.
ἄορα et ἄορες ρ΄. 222.
ἀοσσητὴρ δ΄. 165.
* ἀπάνθισμα α΄. 443.
ἀπαντᾶν γ΄. 184. 226. λ΄. 84. 90. cf. ὑπαντᾶν.
ἀπαράλλακτος ζ΄. 102.
ἀπαρέμφατον λ΄. 74.—ἀντὶ προστακτικοῦ β΄. 305. ε΄. 30. 342. 349. ψ΄. 222.—ἀντὶ εὐκτικοῦ ψ΄. 313.
ἀπαρτίζω ν΄. 377.
Ἀπειραῖος η΄. 8. not.
ἀπείρων, ἀπέρων α΄. 98. not.
ἀπίη γῆ η΄. 25.
ἄπιος ὄγχνη ξ΄. 10.
ἀπλοϊκὸς η΄. 343.
ἀπὸ ἀντὶ τῆς παρὰ ζ΄. 12. 18.—ἀναστρεπτέον η΄. 152. — λείπει ξ΄. 144.
ἀποβιβάζω θ΄. 80. v. præf.
ἀποδακρύω decido ut lacrima ρ΄. 208.
* ἀποδερτρέω λ΄. 579.

ἀπόθεσις ε΄. 361.
ἀποθήκη φ΄. 5.
ἀπόκειμαι, ἔνδοξός εἰμι ι΄. 19.
ἀποκοπὴ γ΄. 14. 146.—τοῦ ν α΄. 276.
Ἀπόλλων κουροτρόφος τ΄. 86.—Νεομήνιος υ΄. 155.
ἀπόλυτος (ἀντωνυμία) ξ΄. 38. ε΄. 317.
ἀπομαγδαλία κ΄. 217.
ἀπόμνυμι β΄. 377. ε΄. 437.
ἀποξύω α΄. 127.
ἀπορεῖν α΄. 327. γ΄. 216. ἀπορία α΄. 1. γ΄. 332. δ΄. 1. η΄. 83. κ΄. 190.
ἀποσκίασμα λ΄. 213.
ἀπόστροφος Fragm. Ambr.
ἀπόστασις μ΄. 75.
ἀπότομον præf.
ἀπουρανόθεν λ΄. 18.
ἀποφαντικῶς δ΄. 140. ἀποφατικῶς β΄. 377.
ἀποφώλιος θ΄. 177.
ἀπμάτωρ ξ΄. 317.
ἄπτα σ΄. 31.
Ἄραμβοι δ΄. 84.
ἄρασσον ε΄. 248.
Ἀργεῖος ὁ Πέλοπος δ΄. 10. 22.
Ἀργειφόντης α΄. 38.
ἀργέτης, ἀργέτι etc. λ΄. 579. n.
Ἄργος, ὁ, β΄. 120. ρ΄. 471.—ὁ πολυόμματος α΄. 38.
Ἄργος, τὸ α΄. 246.
Ἀργὼ etym. μ΄. 70.
Ἀρέθουσα ν΄. 408. c. not.
Ἀρέστωρ β΄. 120. n.
ἀρετὴ δ΄. 629. ν΄. 45. ρ΄. 322. σ΄. 133.—οὐδετερικὸν ὄνομα β΄. 206.—ἀρετῆς κάλλος ε΄. 16.
Ἀρετὴ Xenophontis et Telesillæ ν΄. 289.
Ἀρήτη α΄. 329. η΄. 54. 56. λ΄. 338.
Ἄρητος λ΄. 287.
Ἀρι pro Ἀρίσταρχος η΄. 221.
ἀρίζηλος μ΄. 453.
ἀριστοκρατία θ΄. 390.
ἄριστον, δεῖπνον etc. β΄. 20.
Ἀρκείσιος π΄. 118.
Ἄρκτος, Ἅμαξα ε΄. 270.
Ἀρμαθέη, -οθέη τ΄. 518. υ΄. 66.

III. INDEX RERUM

Ἁρμονία θ'. 266. λ'. 326.
ἁρμονιά ε'. 248.
Ἁρμονίδης ε'. 223.
ἀρναῖος σ'. 5.
Ἀρνακία, Ἀρναία δ'. 797.
Ἅρπυιαι α'. 241. μ'. 69. τ'. 518. υ'. 66.
Ἀρτακίη κ'. 108.
Ἄρτεμις καὶ Τιθωνὸς ε'. 1.—παρ' Ὁμήρῳ οὐδέποτε ἄρσενας φονεύει ε'. 124.—κουροτρόφος υ'. 71.
Ἀρύμνιον ὄρος ι'. 96.
ἀρχαία συνήθεια α' 275.
Ἀρχίλοχος et Ἀρίσταρχος confusi κ'. 193. c. not.
ἀρῶ τὸ ποτίζω ι'. 408. not.
ἀσάμινθος, ἀσάμινθος γ'. 468. τ'. 553.
Ἀσία, ἤπειρος ψ'. 8.
ἄσπετον δ'. 75.
ἀστεϊσμὸς β'. 273. θ'. 272. ἀστείως β'. 386.
Ἀστερὶς, νῆσος δ'. 486.
ἀστερίσκοι α'. 99. γ'. 71. ν'. 398. ξ'. 188. τ'. 4.
Ἀστεροδία, -ωδία, -οπία α'. 277. δ'. 797. ε'. 16.
ἀστέρων κίνησις α'. 267.
ἀστράγαλος, εὐτελὲς τ'. 28.
Ἀστυκράτεια κ'. 6.
Ἀστυόχη λ'. 520. 521.
Ἀστυπαλαία χ'. 9.
ἀσυλία λ'. 459.
ἀσύναρθρον ζ'. 289.
Ἀσφαλίων δ'. 216.
ἀσφοδελὸς λ'. 539.
Ἀσωπὶς ἡ Κέρκυρα ε'. 35. Ἀσωποῦ παῖς ἡ Ῥόδη ρ'. 208.
ἀτὰρ ἀντὶ τοῦ γὰρ δ'. 236.
Ἀταρπὼ Μοῖρα ψ'. 197.
ἀτθὶς πεντέρα β'. 410.
Ἄτλας α'. 14.
ἄτομον σχῆμα β'. 195. v. præf.
ἀτρεκὲς, -έως α'. 214. π'. 245.
ἀτρύγετος β'. 370.
ἄττα ζ'. 57. π'. 31.
Ἀττικὴ διάλεκτος ι'. 373.—λέξις β'. 319.—συνήθεια σ'. 367.—σύνταξις τ'. 27.—φράσις κ'. 216. ε'. 98.
ἀττικίζων Ὅμηρος σ'. 2. ἀττικὸν λ'. 250. ε'. 157.—ἔθος γ'. 332. ἀττικὸς πλεονασμὸς δ'. 38. Ἀττικοὶ γ'. 444. ψ'. 126. ι'. 168. ξ'. 352. π'. 175. (μέλαγχρες) τ'. 393. Ἀττικῶν ἰδίωμα ψ'. 50. λέξις α'. 10. Ἀττικῶν νεώτεροι θ'. 186. ἀττικῶς α'. 204. γ'. 14. 251. 476. δ'. 581. 639. μ'. 372. σ'. 350. υ'. 104.
ἀττικῶς et ἀντὶ τοῦ confusa ψ'. 32.
ἀτύζω μ'. 111. not.
αὖ ἐρύσαντες γ'. 453.
αὐγεῦσα, αὐγεύστηρα ε'. 215.
αὐδήεσσα ε'. 334. not. λ'. 8.
αὐλήεσσα ε'. 334.
αὐλὰς τ'. 227.—(spir.) α'. 272.
αὔξησις. De Augmentis vid. Fragm. Ambr. Vid. et infra ἐρ—.
* αὐπαλὸν κ'. 305.
αὔρα (spir.) α'. 272.—λεῖαι ψ'. 119.
Αὐτόλυκος κ'. 277. τ'. 432. φ'. 22.
Αὐτομήδης, ἀοιδὸς γ'. 267.
αὐτὸς, αὐτοῦ nonnisi ἀναφορικῶς Homerus ξ'. 161.—et αὖ τοῦ, αὖ τοῦσι α'. 109. ξ'. 161.
αὔω, αὔω α'. 272. π'. 306.
ἄφαρ β'. 94.— (spir.) β'. 169.
ἀχανία ι. 373.
Ἀχελῷος ζ'. 204.
ἄχερδος ξ'. 10.
Ἀχέρων κ'. 514.
Ἀχιλλέως ὅπλα λ'. 547.—καὶ Ὀδυσσέως νεῖκος θ'. 75—80.
ἀχρεῖος, ἀχρειώδης σ'. 163.
ἄχυλας δ'. 41.
ἄψ α'. 276.
ἄωρος μ'. 89.

B.

Βαγρετία α'. 259.
βάλανος κ'. 242. φ'. 47.
βαρβαρισμὸς λ'. 76.
βάρβιλος κ'. 242.
βαρυτέω ι'. 183. Cf. βαρυ—.
βασιλεῦς latiori sensu α'. 72. ψ'. 49. ξ'. 336.
βαστάγιον ι'. 438.
βάτος ι'. 103.
βέλη χρυσθέντα α'. 262.

Βελλεροφόντης α΄. 318.
βημοτίζειν, -σμὸς ζ΄. 318.
βῆσσα τ΄. 435.
βιάζω α΄. 249. ζ΄. 239.
βίας λ΄. 287. ι΄. 230.
βίοτος β΄. 123.
Βλεισσήνη, Βλίση γ΄. 293.
βοηθὸς vel -όος δ΄. 22. not.
βοωτικὸν δ΄. 555.
Βορέας ι΄. 106. ζ΄. 533. Βορεάδαι μ΄. 69.
βουγάϊε σ΄. 79.
βουκολικὸν ι΄. 456.
βουλὴ γ΄. 128. ζ΄. 55. ἐβούλοντο ου brev. α΄. 234.
Βουπρασιεὺς vel -ίδης γ΄. 267.
βοῦς, βύρσα δ΄. 436.—ἀσπὶς σ΄. 79.
βουστασία κ΄. 411.
Βουχέτιον, Βούχετος σ΄. 85.
Βοώτης ε΄. 272.
βραχεῖαι τρεῖς ἀλληλοάλληλαι ζ΄. 485.
Βρενδέσιον, Βρεντησία, Βρεντίσιον, Βρεντήσιον α΄. 184.
βροτὸς ἀθάνατος γ΄. 3.
βρῦλον ι΄. 463. ι΄. 103.
βύκτης κ΄. 20.
βυσσὸς, βυθὸς θ΄. 273.
βύσσω κ΄. 20.
βωμὸς τῆς ἑστίας ζ΄. 159. βωμοὶ, αἱ βάσεις η΄. 100.

Γ.

γαμήλιοι θεοὶ α΄. 38. γαμήλια γ΄. 360. n.
Γανυμήδης λ΄. 521.
γάρ. ἄρχεσθαι ἀπὸ τοῦ γὰρ κ΄. 190. μ΄. 153.
γαστὴρ, γάστρη in navi ε΄. 249. n.
γαστρίμαργος β΄. 245. σ΄. 2.
γαυλὸς (accent.) ι΄. 223.
γαυριάω κ΄. 132.
γέ μεν ε΄. 205. not.
Γελανίων δ΄. 22.
γελοίω τ΄. 346.
γενεὰ γ΄. 245.
γενικὴ ἀντὶ αἰτιατικῆς ι΄. 14.—ἀντὶ δοτικῆς ε΄. 125.—μετάγεται εἰς εὐθεῖαν η΄. 87.
γένος ἐλλείπει τ΄. 294.
Γεραιστὸς γ΄. 177. 178.
Γερήνη, Γέρηνα, Γερήνιος γ΄. 68.
γεῦμα, de δόρπῳ μ΄. 439.
γῆ σφαιρικὴ καὶ κυκλικὴ α΄. 98. β΄. 1. —plur. γαῖ η΄. 127.
γήρᾳ, et -αϊ κ΄. 316. not.
Γῆρι nom. dub. δ΄. 12.
Γηρυόνης μ΄. 85.
Γίγαντες η΄. 59. 206.
γίγνεσθαι, γίνεσθαι Fragm. Ambr.
γλάπτω, γλάφω, δ΄. 438.
γλαυκὰ (τὰ) τῶν ζώων γ΄. 135.
Γλαῦκος cantor γ΄. 267.
γλαύσσω α΄. 221.
γλώσσας ἀποτέμνειν γ΄. 332.
γνώμη β΄. 95. not. γνωμικὸν η΄. 310. —σχῆμα ε΄. 74.—κὸς στίχος δ΄. 691.
γομφωτήριον ε΄. 246.
γούνατα θεῶν α΄. 267.
γογγὸς, γογγότης α΄. 110. β΄. 284. 300. 363.
Γορτυνία, Γορτύνη, Γόρτυς γ΄. 293. 296.
γρ. de hac sigla vid. α΄. 361. not. β΄. 105. 169. 244. 334. not. δ΄. 119. not. 552. not. θ΄. 434.
γράμματα ᾑρῴων ἥρωες θ΄. 163.
γραμματικὴ ἀρχαία α΄. 254. (cf. γραφὴ)
γραμματικοὶ σ΄. 2.
γράφειν, γλάφειν δ΄. 438.
γραφὴ v. Homeri Recens. γραφὴ ἀρχαία α΄. 52. cf. μήρ. et OIO et γραμματική.
γύης mensura η΄. 113. cf. γύων.
γυναικίας λ΄. 224.
γυναικωνῖτις α΄. 356. υ΄. 387.
γύνις λ΄. 224.
γύων mensura σ΄. 374. cf. γύης.
γυρωτὸς φ΄. 54.

Δ.

δ litteræ cognatio cum j. β΄. 20. n.
Δαίδαλος λ΄. 321.
δαίμονες θνητοὶ κ΄. 323. cf. 471. δαίμονες σίδηρον φοβοῦνται λ΄. 48.
δαιτυμὼν δ΄. 621.
δαΐφρων ε΄. 510.
δαμνάω, -ημι λ΄. 221. n.
δασυντέον, δασυντητέον vid. not. ad

α'. 27. δασυντέον α'. 326. β'. 185. cf. βαρυτέον.
δασμὸν, δεσμὸν θ'. 355. n.
δάφνη κουροβάλεια ι'. 86.
δὲ ἀντὶ τοῦ γὰρ δ'. 236. ρ'. 261. σ'. 229. φ'. 1.—λείπει μ'. 77.—περισσὸς η'. 47.—πλεονάζει ξ'. 87.—παρὰ σύνταξιν κεῖται ε'. 246.
δέατο ζ'. 242.
δειελὴ ρ'. 599. n.
δείκνυμι δ'. 59.
δεικτικὸν, δεικτικῶς α'. 185. 389. λ'. 353.
δείλατα μ'. 252.
δείλετο η'. 289.
δείλη β'. 167. ι'. 121. ε'. 29.
* δειλινίζω dub. ρ'. 599.
δειπνέω et -ίζω δ'. 535. λ'. 411.
δεῖπνον β'. 20. η'. 215.
* δελφῖνος, ὁ, in navi η'. 252.
Δεξαμενὸς φ'. 295.
δεξιὰ quæ β'. 148. 154.
δέπα ε'. 466. δέπᾳ κ'. 316.
δερδέσκετο (sic) ε'. 82.
δέρτρον λ'. 579.
δέσμα, δέσματα, δεσμεῖα α'. 204.
δεσμὸν, δασμὸν θ'. 355. n.
* δέτρον not. ad λ'. 579.
δεύει pro δεῖ α'. 254. n. δεύῃ et -ει ibid.
Δευκαλίων κ'. 2.
δεῦτε θ'. 11.
δὴ χρονικῶς δ'. 260.
δήϊος, δηΐων Fragm. Ambr.
Δηΐφοβος δ'. 276.
δηλήμονες ε'. 118.
Δῆλος ε'. 121. 123. ζ'. 164. μ'. 61.
Δημήτηρ ε'. 34. 125.
δημητριακὸς χόρτος α'. 368.
Δημοδόκη α'. 98.
Δημόδοκος alter γ'. 267. bis.
δῆμος ζ'. 3. male ut propr. α'. 103.
Δημοφῶν λ'. 321.
διὰ λείπει θ'. 122.—ἀντὶ τοῦ εἰς ι'. 143.—cum acc. ψ'. 40.
Δία κ'. 6. λ'. 631.—νῆσος λ'. 325.
διαγανάκτησις β'. 315.
διαγράφειν λ'. 525. n.
διαζευκτικὸς α'. 165.—σύνδεσμοι δ'. 546.
Διαίνη γ'. 21. c. not.
δίαιτα πάλαια ξ'. 429. διαιτητικὸν δ'. 228.
* διακυλαίνω δ'. 438.
* διακτορέω α'. 38. c. not. διάκτορος α'. 38. c. not. ε'. 43.
διάλεκτος α'. 92.—ἐγχώριος γ'. 378.
διαληπτέον α'. 4.
διαμερίζειν α'. 379.
* διαπείρασμα δ'. 671.
διασαφητικὸς α'. 165.
διασκευαστὴς λ'. 584. χ'. 31.
διασπείρεσθαι not. ad β'. 102.
διαστέλλειν δ'. 627. διαστολὴ α'. 355. γ'. 50.
* διαστολῶς α'. 355.
διάτορος, διατορεῖν vid. not. ad α'. 38.
δίδημι, διδέντων μ'. 54. not.
Διδύμη κ'. 1.
δίελος (dub.) ε'. 29.
διηνεκέως η'. 241.
διθανέες μ'. 22.
δικαστὴς δ'. 477.
δικαιολογικὸν β'. 229.
δίκη ξ'. 59.
Διοκλῆς γ'. 489.
Διόνυσος ι'. 198.
διόρθωσις μ'. 89.
Διόσκουροι λ'. 298. τ'. 518.
Διόσπολις δ'. 126.
διπλασιασμὸς liquidarum in cæsura β'. 338. n. δ'. 37. n. cf. σύμφωνα, et ἀναδίπλ.
διπλῆ ε'. 422. η'. 137.
δισ- et δι- μ'. 22.
δίσκος δ'. 626. θ'. 190.
δισσολογία α'. 406. μ'. 453.
διστάζεται μ'. 439.
δισυλλάβως, per spondeos ι'. 334.
δισάνηος μ'. 22.
διφθογγογραφεῖν δ'. 701. λ'. 68.
δίφθογγος vox compendio scripta α'. 22.
δίφρος γ'. 324. τ'. 97.
διχόνοια γ'. 128.
δίχρονος de syllaba duorum temporum κ'. 60.

Διώνη v. Διαίνη.
δμῶες δ'. 644. ψ'. 225.
Δμήτωρ ρ'. 443.
δοάσσατο κ'. 153.
δόγμα Ὁμήρου β'. 282.
δοιὰ β'. 46.
Δολωνία α'. 262.
δόρπος β'. 20. ψ'. 215.
δοτικὴ ἀντὶ αἰτιατ. ι'. 19.
δούλη non Homericum δ'. 12.
δουλὶς τ'. 370.
Δουλίχιον α'. 246. ξ'. 397. ι'. 24. φ'. 347.
δοῦπος ζ'. 26. not.
δραστὴ (δρηστὴ), θεράπαινα δ'. 123.
δραστὴρ, δρηστὴρ δ'. 818. n.—et δρηστοσύνη, de coquinaria ο'. 321. σ'. 76. vid. præf.
δράττομαι ι'. 292.
Δρεπάνη ε'. 34.
Δρυόπων φωνὴ α'. 32.
δρύοχος τ'. 574.
δυερὸς ζ'. 201.
δύναι, δύνω λ'. 221. c. not.
δυνάμει ἀναστροφή: vid. ἐς.
Δωδώνη ζ'. 204. ξ'. 327.
ἡ δωρεὰν δόσις ρ'. 413.
Δωριεῖς τ'. 177.
Δωριεῖς, Δωρικῶς (de dialecto) α'. 10. δ'. 619. λ'. 579.
δῶρον, ἡ ἀκτὴ ξ'. 429.
Δωροδόχῃ ο'. 16.

E.

ε, πλεονασμὸς ἀττικὸς δ'. 38. ε pleon. an in hiatu, not. ad μ'. 78. τροπὴ τοῦ ε εἰς ι γ'. 41. ε et αι Fragm. Ambr.
ἓ δ'. 527.
ἐὰν ἔλθω λ'. 501.
ἐᾶν, εἰάσαμεν γ'. 151.
ἐγγαμεῖν β'. 319. n.
ἐγγὺς de temp. β'. 165.
Ἐγκέλαδος β'. 421.
ἐγκλίνειν de consopito acuto. ζ'. 149. c. not.
ἐγκοίλια ε'. 163. n.
* ἐγκοίτιον –τερον ξ'. 50.
ἐδεσματοθήκη ζ'. 76.
ἔδνα, ἔεδνα α'. 276. 277. β'. 53.
ἑδραία θεὸς ζ'. 48.
ἐθέλειν ἐπὶ τοῦ δύνασθαι γ'. 121. ρ'. 321. ἐθέλω τρισυλλάβως γ'. 272. ο'. 317.
ἐθικὸν α'. 173.
ἔθη ἀρχαῖα γ'. 336. ε'. 2. θ'. 6. ι'. 65. κ'. 7.
ἔθος ἐμπορικὸν ε'. 336. θ'. 166.
ει et ι Fragm. Ambr. ει pro ῑ ob metr. α'. 22. ει an η ante vocalem Fragm. Ambr.
εἱ-, εἰ- α'. 326.
εἴδατα α'. 140. δ'. 56.
εἰδέναι vid. εἴδω.
Εἰδοθέα δ'. 366. 384. μ'. 69. not.
εἴδωλον λ'. 213. 602.
εἰδωλοπλαστεῖν δ'. 456.
εἴη λείπει β'. 33.—τὸ ἐάσει θ'. 571.
εἰκονισμὸς τ'. 246.
εἰκοστὸς χρόνος τοῦ ἡρωϊκοῦ β'. 77. n.
εἰλαπίνη α'. 226. λ'. 415.
εἰληθερεῖν ι'. 21.
Εἰλήθυια β'. 131.
εἶλας α'. 326.
εἶναι, ἱέναι α'. 406.
εἴρερος θ'. 529.
εἰρύσθαι γ'. 268.
εἰρωνεία λ'. 235. ξ'. 406. ρ'. 407.—εἰρωνικῶς β'. 306. α'. 380. β'. 306. ξ'. 402.
-εις, εντος ε'. 334. not.
εἷς ἀνήρ, ἀττικῶς μ'. 372.
εἴση et ἴση Fragm. Ambr. ἐΐσαι σανίδες χ'. 128. n.
εἶτα τ'. 432.
Ἑκάβη δ'. 225.
ἑκάστοθεν, -θι γ'. 7.
Ἑκάτη κ'. 139. μ'. 85. 124.
ἔκβιος λ'. 134.
ἐκβράττω λ'. 114.
ἐκδήμως γ'. 82.
ἐκδίκησις δ'. 167. ἐκδικία τ'. 111.
ἐκλαμβάνω β'. 67.
ἔκτα (quant.) α'. 300.
ἐκτετόκισται ζ'. 204. ψ'. 321. κ'. 190. cf. ἐξήκισται.
ἔκτοτε α'. 212.
Ἐλάρα η'. 321.
* ἐλάσσειν dub. δ'. 607.
ἐλάχεια ι'. 116.
Ἐλαιᾶται, ῖται, Ἐλεᾶται λ'. 521.

III. INDEX RERUM

Ἑλένη α΄. 328. δ΄. 11. 218. 220. -ης ὅρμος γ΄. 267. n.
Ἐλευθήρ, -έριος δ΄. 563.
Ἕλενος γ΄. 188. ξ΄. 199. not.—fil. Helenæ δ΄. 11.
* ἐλεφαντοχρῶτες τ΄. 562.
ἕλη ι΄. 21.
ἐλθεῖν λείπει λ΄. 223.
Ἑλίκη ε΄. 272.
ἕλικες, ἑλικοειδὴς α΄. 92. δ΄. 320.
Ἑλικῶνος καὶ Κιθαιρῶνος ἔρις γ΄. 267.
Ἑλλὰς δ΄. 726. α΄. 344. λ΄. 496. ε΄. 80.
Ἕλλην κ΄. 2.
ἑλληνικὴ φωνὴ δ΄. 279.—ἑλληνικὸν δ΄. 472.
ἔμβρυον ι΄. 245.
ἐμβρωματίζω λ΄. 121.
ἐμὲ ὀρθοτονουμένη η΄. 220. 223.—ἀντιδιασταλτικὴ μ΄. 33.
ἐμεῦ et ἐμοῦ α΄. 413. it. Fragm. Ambr.
ἔμπα ε΄. 205.
ἔμπαιος, ἔμπεος υ΄. 379.
Ἐμπεδόκλειος γνώμη θ΄. 266.
ἔμπης ε΄. 205. π΄. 143. σ΄. 354.
ἔμπορος β΄. 319. cum not.
ἔμπροσθεν supra, infra, vid. not ad α΄. 127.
ἐμφαντικὸς, ῶς ζ. 157. ι΄. 292. sqq. 481. κ΄. 130. λ΄. 531. ἐμφατικῶς ρ΄. 232. ἔμφασις α΄. 204. ι΄. 297.
* ἔμφρουτις υ΄. 421.
ἐν pro παρὰ vel περὶ σ΄. 44.
ἐναλλάττονται λέξεις ρ΄. 30.
ἔνδροσος ι΄. 245.
Ἐνδυμίων ε΄. 1.
ἐνέργεια υ΄. 79.
ἐνεργητικὸν ἀντὶ παθητ. α΄. 404.
ἐνεστὼς ἀντὶ μέλλοντος β΄. 222. γ΄. 396. δ΄. 485.
ἐνήνοθεν ρ΄. 277.
ἔνθα χρονικὸν α΄. 18.
ἐνθυμηματικὸς λόγος α΄. 389.
Ἐνιπεὺς λ΄. 238.
ἐνίσπες γ΄. 101. δ΄. 314. ξ΄. 185. n.
* ἐνναστία τ΄. 178.
ἐννεάχρονος λ΄. 311.
ἐνοδίῳ δ΄. 785. θ΄. 55. not.
ἐνσπείραν, -ῶν, -ᾶν β΄. 102. c. not.
ἐντελεῖς λ΄. 571.
* ἐντίναγμα ρ΄. 231.
ἔντεμα λ΄. 23.
ἐντρέπω θ΄. 167.
ἐντυπὰς ω΄. 14.
ἐνώπια δ΄. 42.
ἐξ, ἢ διὰ, ε΄. 422. not.—λείπει ξ΄. 338. it. Fragm. Ambr. not.
ἑξακαιδεκάτη γ΄. 215.
ἐξαλλαγὴ δ΄. 333.—ἰδεῶν α΄. 284.
ἔξαλλος λ΄. 134. not.
ἐξέδρα ω΄. 208.
ἐξιδιωτικεύεσθαι ε΄. 160. not. η΄. 305.
* ἐξοδωτίζω σ΄. 29.
ἐξήκισται δ΄. 556. cf. ἐκτετέκισται.
ἐξώτρυκα β΄. 195.
ἐὼν, ἔων θ΄. 325.
ἐπαυτῇ (accent.) σ΄. 128.
ἐπακουμβίζω γ΄. 412.
ἐπαλλακτικῶς ε΄. 481. not.
ἐπανάληψις θ΄. 268.
ἐπανατείνασθαι β΄. 63.
ἐπαοιδὴ τ΄. 457.
ἐπαύλεις ξ΄. 5.
ἐπαφροδίτως λ΄. 242.
ἐπεὶ ι΄. 347. not.—βεβαιωτικὸν γ΄. 103.—βεβ. καὶ ἀργὸν δ΄. 204.
ἔπει μ΄. 209.
ἐπειὴ Fragm. Ambr.
ἔπειτα υ΄. 63.
ἐπέκτασις α΄. 379.
ἐπεξελθεῖν λ΄. 570. not.
ἐπεξεργασία ε΄. 489.
ἐπήβολος β΄. 319. c. not.
ἐπήτης σ΄. 322.
ἐπὶ π΄. 99. n.—ἀντὶ τῆς παρὰ ξ΄. 294.—pro ἐπάνω ρ΄. 357.—λείπει μ΄. 330.—περισσὴ γ΄. 195.
Ἐπιάλτης λ΄. 308.
ἐπιβάτης β΄. 319.
ἐπιγουνὶς ρ΄. 225.
ἐπιδιστάζειν ζ. 149. not.
ἐπιδίφρια ο΄. 51.
ἐπιδώσασθαι not. ad ε΄. 337.
ἐπίθεμα ε΄. 131.
ἐπιθετικῶς β΄. 355.
Ἐπικάστη λ΄. 271.
ἐπίκριον γ΄. 352.
ἐπίκωπος β΄. 319.

ἐπιμελέω α΄. 276. n.
ἐπιμερισμὸς δ΄. 797. not.
Ἐπιμηθεὺς κ΄. 2.
ἐπινίπτεσθαι δ΄. 52.
ἐπίξεινον, -ψων β΄. 237. n.
ἐπιόψομαι β΄. 294.
ἐπίῤῥημα ε΄. 71. n. λ΄. 565.—παρακελευσματικὸν β΄. 178.—ποιότητος ϛ΄. 43.—συντακτικὸν α΄. 276.—σχετλιαστικὸν ζ΄. 415.
* ἐπίσπαστον α΄. 441. ψ΄. 90. σ΄. 73.
ἐπισπεύσας ζ΄. 398. n.
ἐπισταδὸν ν΄. 54. π΄. 453. ϛ΄. 425.
ἐπίσταμαι (agnosco, habeo) θ΄. 142. Cf. ἐφίστημι.
ἐπιστημονικὸς ψ΄. 92.
ἐπίστιον ζ΄. 265.
Ἐπίστροφος α΄. 177.
* ἐπιταλὴς ε΄. 253.
ἐπίτασις γ΄. 50. δ΄. 92. v. not. 105. v. not. 665. 697. ψ΄. 74. ι΄. 51.
ἐπιτηδειότης δ΄. 134. not.
ἐπιφάνεια γ΄. 6.
ἐπιφορὰ α΄. 268. θ΄. 266. n.
ἐπιφωνεῖν β΄. 20. not. ἐπιφώνημα ε΄. 294. ι΄. 69.
ἐπιχυαὶ ε΄. 404.
ἐποίκιον ζ΄. 265.
ἐπώνυμον ψ΄. 54.
ἔρανος α΄. 225. 226.
ἔργον ἡ γεωργία ζ΄. 222. βοῶν ἔργα κ΄. 98.
ἔργω, ἔργω ζ΄. 411.
ἐρέβινθοι, εὐτελὲς τ΄. 34.
Ἔρεμβοι, Ἔρεμνοι δ΄. 84.
Ἔρεσσος γ΄. 169.
Ἐρεχθεὺς η΄. 81. ζ΄. 533.
Ἐρικοῦσσα, Ἐρικώδης κ΄. 1.
Ἐρινύες τ΄. 518. υ΄. 66.
ἐρινὸς, ὁ, ἐρινεὸν ε΄. 281.
Ἐριούνιος θ΄. 322.
ἑρμαῖον π΄. 471.
ἑρμηνεία α΄. 38. ε΄. 1. not. ϛ΄. 453.
Ἑρμῆς ε΄. 29. ω΄. 1.—ἀλληγορικῶς α΄. 38.—ἐκάθηρε τὰς ὁδοὺς π΄. 471. καὶ Ἄργος ib.—inventor artium, τετράγωνος, ejus imago in lecti pedibus ψ΄. 198.
Ἑρμιόνη δ΄. 4. 11. λ΄. 521.
ἐρυθρὸν epith. montis γ΄. 169.
Ἐρύμανθος ὄρος καὶ ποταμὸς ζ΄. 103. 104.
ἐρύξω, τὸ υ βραχὺ ρ΄. 387.
ἔρχεο κ΄. 320. not.
ἐς, ἔς γ΄. 137.
ἔσαυτα κ΄. 453. n.
ἐσθὴς (spir.) ε΄. 38.
ἔσκετο δ΄. 705.
ἕσπερος, ἑσπέρα α΄. 422.
ἑσπέσθαι, ἕσπονται etc. δ΄. 826. not. χ΄. 324. not.
ἐσσὶ α΄. 297.—ἐγκλιτέον α΄. 175.
-έστερος, -έστατος β΄. 190.
ἐσχάρα ζ΄. 52.
ἔσχεν, ἀνεῖλεν λ΄. 324.
Ἐσχερία η΄. 321.
ἔσω ἀντὶ τῆς εἰς λ΄. 579.
ἕταροι α΄. 238.
ἐτεοδμὸς π΄. 305.
ἕτερος η΄. 126. λ΄. 258.
ἔτης α΄. 238.—(spir.) δ΄. 16.
Ἐτεωνεὺς δ΄. 22. 216.
ἔτος de anni parte η΄. 117. n.
ευ, διάλυσις γ΄. 316.
εὐαγγέλιον ζ΄. 155.
εὐαγγελίζω υ΄. 131.
εὔαδε π΄. 28.
Εὐάνθης ι΄. 197.
Εὔβοια η΄. 321.—κατῴκησαν Δωριεῖς τ΄. 177.
* εὐγενὴς κ΄. 221.
εὐδείελον ι΄. 21. β΄. 167.
εὐεργὴς, et εὐερκὴς ρ΄. 267.
εὐηγεσία τ΄. 113.
εὐήνωρ δ΄. 622.
εὐηγεσία, κακῶς τ΄. 113.
εὐκαταφρόνητος β΄. 143. n.
εὐκνήμιδες β΄. 402.
εὐκτικὰ καὶ προστακτικὰ ζ΄. 33. 37. ϛ΄. 24.
εὐξάμενος ζ΄. 468.
εὐπατέρεια λ΄. 236.
Εὐρυάνασσα λ΄. 326.
Εὐρύκλεια α΄. 429.
Εὐρύλοχος ϛ΄. 363.
Εὐρύμαχος Φλεγυῶν λ΄. 262. 264.
Εὐρυμέδων η΄. 56.
Εὐρυνόμη δ΄. 366.
εὐρυόδεια γ΄. 453.

Εὐρυοδία π΄. 118.
εὐρύπορος μ΄. 2.
Εὐρύπυλος ὁ Τηλέστορος δ΄. 797. ε΄. 16. —ὁ Τηλέφου λ΄. 520.
Εὐρυτία μ΄. 69.
Εὔρυτος Ἀπόλλωνι ἤριζεν θ΄. 224. Εὐρύτου ἵπποι φ΄. 22.
Εὔρυτος vel -ίων Κένταυρος φ΄. 295.
Εὐρώπη γ΄. 302.
* εὐτάλβωτες dub. β΄. 390.
εὐτελῆ ὀνόματα τ΄. 28. 34. præf.
εὐφημία τ΄. 328. εὐφήμως λ΄. 203.
εὐφροσύνη et εὐφρ. ζ΄. 156. not.
Εὐχήνωρ σ΄. 85.
εὔχροος, εὔχροον ξ΄. 24.
* ἐφευρετικὸς α΄. 349.
Ἔφη dub. κ΄. 6.
Ἐφιάλτης λ΄. 308.
ἐφίστημι, ἐπισταίη, εἰδείη θ΄. 240.
ἐφόλκιον ξ΄. 350.
ἔφυν 3. pl. (quant.) ε΄. 481. not.
Ἐφύρη α΄. 259. β΄. 328.
ἔχειν (ἐπιμελεῖσθαι, κρατεῖν, βαστάζειν) α΄. 53.
Ἐχέμηλος nom. fem. δ΄. 10.
Ἔχετος σ΄. 85.
Ἐχινάδες α΄. 105.
ἑψιάω ρ΄. 530.
ἕως, εἵως α΄. 326.—ἀντὶ τοῦ ἵνα ε΄. 386.

Z.

ζαής ε΄. 368. præf.
Ζάκυνθος α΄. 246.
ζαφελὴς β΄. 315.
Ζεύξιππος δ΄. 12.
Ζεὺς κ΄. 494.—ἐν Κρήτῃ ε΄. 272.—ὁ ἀὴρ α΄. 63.—νεφεληγερέτης ib.—γαμήλιος α΄. 36. et 38.—ἱκέσιος ε΄. 447. η΄. 164. ι΄. 267.
ζέφυρος δ΄. 564. ε΄. 295. μ΄. 408.
Ζεφύριον πεδίον δ΄. 563.
Ζῆθος λ΄. 283. τ΄. 518.
ζηλήμων et ζηλωτὴς ε΄. 118.
ζῆλος μ΄. 453.
Ζῆν΄. Fragm. Ambr.
ζητεῖν α΄. 255. 261. 262. β΄. 51. γ΄. 341. η΄. 32. θ΄. 186. ι΄. 209. λ΄. 30. μ΄. 447. σ΄. 367. ζήτημα α΄. 255. 259. 262. γ΄. 341. δ΄. 279. ε΄. 334. η΄. 32. ι΄. 106.—Ἡρακλείδου β΄. 51.
Ζήτης μ΄. 69. ξ΄. 533.
ζωάγρια θ΄. 332.
ζωὴ ξ΄. 96.

H.

η. πλεονασμὸς τοῦ η δ΄. 232. 563.—συναλοιφὴ τοῦ η γ΄. 14.
η an ει ante vocalem in verbis Fragm. Ambr. η et ι ib.
ἢ et ἦ α΄. 175. 389. not. γ΄. 72. 172. δ΄. 140. ε΄. 168.
ἢ ἐρωτηματικόν, διασαφητικός, ὁ διαζευκτικὸς α΄. 165. διασαφητικὸς θ΄. 188. ἀντὶ τοῦ εἴπερ (ἤπερ) α΄. 165. ἀντὶ τοῦ καὶ λ΄. 120. et præf. ἢ ἔτι pro καὶ ἔτι σ΄. 268.
ἦ ἀποφαντικῶς κ΄. 330.
ἦ pro φῆ θ΄. 186.
ἢ γ΄. 154.
ἦα β΄. 289. κ΄. 156.
Ἥβη λ΄. 385. γ΄. 464. not.
Ἡγησάνδρα δ΄. 22.
ἠδὲ, ἰδὲ γ΄. 10. ἠδὲ et ἦδε λ΄. 233.
ἦδε ἀναφορικῶς, περισπαστέον α΄. 185.
ἤδη χρονικῶς δ΄. 260.
ἧε δ΄. 372. 643.
ἠεροειδὴς β΄. 263.
ἠθεῖε ζ΄. 57. ξ΄. 147.
ἠθικῶς ι΄. 289. ἠθικῶς ἀναφωνεῖσθαι β΄. 33.
ἦθος σ΄. 223.
ἤια β΄. 289. ε΄. 368.
ἠίθεος γ΄. 400. λ΄. 38. οἱ ἠίθεοι in mythol. qui, μ΄. 69. n.
ἧκω, ἵκω ε΄. 194.
ἠλάκατα, ἠλακάτη δ΄. 131. ζ΄. 53. ρ΄. 105.
ἤλεκτρον vel -ος ρ΄. 208.
Ἠλεκτρύων β΄. 120. δ΄. 22. λ΄. 266.
ἠλιθοεργὸς, ἠλιθοποιὸς not. ad ξ΄. 464.
ἥλιος, de ejus motu β΄. 1. κ΄. 86. τ΄. 306. magnitudine δ΄. 400.—ὁ χρόνος μ΄. 128.
Ἡλίου παῖδες ρ΄. 208.—βόες α΄. 8. μ΄. 128. 129. 301. 353.
ἠλιτοεργὸς not. ad ξ΄. 464.
Ἠλύσιον δ΄. 563. ψ΄. 324.
Ἠλύσιος δ΄. 563.

ἠμαθίη δ′. 702.
ἠμαθόεις β′. 214.
ἦμας inclin. δ′. 652. n.
Ἡμέρας ἁρπαγὴ ε′. 121. not.
ἡμέτερος. ἐς ἡμετέρου η′. 301. et not. ad β′. 55.
ἦμος (spir.) β′. 1. ι′. 168.
ἦν pro ἔφην θ′. 186.
ἠνορέα ξ′. 217.
ἤπιον α′. 415.
Ἤπειρος α′. 186. 259. γ′. 188. η′. 8. σ′. 84.—τῶν Φαιάκων νῆσος η′. 8. n. Ἠπειρῶται ξ′. 327. Ἠπειρωτικὰ α′. 259.
ἦρ β′. 1.
ἦ ῥα θ′. 186.
Ἥρα, η′. 91. κ′. 494.—γαμήλιος θεὰ α′. 38. Vid. Διώνη.
Ἡρακλῆς λ′. 266. 269. φ′. 22.—cum Scylla μ′. 85. ἀποτεθανατωμένου εἰκ εἴδεν Ὁμ. λ′. 601. ἐν ᾅδου λ′. 385.—Ἡρακλείου στῆμα δ′. 228.—Ἡρακλειδῶν κάθοδος φ′. 13.
ἠρέμα, α′. 160. 193.
Ἠριδανὸς ρ′. 208.
Ἡρώδης δ′. 188.
ἥρως σ′. 423. ἥρως genit. ζ′. 302. not. ἥρωες et Τρῶες, ἡρωϊκὰ et Τρωϊκὰ λ′. 547. c. not. π′. 174.—ἡρωϊκὸς (στίχος) β′. 77.—ἡρωὶς λ′. ὑπόθ.
Ἡσιόδειος χαρακτὴρ ε′. 74.—Ἡσίοδος μεταγενέστερος δ′. 477.
Ἧσσα λ′. 235.
Ἡσιόνη κ′. 2.
ἧσται, ἧσται λ′. 191.
ἤτοι θ′. 87. ζ′. 86.
ηυ diphth. (accent.) υ′. 130. n.
Ἡφαίστεια, κ′. 6.
Ἥφαιστος λ′. 134.
ἠώς, Ἠὼς διάφορα σημαίνει β′. 1. ε′. 1. θ′. 1. conf. Ἡμέρα.

Θ.

θάλασσα ἡ ἔξω λ′. 1. c. not. θαλάσσης βάθος μ′. 104.
θαλεῖα, θάλεια ζ′. 293. n.
θαλλὸς ρ′. 224.
θαμὰ δ′. 686.
θάρσος, μένος, θράσος, α′. 321.
Θασία ἄμπελος κ′. 235.
θαυμάζω β′. 67.
θαυμαστικὸν η′. 74. -κὸς λόγος δ′. 269. 374. -κῶς δ′. 143. λ′. 519.
θεᾶσθαι εἰς θ′. 372. c. not.
Θελξιέπεια μ′. 39.
θεματικοῦν δ′. 807.
Θέμις β′. 242. ι′. 486.—Θέμιδος ἄγαλμα β′. 68. genit. Θέμιστος ibid.
θέμιστεν ι′. 486.
θεοὶ τὰ στοιχεῖα, οἱ ἀστέρες et sim. α′. 263. 267. ε′. 2. ι′. 4. θεῶν γούνατα α′. 267. De diis hominum formam induent. ρ′. 222. θεῶν οἰκητήρια ε′. 79. θεοὶ de dæmonibus longævis κ′. 323.
Θεοκλύμενος ο′. 223.
θεολόγοι δ′. 474.
θεοχολωσία θ′. 232.
Θέρσανδρος λ′. 326.
Θερσίτης, θέρσος β′. 157. not.
θὲς α′. 297. ξ′. 185.
Θεσπρωτία α′. 259. ρ′. 442.
Θεσσαλία α′. 344. σ′. 246.
Θῆβαι Βοιωτίας λ′. 262. sqq. 326. Αἰγύπτου δ′. 126.
Θηρίκλειον ι′. 346.
Θηρίμαχος λ′. 269.
θησαυρίζω τ′. 432.
Θησεὺς λ′. 321.
θῆτες δ′. 644.
Θορικὸς λ′. 321.
Θοῦρις δ′. 228.
Θόων δ′. 767.
Θρᾷκες φιλοπόλεμοι θ′. 361.
θρασκίας μ′. 408.
θριγκὸς η′. 87. ξ′. 10.
Θρινακρία μ′. 124.
θυμαρὲς, θυμῆρες κ′. 362.
θυμὸς, θυμὸν ἀέξειν β′. 315.
θύρηθεν, θύρηθε, θύρησι, θύρηφι ξ′. 352.
θῦσαι, nunquam mactare, ξ′. 446.
Θῶν, Θῶνις, Θῶνος δ′. 228.

I.

ι εἰς η τρέπεται π′. 317. ι et ει, ῑ et ῐ vid. Frag. Ambr.
ι προσγεγραμμένον καὶ ἐκφωνηθὲν γ′. 392. De iota subscriptili in cod. Iliadis Ambros. vid. Fragm.

ἰακὸν β΄. 206. ἰακῶς ψ΄. 235.—συστέλλειν ψ΄. 8.
Ἴαξος γ΄. 91.
Ἰάρδανος γ΄. 292.
Ἴασίων ε΄. 125.
Ἴασος λ΄. 281. σ΄. 246.
Ἰάσων scriptum pro Ἰασίων ε΄. 125. not.
Ἴβηρες ω΄. 307.
ἴγμενος λ΄. 7.
Ἰδαία μ΄. 69. not.
ἰδέ, ἠδὲ γ΄. 10.
ἰδέα pro εἴδωλον ψ΄. 198.
ἰδικόν, ὥς ψ΄. 196. σ΄. 84.
* ἰδιολογεῖν α΄. 132.
ἴδιος, κατ' ἰδίαν ψ΄. 39. ν΄. 31.
ἰδίωμα η΄. 50.
ἰδιῶται β΄. 349. ἰδιωτικὸν η΄. 197.
Ἰδομενεὺς ν΄. 259. τ΄. 174. 183.
Ἱερὰ κ΄. 1.
Ἱεροπτύτειν γ΄. 444.
Ἰησοῦς θ΄. 409.
Ἰθάκη ρ΄. 207. 294. προσάρκτιος γ΄. 296. not.
Ἴθακος ρ΄. 207.
ἰθέα δ΄. 434.
Ἰκάριος α΄. 285. β΄. 52. δ΄. 1. 797. ξ΄. 68. ο΄. 16. Ἰκάριος ὁ Βοώτης ε΄. 272.
Ἱκεσία κ΄. 1.
ἱκέσιος θεὸς η΄. 164.
ἱκέται invicem dicuntur π΄. 422.
ἴκριον, ἴκριον γ΄. 352. ε΄. 163. n.
ἴκτης (spir.) ρ΄. 352.
ἴκω, ἥκω ε΄. 194.
Ἰλιακὰ α΄. 284. τ΄. 175. τὸ Ἰλιακὸν de eo quod in Iliade ζ΄. 224.
ἶλαι σ΄. 11.
Ἴλλος α΄. 255.
Ἰλλυρικὰ (lingua) ε΄. 281.
Ἶλος α΄. 255.
ἱμείρεσθαι not. ad α΄. 58.
Ἰμεύσιμος δ΄. 797. c. not.
ἵνα α΄. 13. c. not. ι΄. 353. Aliter α΄. 167. β΄. 70. Vulg. Aliter λ΄. 593.
Ἴναχος β΄. 120.
ἰνδάλιμος ξ΄. 206. not.
Ἰνδοὶ δ΄. 84.
Ἰνὼ α΄. 38. ε΄. 334.
Ἰξίων φ΄. 303.
ἰξὺς ε΄. 231.
Ἰοκάστη λ΄. 271.
Ἰοκάστης vel Ἰόκαστος κ΄. 2. 6.
Ἰοκλῆς λ΄. 326. n.
Ἰόλη φ΄. 22.
ἰονθοὶ ξ΄. 50.
ἴουλοι λ΄. 319.
Ἱπποδάμεια φ΄. 295. 303.
Ἱππόλυτος, Ἱππολύτειον λ΄. 321.
Ἱππομέδουσα τ΄. 518.
Ἱππότης κ΄. 2.
ἱρὸς, ἱρὸς ν΄. 348. ρ΄. 181.
ἵριον β΄. 339.
Ἶρις σ΄. 6.
Ἶρος alias Ἶλος α΄. 259.
ἴσθμιον, ἰσθμὸς ε΄. 29. σ΄. 300.
Ἴσμαρος ι΄. 40.
* ἰσοκάμπτωνος δ΄. 129. not.
* ἰσοπέραστος α΄. 98.
ἴσος. ἐν ἴσῳ τῷ—α΄. 33.
ἱστοῦ ἱστῶντες β΄. 95. 97.
ἴσχαιμος τ΄. 457.
Ἰταλία α΄. 184. 317. λ΄. 157.
Ἴτυλος, Ἴτυς τ΄. 518. υ΄. 66.
Ἴφθη κ΄. 6.
Ἰφθίμη δ΄. 797.
Ἰφιάνασσα ε΄. 225.
Ἰφικλῆς λ΄. 266.
Ἴφικλος λ΄. 287. 290. 326.
Ἰφιλόχη δ΄. 10.
Ἶφις λ΄. 326.
Ἴφιτος φ΄. 22.
ἰχθυοφάγοι θ΄. 222.
ἰχὼρ Fragm. Ambr.
Ἰὼ σ΄. 246.
Ἰωλκὸς γ΄. 4.
Ἴωνες (de dialecto) ε΄. 248. η΄. 87. σ΄. 89. ἰωνικὸν δ΄. 233. 270. 434. 555. 663. 679. π΄. 12. ἰωνικὴ διάλυσις ξ΄. 485.—μετάθεσις γ΄. 180.—συστολὴ α΄. 234.—ἰωνικῶς η΄. 86. Adde ἰακὸν, ὡς.
ἰωτογραφεῖν δ΄. 701.

K.

Κάδμος λ΄. 262.
* καθέκαστα (τὰ) σ΄. 227.
καθεῦδε (accent.) δ΄. 304. ζ΄. 1.

κάθιζε cf. τάριχε.
καθολικῶς λαμβάνειν α΄. 356.
καθόλου ἡ, λ΄. 274.
καὶ abundat ο. 175. σ΄. 150. λείπει α΄. 167.—ὑπερβιβαστέον ψ΄. 74.
καῖρος vel καιρὸς, in textura, καίρωμα, καιρωστρὶς η΄. 107.
καιτάεις δ΄. 1.
κακοφραδίη β΄. 236.
Κάλαϊς μ΄. 69. ξ΄. 533.
Καλοκαγαθίας εἰκὼν ν΄. 289.
Καλυψὼ α΄. 14. 52.
Καλχηδονία ε΄. 283.
Κάλχας ν΄. 259.
Κάμανδρος Fragm. Ambr.
Καμαρῖνα ζ΄. 4.
κάμβαλε ζ΄. 172. cf. ἀμπέμψαι.
* καμινοκαύστρια σ΄. 27.
καννάβινον φ΄. 391.
καννίζω ι΄. 347.
Κάνωβος δ΄. 563. ζ΄. 204.
κάπη a κάπω δ΄. 40.
κάπος ε΄. 468.
Καρικὸν πλοῖον δ΄. 355.
καρτερὸς ε΄. 534.
Κάρφη γ΄. 270.
καρχήσιον β΄. 425.
Κασάνδρα γ΄. 134. λ΄. 384.
κάστανα κ΄. 242.
Κάστωρ λ΄. 299. ξ΄. 204.
κατὰ, περισσὴ η΄. 85.—ἀναστρέφεται σ΄. 257.—ἀντὶ τῆς ἀπὸ ibid.
καταβιβασμὸς ε΄. 248. et not.
καταβρόξειεν per ο an ω, δ΄. 222.
κατάγεσθαι κ΄. 140.
καταδέρκεσθαι λ΄. 16.
κατακίνησις β΄. 315.
κατακλαὶς σ΄. 294.
κατάκρης ε΄. 313.
καταλέγειν γ΄. 80. 97.
* καταμίξαι a μίσγω Fragm. Ambr.
* καταξοίνη σ΄. ibid.
κατάρτιον β΄. 427. ε΄. 283. not.
κατάρχεσθαι γ΄. 445.
κατασκευάζειν δ΄. 563.
κατάστασις α΄. 334.
* καταφλιὰ ε΄. 146.
καταχρηστικῶς β΄. 53. δ΄. 418. ν΄. 160. ρ΄. 299. ω΄. 231. 462.
κατέσχεθε τ΄. 361. not.
κατιδεῖν ν΄. 31. (η΄. 39.)
Καύκασος ζ΄. 204.
Καύκων, Καύκωνες γ΄. 366.
κειμήλια, α΄. 276. not. β΄. 195.
κεῖσθαι quid. ι΄. 297.
κείω τὸ κλῶ ξ΄. 425.
κεκράκτης θ΄. 408.
κελάδοντα β΄. 421. n.
κέλης ε΄. 371.
κελλάριον α΄. 140.
Κελτικὸν πέλαγος ρ΄. 208.
κενοτάφιον δ΄. 584.
Κένταυροι φ΄. 295. 303.
κεραμεοῦς β΄. 290.
κεράννυ. κέρασσε, ἐνέχεεν, ε΄. 93. κ΄. 322. n. κέκρητο γ΄. 266.
κεράσβολος ψ΄. 167.
κερατάριον γ΄. 353. ε΄. 318.
* κερατοφυεῖν δ΄. 85.
* κεραυνοβλήσαντα ε΄. 118.
Κερβέριοι λ΄. 14.
Κέρκυρα ε΄. 34. 35. ζ΄. 3. η΄. 8. 79. ν΄. 130. cf. Φαιακία, Σχερία.
κερτομίας λόγος λ΄. 58.
κεφαλαιωδῶς η΄. 241.
Κεφαληνία α΄. 246. ρ΄. 207. υ΄. 187.—Κεφαλλήνη α΄. 246.—Κεφαλληνία ι΄. 26. ξ΄. 97.
Κέφαλος λ΄. 321.
κήτειοι dub. λ΄. 521.
κῆρυξ ε΄. 319.
Κήτειοι λ΄. 521.
κῆυξ ε΄. 479.
Κιθαιρὼν κ΄. 494. — Κιθαιρῶνος καὶ Ἑλικῶνος ἔρις γ΄. 267.
Κίκονες ζ΄. 103. ι΄. 39. 40.
κικύω λ΄. 579. not.
Κιμμέριοι κ΄. 86. λ΄. 14.
Κινύρας ρ΄. 443.
Κίρκαιον κ΄. 135. μ΄. 3.
Κίρκη, ὁ ἐνιαυτὸς, κ΄. 350.
κιρνᾶν ε΄. 93.
κισσύβιον ι΄. 346. ξ΄. 78.
κίστη ζ΄. 76.
Κέχρων β΄. 328. n.
κλαὶς νεωτέρων Λακώνων θ΄. 443.
Κλειθήρα τ΄. 518.
Κλείκοτρα μ΄. 69.

κλέπτειν τὸ ἐπιθυμεῖν φ'. 397.
κλῆϊδα (sic) α'. 442.
κλίμα, μ'. 39.
κλινοπόδιον θ'. 278.
κλίσιον ω'. 209.
κλισμὸς α'. 145.
κλῦθί μευ et μοι β'. 262. not. ζ'. 239.
Κλυμένη κ'. 2. λ'. 326.
Κλυταιμνήστρα α'. 300. 325. γ'. 303.
Κλυτόνηος θ'. 124.
—κλυτος, accentus horum compositorum α'. 30. c. not.
κλῶθες, Κλωθὼ η'. 197.
κλῶνες ζ'. 160.
κνώδαλον ρ'. 317.
Κνωσσοῦ ἀκίνειαν τ'. 188.
κοδομεύειν σ'. 27. not.
κομίζειν α'. 165. δ'. 372. v. not.
κοινός. ἀπὸ κοινοῦ v. not. ad γ'. 104. —οὐ κοινῶς α'. 389. κοινὴ θ'. 224. not.
* κοιτάριον ξ'. 50.
κοῖτος β'. 358. η'. 137.
κόλλα φ'. 407.
κολοβὸς γ'. 470. δ'. 582.
Κολοφὼν ν'. 259.
Κόλχοι μ'. 69.
Κολωνὸς λ'. 271. πληθυντ. ξ'. 199.
κόνιζα κ'. 305.
κόραξ, ὁ λεγόμενος, α'. 441. φ'. 46.
Κόραξ ν'. 408.
κορωνέσθαι λ'. 290. not.
κόρη, σ'. 279.
Κόρινθος α'. 259.
Κόρκυρα ν'. 130.
κόρση præf.
Κόρυθος δ'. 11.
κορώνη α'. 441. η'. 90. φ'. 46.
κόσμος α'. 263.
κουρίδιος λ'. 430.
κουρίξ χ'. 188. v. præf.
κουροθάλεια τ'. 86.
κουροτρόφος Ἄρτεμις υ'. 71.
κοῦσπος θ'. 529.
* κραβατοπόδιον θ'. 278.
κράνεια κ'. 242.
κρᾶσις vid. Fragm. Ambr.
κραταιός, Κραταιΐς λ'. 597. μ'. 124.
Κράτος ε'. 125.
Κρεοντιάδης λ'. 269.
Κρέων γ'. 267.
Κρηθεὺς κ'. 2. λ'. 237.
Κρῆτες αὐτόχθονες τ'. 176.—(dialect.) γ'. 444.
Κρήτη ε'. 125. ξ'. 199. τ'. 174. 183. 518. ν'. 66. 302. κατῴκησαν Δωριεῖς τ'. 177. Telemachi iter in Cretam α'. 93. c. not. δ'. 702.
* κρήγυον dub. η'. 90.
κρίκος φ'. 46.
κρίνω. ἀποκριθεὶς pro -ωθεὶς Fragm. Ambr.
κροκόπεπλος β'. 1.
Κρόνος Sardorum ν'. 302.
κρότωνες, κρότωνες ρ'. 300.
Κτιμένη κ'. 441.
Κύδων, Κύδωνες, Κυδωνὶς γ'. 292. τ'. 176.
Κυθέρεια θ'. 288. σ'. 193.
Κύθηρα δ'. 517. θ'. 288.
κύθρα η'. 87.
Κυκλάδες δ'. 500.
κύκλος, Κυκλικοὶ v. Ind. Auct.
κυκλικὴ v. not. ad η'. 115.
* κυκλικῶς δ'. 248. η'. 115. c. not.
Κύκλωπες η'. 206. ι'. 106. 112. 275. 508. κ'. 1.
κῦλα, etc. ω'. 1.
κυνηγετικὴ λέξις β'. 185.
κυνομυῖα χ'. 299.
κυνοραῖσταὶ ρ'. 300.
Κυνόσουρα ε'. 272.
Κυπρίων νόμος σ'. 29.
Κυπρογένεια, unde, θ'. 362.
Κύπρος α'. 184. ρ'. 442. 443. n.
κύριος. τὸ κυριώτερον ζ'. 89.
κυριωνυμέω ζ'. 28.
Κυταῖς δ'. 228.
κύων Διὸς ἡφαιστότευκτος τ'. 518. ν'. 66. cf. 302. κύων, νόσος ν'. 66.
Κώκυτος (accent.) κ'. 514. n.
ὁ Κωμικός, de Philemone μ'. 89.

Λ.

λαγαρὸς στίχος γ'. 230.
* λαγμὸς ι'. 335.
λαέρκης γ'. 425.
Λαέρτης π'. 118.
λαῖλαψ μ'. 400.

Λάϊος λ'. 271.
Λαιστρυγόνες κ'. 86.
λαῖτμα ψ'. 35.
Λακεδαίμων πόλις καὶ χώρα δ'. 1.
λαμβάνω pro προσλ. not. ad α'. 215.
Λάμος κ'. 81.
Λαμπετίης, vel Λαμπετίη, μ'. 208.
Λαοδάμεια δ'. 797.
Λαοδίκη α'. 277.
* λαοξουργεῖν ξ'. 223.
Λαπίθη λ'. 235.
λαύρα χ'. 128.
λαφυραγωγία γ'. 72. π'. 207.
λαχανεία, λαχανιὰ ψ'. 127.
* λαχανοφόρος ψ'. 127.
λάχεια κ'. 508.
Λάχησι (sic) ψ'. 197.
Λέαρχος ε'. 334.
λέβης γ'. 440. τ'. 386.
λέγειν αἱμασιὰς σ'. 359.
λεία α'. 398. τ'. 432.
Λεία γ'. 293.
λείπει δ'. 132. ψ'. 119. ξ'. 389. et vide καὶ, δὲ, ἐξ, ἀπὸ, παρὰ, περὶ, ὡς, ἤδη, ἂν.
λεκάνη γ'. 467.
Λέλεγες γ'. 366.
Lexica antiqua e commentariis haurientia: not. ad θ'. 365. et ε'. 13.
λέξο κ'. 320. not.
Λεοντῖνοι κ'. 1.
Λέσβος γ'. 169. δ'. 343.
λέσχη σ'. 329.
λευκὴ πέτρα ω'. 1.
Λευκοθέα ε'. 334.
Λευκὸν πεδίον ε'. 334.
λευκόπωλος τ'. 518.
Λεῦκος τ'. 174.
Λευκάτρα, κ'. 6. not.
Λήδα, λ'. 298.
Λήθης πεδίον λ'. 51.
ληΐζεσθαι, λῃστεία οὐκ αἰσχρὸν γ'. 71. 73.
Λητὼ ἡ νὺξ ζ'. 106. 163.
λιαίνειν χ'. 455. λιήνας Fragm. Ambr.
Λιβύη δ'. 84. ψ'. 8.
λίγδην χ'. 278.
λίγεια ι'. 116.
Λίγεια Siren et Musa μ'. 39. θ'. 254. not.
λικριφὶς λ'. 597. ρ'. 237. τ'. 450.
Λικύμνιος ἀοιδὸς γ'. 267.
Λιλύβαιον λ'. 107.
λίμνη γ'. 1.
λιμὸς (genus) ι'. 315.
Λιπάρα θ'. 274. κ'. 1.
λῖπος ι'. 394.
Λίσσος γ'. 293.
λῖτα α'. 130. κ'. 353.
λογιστικὸν γ'. 14. 18.
Λοκρὸς λ'. 326.
λοῦσαι, quid, ζ'. 215. cf. παρθένοι.
λόχος α'. 98. ν'. 49.
λόγος ι'. 427.—τὸ σκέπας τ'. 306.
λύειν α'. 1. 255. 259. γ'. 147. ψ'. 54. 64. μ'. 374. ξ'. 229.—τῇ λέξει α'. 33.—κατὰ λέξιν γ'. 147. λ'. 239. —τῷ προσώπῳ α'. 33. γ'. 147. λ'. 239. cf. λύσις.
λυκάβας ξ'. 161. τ'. 306.
Λύκος λ'. 269.
Λυκούργου νομοθεσία δ'. 65.
Λύκτος τ'. 174.
λύσαι pro λῦσαι δ'. 39.
Λυσίππη ο'. 225.
λύσις α'. 1. 255. 259. β'. 75. γ'. 73. 147. 332. δ'. 260. 364. ε'. 333. 385. ψ'. 54. 64. θ'. 77. 279. ι'. 60. 399. κ'. 190. 240.—τῆς ἀπορίας ι'. 399. cf. λύω.
λύχνος τ'. 34.
λώβη β'. 323.
λωβεὺς τῶν ἀτίων ἐκόντων β'. 323.
λωτὸς, Λωτοφάγοι δ'. 603. ι'. 84. κ'. 1.

M.

Μαγνησία φ'. 303.
μάγοι μ'. 124. κ'. 137. cf. μαντεία.
μαζός. παῖς μαζῷ α'. 215.
Μαῖρα λ'. 326.
Μακάρων νῆσοι δ'. 563.
Μακεδόνες (dial.) ψ'. 31.
μακὸν κ'. 163.
Μάλεια ι'. 80.
Μάλεον v. Μάλεια.
μάλη ι'. 329.
μάλιον, μαλλίον α'. 443. not. δ'. 135.

Μάλιον, -εων, -ειον γ'. 296.
μάλκη ι'. 467. not.
Μανδύλας ζ'. 327.
μαντεία et μαγεία δ'. 403. 456.
Μάντεις, -ιος ε'. 223. 242.
Μαραθὼν η'. 80.
μάραος κ'. 242.
μάργον ζῶον σ'. 2.
Μαρδύλας ζ'. 327.
Μάρων ι'. 197. 198.
Μαρώνεια ι'. 40.
Μασσαγετικὸν θ'. 222.
μάσταξ δ'. 287.
ματαιολογία, ματαιοπονία, ματαιότης κ'. 77.
μέγα, ἐκβόημα σ'. 229.
μεγαλορρημονεῖν δ'. 505.
Μεγαπένθης δ'. 11.
Μεγαρικὰ κεράμια β'. 290. not.
Μέγης ξ'. 336.
Μέδη δ'. 797.
Μέδουσα ι'. 106.
μεθὺ λ'. 471.
μείλιον α'. 276. n. β'. 195.—vel μίλιον, milliare, π'. 471.
μέλαγχρις dub. π'. 175.
Μελάμπους λ'. 287. ο'. 225.
μελάνδρυον ζ'. 12.
Μελάνθεια κ'. 2.
Μελανίππη κ'. 2.
Μέλας κόλπος θ'. 294.
Μελέαγρος λ'. 302.
μελέδημα δ'. 650.
Μελία β'. 120.
μελιηδής, μελίγηρυς α'. 1. not.
μελίκηρις κ'. 235.
Μελικέρτης ε'. 334.
μέλλει qua signif. α'. 232. ζ'. 165.
Μέμνων δ'. 188.
Μέμφις δ'. 356.
μὲν ἀντὶ τοῦ δὴ δ'. 376.
Μενελαΐτης δ'. 563.
Μενέλαος δ'. 11. 228.—ἐν Δελφοῖς γ'. 267.—ἐν Δήλῳ ζ'. 164.
Μερεμμελλίας δ'. 797.
μερικῶς λαμβάνειν α'. 356.
Μερόπη, duæ ejus nom. τ'. 518.
μέρος. ἀπὸ μέρους β'. 1. εἰς μέρος λόγου λέγειν θ'. 224. not.
Μέροψ τ'. 518.
μέσος. μέση λέξις δ'. 406. διὰ μέσου γ'. 139.
μεσόστυλος vel -υλος τ'. 37.
Μεσσήνη φ'. 13. 15. Μεσήνη γ'. 4. λ'. 281.
μετὰ ἀντὶ τοῦ ἐν ε'. 227.—ἀντὶ τῆς ἐπὶ θ'. 47.—ἀντὶ τοῦ ὑπάρχει φ'. 93.
μετάβασις δ'. 625.
μεταγράφειν α'. 356. δ'. 84. γ'. 230. not.
μεταδήμιος, μεταδόρπιος δ'. 194.
μετάθεσις α'. 155.—ὑπερθέσεως διαφέρει γ'. 180.
μεταίχμιον ρ'. 208.
μετάληψις α'. 68, ι'. 327. 391. μετειλήψεται dub. γ'. 195.
μεταμώνια (sic), μεταμώλια β'. 98.
μεταξυλογία π'. 383.
μεταπλάττειν γ'. 38. μεταπλασμὸς γ'. 293. η'. 197. ζ'. 264.
μεταποιεῖν στίχον α'. 424. δ'. 158.
Μεταπόντιον ο'. 304.
Μετάστατις ο'. 304.
μεταφορὰ α'. 378. γ'. 476. δ'. 1. 30. 329. π'. 12. σ'. 249. μεταφορικῶς α'. 238. γ'. 392. δ'. 313. 490.
μετοχὴ οὐ τὸ αὐτὸ ῥήματι δυναμένη μ'. 181. c. not.
Μετώπη σ'. 85.
μὴ et οὐ λ'. 613. not.
Μῆδη δ'. 797.
Μήδεια κ'. 137. δ'. 328.
Μήθυμνα γ'. 169.
μήκη, ἡ, ι'. 124.
Μήκων δ'. 500.
μηλοειδὴς η'. 104.
μήνη ξ'. 457.
μῆνις β'. 315.
μήπω et μήπως ν'. 123.
μήρ' α'. 275.
μήτηρ. ἀπὸ μητέρων οὐ σχηματίζει Ὅμηρος ρ'. 134.
μήχιστα ε'. 299.
μίασμα π'. 471.
μίλτος ι'. 125.—et μίτος confusa λ'. 321. not.
Μιλήσιος Πανδάρεως, τ'. 518. 66.

Μίμας γ'. 169. 172. κ'. 2.
μίμνειν λ'. 210.
μὶν α'. 97. κ'. 210. n.
Μινύας η'. 324. λ'. 281. not.
Μίνως τ'. 178.
Μινώταυρος λ'. 321.
μιξέλλην θ'. 294.
Μίνω θυγάτηρ λ'. 281. not.
μισῦ μνήματα συμπότῃ γ'. 332. 341.
μίτος ψ'. 107. cf. μίλτος.
Μιτυλήνη γ'. 169.
μνηστῆρες impii β'. 300. υ'. 250. μνηστήρων ἀριθμὸς β'. 51.
μνηστηροκτονία υ'. 397.
μέτρα pl. β'. 355. n.
μοι ἀπόλοντες ξ'. 38.
Μοῖραι η'. 197.
μοιχάγρια, μοιχαλίσια θ'. 269.
μολίσκω κ'. 466.
Μολοσσὸς, Μολοσσία γ'. 188.
μονάδεις ε'. 334. n.
μόρος ἡ μοῖρα α'. 34.
μοτάριον ζ'. 83.
μοῦσαι ω'. 1.
μουσεῖον ξ'. 204.
μοχλάλιθος ι'. 240.
μρς π'. 151.
μυθητὴς, μυθηστὴς, μυθίας φ'. 71. n.
μυθικῶς γ'. 372. σ'. 192.
μῦθος, στάσις φ'. 71.
μυῖα εὐτελὲς ὄνομα τ'. 34.
Μυκήνη β'. 120.
Μύκονος δ'. 500.
Μύλαι μ'. 301.
μύλη ὁ μηρὸς, η'. 104.
μύνομαι φ'. 71. not.
μυρίλωτος ι'. 84.
* μύσσω pro ἀμύσσω Fragm. Ambr.
μύσταξ κ'. 279.
Μυσῶν ἔθνος λ'. 521.
μυχός. τῷ μυχῷ τῶν δικῶν δ'. 92. v. not.
μύωψ χ'. 299.
μῶλυ, μωλύειν κ'. 305.

N.

ν. πλεονασμὸς τοῦ ν σ'. 5.
Ναΐδες ν'. 104.
νάκος ξ'. 530. 533.
Νάξος δ'. 500.
ναυαρχὶς θ'. 35.
Ναύκρατις δ'. 356.
ναύλοχος κ'. 141.
Ναύπλιος δ'. 797. λ'. 197. 202.
ναυσὶ et νηυσὶ η'. 39. et not. ad α'. 30.
Ναυσίθοος η'. 56.
ναυσικλυτὸς (accent.) α'. 30. c. not. η'. 39.
Νεῖλος δ'. 356. 477. 563.
νεκροὶ λ'. 14.—σίδηρον φοβοῦνται λ'. 48.
νέκυια ω'. 1.
νεκυομαντεία κ'. 517. ω'. 1.
νεογενὴς δ'. 336.
Νεομήνιος Ἀπόλλων υ'. 155.
Νεοσωτὸς Odyss. Argum.
Νεοπτόλεμος γ'. 188. δ'. 4.
νέποδες δ'. 404.
Νέστωρ γ'. 245. ω'. 1.
νεωτερικὸν λ'. 601. μ'. 70.
νεώτερα γ'. 14. 188. 307. δ'. 9. 563. η'. 25. 59. κ'. 395. λ'. 134. 318. 298. 325. μ'. 86. 89. τ'. 518. ω'. 27.
νη στερητικὸν δ'. 349. θ'. 507.—ἐπιτατικὸν τ'. 498.
νήδυμος δ'. 793.
Νηϊάδες ι'. 22.
Νήϊον α'. 186. γ'. 81. ι'. 22.
Νηῒς τ'. 518.
Νηλεὺς β'. 120. γ'. 4. λ'. 281. sqq.
Νῆον pro Νήϊον γ'. 81.
Νήρικον α'. 186. ν'. 351.
Νήριτος α'. 75. 186. ι'. 22. ρ'. 207.
νῆσος pro πόλις ρ'. 207. c. not.
Νικόστρατος δ'. 11.
Νιόβη τ'. 518.
νοθεύειν λ'. 568. μ'. 445. ν'. 320. ο'. 19. 45. π'. 101. 152. 281. ρ'. 475. 501.
νόμος βαρβαρικὸς υ'. 302.
νόσος ἱερὰ γ'. 489.
νουμηνία ξ'. 162. υ'. 155.
νοῦς α'. 3. 101. γ'. 128.
Νυκτεὺς τ'. 518.
νύμφαι ἐξ ὕδατος κ'. 350.—αἱ ἄνδρας ἔχουσαι λ'. 38.
νυμφίος, ἅπαξ η'. 65.

III. INDEX RERUM

νῦν ε'. 146.—ἀντὶ τοῦ δὴ π'. 270.
νυδὴ λ'. 160. not.
νυχθήμερον μ'. 439. τ'. 306.
νύχος τ'. 34.
νώνυμος, νώνυμνος ξ'. 182. n.

Ξ.

ξεῖνος, νῦν ἀλλότριος ρ'. 382.
ξέσματα α'. 204.
ξέστης α'. 136.
ξεστικῶς χ'. 278.
ξῆρος β'. 237. n.
ξιφηφορεῖν ρ'. 4. φ'. 74.
ξιφοθήκη θ'. 404.
Ξοῦθος κ'. 6.
ξύλοχος δ'. 335.
ξύμβληται (accent.) ψ'. 204.
* ξύστωρ pro ξυστὴρ χ'. 455.

O.

ο ἐκτείνεται δ'. 384.
ὁ, ἡ, τό. τὸ om. ante verba materialiter posita, vid. not. ad α'. 208. τοῦ τοῦ α'. 40. not. τῆς pro τῆς ταύτης β'. 206.
ὁ μὲν—ὁ δὲ—η'. 103.
ὃ ἀντὶ τοῦ ὅτι β'. 45.
'Οαάνη λ'. 235.
ὀβελίζειν γ'. 241. δ'. 93. 515. μ'. 163. ὀβελίσκοι γ'. 71. 460.
ὀβριμοπάτρη α'. 101.
ὀγκεῖον, ὄγκιον, ὄγκοι φ'. 61. not.
ὄγχναι η'. 115.
ὀδὰξ α'. 381.
ὀδύσασθαι α'. 62.—ὀδυσσάμενος τ'. 410. n.
'Οδυσῆ τ'. 136. n.
'Οδύσσεια, de ea α'. 284. ε'. 29.—ἀναπλήρωσις τῆς 'Ιλιάδος γ'. 248.—τὸ χωριστὸν τῆς 'Ιλιάδος τ'. 28. cf. praef.
'Οδυσσεὺς α'. 119.—etym. α'. 21. 75.—πτολίπορθος α'. 2.—μεγαλόφωνος ι'. 491.—ἐν Δελφοῖς γ'. 267.—ἐν Δήλῳ ζ'. 164. αὐτοῦ καὶ 'Αχιλλέως νεῖκος θ'. 75—80.
* ὀδυσσεύω α'. 21.
ὀδώδυσται ε'. 423.
—όεις δ'. 1.
ὅθι pro ὅτε ε'. 280. not.
ὀθόνη ε'. 260. η'. 107.
Ὄθρυς λ'. 287. not.
οἱ ξ'. 415.
οἷ ἀντὶ τοῦ αὐτοῦ ε'. 230.
οἷα θαυμαστικῶς ρ'. 514. σ'. 143. vid. οἷον.
Οἴβαλος ε'. 13.
οἶδα. εἰδέναι, memorare, σ'. 300. not. γ'. 303. n. vid. et α'. 238. 313. β'. 148. οἶδας α'. 10. 337. οὐκ οἶδε τὸν στίχον κ'. 242. λ'. 525.
Οἰδερὴ ι'. 197. c. not.
Οἰδίπους λ'. 271. 275.
ὄϊες (sic) ι'. 425.
οἰκειοθελῶς ε'. 50.
οἰκεῖος λόγος α'. 96. ἡ οἰκεία α'. 198.
οἰκεὺς ξ'. 2. 4.
οἴκησις 'Οδυσσέως δ'. 678.
'Οϊκλῆς, 'Ιοκλῆς λ'. 326.
οἶκος α'. 356.
οἰκονομεῖν η'. 16. οἰκονομία τῆς ὑποθέσεως α'. 328. οἰκονομικὸν γ'. 366. οἰκονομικῶς α'. 127. 327. γ'. 360. δ'. 248. η'. 11. 16. μ'. 103. υ'. 356.
οἰκτειρήσουσι (sic) δ'. 740.
Οἰνεὺς ε'. 121. sed vid. not.
Οἰνοπίων ι'. 198.
Οἴνοτροι α'. 184.
Οἰνότροποι ζ'. 164.
οἶνος: vina varia κ'. 235.
ΟΙΟ antiqua scriptura pro ου ωυ et οι ιυ. not. ad ε'. 72.
οἷον et οἷα θαυμαστικῶς λ'. 519. ρ'. 514. σ'. 143.
οἶστρος χ'. 299.
Οἰχαλία θ'. 224.
οἴχεται et ᾤχετο α'. 1.
ὄκα, τὸ νένευσμαι ε'. 31.
ὀκριόεις σ'. 33.
ὀκτάπους ε'. 432.
ὄλβος τ'. 42.
ὀλοθρευτικὸν ὄργανον λ'. 128.
ὀλολυγμὸς γ'. 450.
ὀλοόφρων α'. 52. λ'. 322.
Ὄλυμπος γ'. 171. not. ε. 50. 55. ζ'. 42. 44. 45. Ὀλύμπιος Αἴθης α'. 1.
ὅμαδος α'. 365.
ὁμήρειον, ὁμηρικὸν ἔθος γ'. 103. θ'. 124.

—ὁμηρικὴ χρῆσις η΄. 126. ὁμηρικὸν δ΄. 472. ὁμηρικῶς δ΄. 158.
Ὅμηρος ἀττικίζων σ΄. 17. Ὁμήρου μεγαλόνοια γ΄. 81.—οἱ μεθ' Ὅμηρον β΄. 319.
ὀμνύναι β΄. 373. 378.
* ὁμοιοκατάληξις ψ. 115.
ὁμοιωματικὸς λόγος δ΄. 269.
Ὀμφάλη φ΄. 22.
ὀμφαλόεις τ΄. 172.
ὄμφαξ ὀμφακίζω η΄. 123.
ὁμωνυμία γ΄. 71. δ΄. 91.
ὅμως, ὁμῶς λ΄. 565. ν΄. 405.
ὀνειροπομπὸς η΄. 137.
ὄνομα: nomina significantia in familia Penelopes, vid. not. ad δ΄. 216. v. et not. ad α΄. 429. cf. δ΄. 630.
ὀνομάκλυτος τ΄. 183.
ὀνοματοποιεῖν β΄. 386.
ὄντως confus. c. οὕτως et ὁμοίως vid. not. ad η΄. 149.
ὀξυντέον not. ad α΄. 27.
* ὀξυτενὴς γ΄. 372.
ὄπισθεν not. ad α΄. 127.
ὀπλίσαι et ὀπλίσασθαι β΄. 289. not.
ὄπαν τ΄. 306.
ὀπτεύομαι v. ὀττ.
ὄργυια ι΄. 325. λ΄. 312.
Ὀρέστης γ΄. 307. δ΄. 4.
ὀρθοτονητέον γ΄. 50. praef.
ὁριστικῶς ε΄. 80.
ὅρκος μετὰ φιάλης α΄. 134.
ὅρμος σ΄. 295. 300.
ὀρβὸς ι΄. 221. ρ΄. 225.
Ὀρσίλοχος et Ὀρτ. γ΄. 489. ο΄. 16.
ὀρσοθύρα χ΄. 130.
Ὀρτυγία ε΄. 123.
ὀρυμαγδὸς, ὀρυγμαδὸς α΄. 133.
Ὀρχομενὸς λ΄. 281. 285. 459. heros η΄. 324.
ὅσος ἀντὶ τοῦ οἷος μ΄. 86.
—οσαν δ΄. 284.
Ὄσσα α΄. 283. λ΄. 315.
ὄσσε δ΄. 662.
ὅτε ι΄. 168.—ἀντὶ τοῦ ἐπειδὴ μ΄. 22.
ὅτευ, ὅτεῳ κ΄. 39.
ὅτι init. scholiorum ζ΄. 8. not. λ΄. 430. n. Vid. et not. ad α΄. 238.
ὅτινα θ΄. 204.
ὀττεύομαι, non ὀπτ. γ΄. 332. 341.
οὐ et μὴ λ΄. 613. not.
οὐδάλα ρ΄. 455.
οὐδὲ πλεονάζει θ΄. 32.
οὐδὲ ποσῶς δ΄. 1.
οὐδηβαιὸν γ΄. 14. not.
οὐδήεσσα κ΄. 136.
οὐδόλως δ΄. 255.
οὐδὸς ρ΄. 196. 455. χ΄. 130.
οὐκ ἦσαν οἱ στίχοι α΄. 356. γ΄. 303.
οὐλὴ τ΄. 393. οὐλαὶ γ΄. 441.
οὖλος ζ΄. 231.
οὖν παραπληρωμ. λ΄. 350.
Οὖτις ι΄. 121.
οὔπω not. ad β΄. 1.
οὐρανὸς cf. Ὄλυμπος.
οὐριοδρομεῖν γ΄. 178. λ΄. 58.
οὖρον τῶν ἡμιόνων θ΄. 124.
οὐχ cum apostropho δ΄. 636. n.

Π.

παθαίνεσθαι ψ΄. 1. not.
παθητικὸν ἀντὶ ἐνεργητικοῦ δ΄. 47. η΄. 83. σ΄. 8.
Παιήων δ΄. 231.
παιπάλιμος κ΄. 97.
παλαιμοσύνη θ΄. 102.
Παλαίμων ε΄. 334.
παλαιοὶ (οἱ) α΄. 62. β΄. 323. 354. 421. 425. γ΄. 71. 267. 309. θ΄. 29. τ΄. 163. χ΄. 74.
παλαιφάγος τ΄. 163.
παλαιστὴς, ὁ ἀγκὼν α΄. 252.
Παλαμήδης δ΄. 797.
παλαστήσασα α΄. 252.
παλιλλογεῖν η΄. 251.
παλίντροπα α΄. 394.
Πάλλας, Παλλὰς α΄. 252.
Παμβῶτις γ΄. 188.
πᾶν et πὰν not. ad. ν΄. 31.
Πανδάρεως vel -εος vel -ης τ΄. 518. υ΄. 66.
Πανδίων τ΄. 518.
Πανδώρα κ΄. 2. c. not.
πανῆμαρ ν΄. 31. not.
πανομφαῖος α΄. 283. Fragm. Ambr.
Πανόπη λ΄. 581.

πάντα ζ'. 57.
παρὰ cum Dat. vel Acc. ρ'. 414.—λείπει ι'. 282.—πάρα ἀντὶ τοῦ εἰσὶ ε'. 16.
παραβάλλω ε'. 433.
παραβάτης β'. 319.
παραβολὴ δ'. 791. ε'. 434. μ'. 86. ν'. 81.
Παραβῶτις γ'. 188.
παράγεσθαι, παρῆχθαι π'. 468.
παραιτεῖσθαι γ'. 366. δ'. 199. ζ'. 149. η'. 313. θ'. 102.
παράθεσις α'. 30. c. not. ρ'. 231.
* παρακατιὼν λόγος λ'. 90.
παρακολούθημα γ'. 382.
παρακύπτειν ν'. 358. n.
παραλαμβάνω. παρείληπται γ'. 195. [illegible]
παραλανθάνω. παρέλαθεν (ὁ στίχος) τὸν Ἀρίσταρχον. δ'. 511.
παραλογίζομαι λ'. 364.
παραπλαγιάζεσθαι ε'. 440.
παρατατικὸς ι'. 297. π'. 347.—ἀντὶ β'. ἀορ. δ'. 1.—παρατατικῶς δ'. 184.—ἐν παρατάσει β'. 1. ε'. 466.
παρατηρεῖν β'. 68. 130. δ'. 184.
πάρδαλις, ἡ δορὰ δ'. 156.
παρεκδοχικῶς γ'. 486.
παρὲξ μ'. 276. 443.—(accent.) ε'. 439.
παρενδείμευσις ε'. 209.
Παρθὼν μ'. 39.
παρθένοι τοὺς ἥρωας λούουσι γ'. 464. ζ'. 221. υ'. 297.
πάριζον (accent.) δ'. 311.
παρίημι. παρεῖσθαι, deesse ι'. 19.
πάρις δ'. 264.
παρίσθμια σ'. 300.
παρίσταται ε'. 469.
παρὸ α'. 163. cum not. it. λ'. 58.
παροιμία. ἧλιξ ἥλικα τέρπει γ'. 36.—μισῶ μνήμονα συμπόταν γ'. 332. 341.—καὶ χυλῶν δρόμος θ'. 329.—ἀπὸ τῆς καλάμης τὸν στάχυν ξ'. 214. πολλὰ μεταξὺ πέλει κ. τ. λ. χ'. 9.
παροιμιῶδες η'. 36.
παρολκὴ α'. 168. θ'. 258.
παρυποφαίνεσθαι γ'. 303.
πατρὶς δ'. 521. ι'. 533.
Πάτροκλος et -ῆς δ'. 343. λ'. 468.
πατρώζω β'. 273.
Παφλαγονία γ'. 366.
Πάφος θ'. 363.
Πάχυνον λ'. 107.
πειρθῶν δ'. 545.
πεῖραρ ε'. 289.
πειράτης γ'. 73.
Πειρίθοος λ'. 631.
πείροντες κ'. 124.
πέλειν, πέλεσθαι σ'. 367.
πέλεκυς, υος γ'. 454.
Πελίας β'. 120. γ'. 4. λ'. 281.
Πελοπόννησος δ'. 99. η'. 25. σ'. 246. τ'. 177.
Πέλωρον λ'. 107.
πεντηκοντὶς dub. γ'. 7.
πέπλος ι'. 230. σ'. 292.
πέραμα δ'. 671.
Περίλαος (sic) ρ'. 207.
περὶ ἀντὶ τοῦ περισσότερον σ'. 248. λείπει δ'. 317. λ'. 421. ξ'. 144. ἐλλείπει χ'. 232.
Περιάλλης λ'. 287.
Περίβοια η'. 56. κ'. 6.
περιγράφειν γ'. 245. 400. λ'. 525.
περίκηλα, περὶ κῆλα ε'. 240.
Περίλαος δ'. 797.
Περιμήδης, ἀοιδὸς γ'. 267.
* περιοδευτὴς ξ'. 7.
περιπέτεια δ'. 69. cf. not.
περιττεύειν α'. 35. δ'. 726. περιττὸν σχῆμα β'. 195.
περιφρηδὴς pref.
περίφρασις γ'. 472. η'. 50.
Περσέπτολις π'. 118.
Περσεφόνη λ'. 539.
Πέρση κ'. 139.
πεσσὸς α'. 107.
Πήγασος ι'. 106.
πηγυλὶς (accent.) ξ'. 476.
πῆδος, εἶδος ξύλου η'. 328.
Πήλιον λ'. 315. φ'. 303.
πηλαύσεως γ'. 68.
Πηνελόπη α'. 277. 329. δ'. 797. ξ'. 68. ι'. 16.
Πηρὼ λ'. 290.
Πιερία ε'. 50.

Πετινὴ μ΄. 39.
πέταξις κ΄. 242.
Πλαγκταὶ πέτραι μ΄. ἐπιθ.
πλάτη χερσαῖα λ΄. 128.
πλέθρον λ΄. 577.
Πληιάδες ε΄. 272. μ΄. 62.
πλεονασμὸς Ἀττικὸς δ΄. 38.—ποιητικὸς α΄. 326.—litterar. vel syllabarum α΄. 381. γ΄. 41. 237. 418. μ΄. 417.
πληγάδες μ΄. 69.
πληθυντικὸν ἀντὶ ἑνικοῦ ζ΄. 28. πληθυντ. οὐδέτερον σὺν ῥήμ. πληθ. β΄. 156.
πλήρης ε΄. 150. ἐκ πλήρους α΄. 175. δ΄. 519. ε΄. 104. ζ΄. 131. not. ξ΄. 195.
πλῆγμα, πλίκες, πλίσσειν ζ΄. 318.
πλυθεῖον (πλύνθρον dub.) ζ΄. 70. ε΄. 131.
Πλοῦτος ε΄. 125.
Πλωτὴ λ΄. 582.
πλάθειν τὸ πλήθειν τ΄. 122.
πνεῦμα. De spiritibus Fragm. Ambr.—spiritus in mediis vocibus additus β΄. 185. not. μ΄. 89.
ποιεῖν. πεποιημέναι λέξεις ε΄. 402.
πολεμιστήριος θ΄. 294. τ΄. 360.
πόλις ζ΄. 3.—Ἰθάκης κ΄. 416.
Πολύδαμνα δ΄. 228.
Πολυδεύκης λ΄. 299.
Πολυΐδης φ΄. 22.
Πολυκάστη π΄. 118.
Πολυκτόριον ρ΄. 207.
* πολυλλίστος ε΄. 445.
* πολυμετάβολος α΄. 1.
Πολυμήλα μ΄. 69.
Πολύμηλος α΄. 277.
Πολυνείκης λ΄. 302.
πολὺς (ὁ, ἡ) δ΄. 709.
Πολυφείδης ο΄. 223.
* πολυφέρβη λ΄. 423.
Πολύφημος Odyss. Argum. α΄. 69. 70. 198. ι΄. 106. 403.
πονέω, ἔσω, ἦσω α΄. 207.
πόνος β΄. 334.
πόντος δ΄. 474.
πόποι α΄. 32.
πόρδαλις δ΄. 156.
Πορθέων μ΄. 39.
πορθμὸς ο΄. 29.
πόρις κ΄. 410.
Ποσειδῶν α΄. 22. γ΄. 91. ε΄. 293. η΄. 91.
Ποσειδωνία, ἡ Ἀμφιτρίτη γ΄. 91.
ποταπὸς ξ΄. 491.
πότνια ε΄. 215.
ποσοῦς ε΄. 1.
* πραμνείοιο κ΄. 235.
πρασιὴ (accent.) γ΄. 274. n.
πλήσσω β΄. 213.
πρὶν δ΄. 255.
πρῖνος (genus) ε΄. 64.
* προαθετεῖν α΄. 185. cum not.
πρὸ post τὸ om. not. ad α΄. 58.
προανάκρουσις η΄. 208.
προαναφωνεῖν α΄. 154.
προβατώδης not. ad σ΄. 5.
Πρόβολος, ἀκιδὸς γ΄. 267.
προδιεζευγμένον σχῆμα κ΄. 513.
πρόδομος ξ΄. 5.
προικὸς ν΄. 15.
Προίτου θυγατέρες ο΄. 225. Προῖτος ἄλλος λ΄. 326.
* προκατασκεύασμα α΄. 262.
προκοπὴ ν΄. 20.
Πρόκρις λ΄. 321.
προληπτικῶς α΄. 161. μ΄. 240.
* προπαίκληρος θ΄. 163.
* προξενίζω α΄. 277.
προοικονομεῖν η΄. 16. 35. τ΄. 175.
πρὸς λείπει λ΄. 66.—ἀντὶ τοῦ ἀπὸ θ΄. 29.—pendet ab omisso σημειοῦται, not. ad ζ΄. 224.
προσθήκη α΄. 297.
προστερπίζεσθαι β΄. 77.
προσυφίστημι η΄. 11. v. praef. ι΄. 187.
προσφέρειν dub. β΄. 131.
προσῳδίαι. De Accentibus vid. Fragm. Ambr.
προσωποποιεῖν μ΄. 184.
* προφέρτερος dub. θ΄. 186. n.
* προχυτικὸς α΄. 136.
Πρυμνὴ κ΄. 2.
πρωθύστερον δ΄. 411. ε΄. 90.
πρωῒ et πρῶτα ν΄. 28. n.
Πρωτεσίλαος λ΄. 290.
Πρωτεὺς δ΄. 384. 542.
Πρωτογένεια κ΄. 2.

III. INDEX RERUM

Πρωτοκλῆς κ'. 2.
Πρωτοκρέων κ'. 2.
Πτερέλαος ρ'. 207. n.
πτέρυγος (accent.) Fragm. Ambr.
πτύειν, εὐτελὲς τ'. 28.
πτωτικὸν α'. 30.
πυγὼν κ'. 517.
Πύθια, ἀγὼν γ'. 267.
Πυθοῖ θ'. 80.
πυλημάχος γ'. 380. n.
Πύλος γ'. 7. ἐν Μεσσήνῃ γ'. 4. λ'. 281.
πυρήκης (accent.) ι'. 387.
Πυριφλεγέθων κ'. 514.
πύρνος, πύρνα ο'. 312. ρ'. 362.
Πύῤῥα κ'. 2.—urbs γ'. 169.
πω not. ad β'. 1.
πῶς, θαυμαστικὸν σ'. 223.

Ρ.

ῥὰ η'. 235. θ'. 450.
Ῥαδάμανθος et -υς η'. 324.
* ῥαπτήγυιαι dub. ξ'. 383.
ῥάχις ε'. 231. κ'. 161.
ῥαψῳδίαι α'. 21.
Ῥεῖθρον α'. 186.
ῥέξαι pro ῥῆξαι ζ'. 38.
ῥερ- augm. ζ. 59.
Ῥήγιον κ'. 2.
ῥῆξαι τὸ βάψαι γ'. 349. n.
Ῥηξήνωρ η'. 56.
ῥητὸν (τὸ) α'. 166.
ῥητορικὸς λόγος α'. 389.
ῥιγῶ -ήσω -ώσω ε'. 116.
ῥινὸν ε'. 281.
Ῥόδη ρ'. 208.
ῥοδοδάκτυλος β'. 1.
ῥοῖζος (genus) ι'. 315.
ῥούσιος, ῥουσιώδης ι'. 125.
ῥύμη ν'. 195.
ῥυτὸς ξ'. 10.
ῥωννύναι τὸν τόνον γ'. 137.

Σ.

σ πλεονάζει γ'. 41. χ'. 324.
Σαλμωνεὺς λ'. 237.
Σάμη, Σάμος α'. 246. δ'. 671. ο'. 29. Σάμος φ'. 71.
σαμψύχινον β'. 339.
σανδάλιον ξ'. 350.
Σαρακηνοὶ δ'. 84.
σαρδάνιον υ'. 302.
Σάρδος, ἡ, υ'. 302.
Σαρμοῦσα ο'. 223.
σαρκάζω α'. 389.
σάρον υ'. 149.
σεβαστικῶς α'. 215.
Σέθλος δ'. 617.
Σέθος ξ'. 278.
σεῖο et σοῦο [illegible]'. 413.
Σειρῆνες μ'. 39. 52.
Σελήνη ε'. 1.
σέλινον ε'. 72.
σεμνύνειν θ'. 170.
σεύω, ἐσσύμενος (accent.) ε'. 314. n.
σημαινομένων ἀκόλουθον γ'. 184. μ'. 75.
σημασία δ'. 384.
σημειοῦσθαι α'. 35. γ'. 231. 317. 345. δ'. 62. 123. 580. 613. 624. 644. 678. 682. σημειοῦνται om. v. not. ad et ad α'. 238. et ad ζ. 8. 224.
Σθένελος υ'. 259.
σι α'. 168. 379.
σίαλος β'. 300. ο'. 163.
σίδηρον φοβοῦνται νεκροὶ καὶ δαίμονες λ'. 48.
Σιδονίη Σιδόνιοι δ'. 84. ν'. 285.
σιγματοειδὴς α'. 208.
Σίκανος ποταμὸς ω'. 307.
Σικελία ι'. 25. λ'. 107. σ'. 85. ν'. 518. υ'. 66. 383. ω'. 307. Σικελικὰ ζύγματα θ'. 266. Σικελοί, -ιῶται υ'. 383.
Σικυώνιοι ἱπποφορβοὶ λ'. 271.
Σίντιες θ'. 294.
Σκία nomen corruptum cantoris γ'. 267. n.
Σίπυλος λ'. 582. ν'. 518.
σισιλυγμὸς ι'. 394.
κατὰ τὸ σιωπώμενον γ'. 313. κ'. 108. λ'. 158. ν'. 185. ρ'. 501. υ'. 137. cf. ρ'. 4.
Σίσυφος κ'. 2. λ'. 385.
σκαιωρεῖν, σκευωρεῖν β'. 212.
σκαλμὸς δ'. 782. θ'. 53.
Σκύθαι λ'. 14. Σκυθικὸν θ'. 222.
Σκύλλα μ'. 85. 105.
Σκῦρος λ'. 509. c. not.
σκύφος, ὁ τὸ, ξ'. 112.

* σμικρύνησις η'. 225.
σμυγερῶς γ'. 195. not.
σμίξω τὸ υ βραχὺ ρ'. 387.
σολοικισμὸς, σολοικοφανὲς λ'. 76. 90.
σόλος δ'. 626. θ'. 190.
Σόλυμα, Σόλυμος, Σόλυμοι ε'. 282. 283.
σομφὸς γ'. 466.
σπάθη, σπαθηρὰ not. ad θ'. 403.
Σπάρτη δ'. 1.
σπειροῦν, ῷν, ειν vid. ἐνσπ.
σποδελλὸς λ'. 539.
σπονδεῖος ὅλος ὁ στίχος ι'. 167.
σπόνδυλοι ε'. 231.
* σταθμίζω δ'. 129.
σταῦλον stabulum ω'. 209.
στειλειὸν (accent.) στελεὸν, στελεὰ ε'. 236.
στεναχὴ ε'. 83.
στενωπὸς β'. 388.
στερνίζεσθαι dub. β'. 77.
Στερόπη μ'. 39.
στίχειν δ'. 277.
στιχηδὸν ξ'. 161.
στιχοποιία ω'. 1.
στῖχος compendio ψ'. 30.—λαγαρὸς γ'. 230.—σφηκώδης κ'. 60.—διὰ μέσου γ'. 139.—ἐν χρήσει ε'. 410. Versus jocularis in cod. Vind. v. not. ad α'. 329.
στοιχειακῶς β'. 433.
στρογγυλίζειν μ'. 351.
στρεύγεσθαι μ'. 351.
Στρογγύλη κ'. 1.
Στρόφιος γ'. 307.
Στὺξ κ'. 113. 514.
συγκοπὴ ξ'. 176. ρ'. 51. 73.—τοῦ ι α'. 276.—συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους θ'. 245.
σύγκρισις ι'. 13.
συγκριτικὸν ἀντὶ ἁπλοῦ γ'. 125.
συγχρῆσθαι v. not. ad δ'. 339.
συλληπτικῶς ζ'. 2. θ'. 61. 224.
Συλὼ λ'. 235.
σύμφωνα. Consonæ duplicatæ Fr. Ambr.
συναίρεσις λ'. 191. de Contractione litteris expressa vel non vid. Fragm. Ambr.
συναλοιφὴ γ'. 14. α'. 134.
συνάφεσις κ'. 515.
ἀπὸ συνδέσμου ἄρχεσθαι ὁμηρικὸν δ'. 472.
* συνδίαντες α'. 238.
συνεκδοχὴ, συνεκδοχικῶς ά'. 277. γ'. 486. ι'. 469.
συνέμπτωσις ε'. 281.
συνετίζειν α'. 346. not.
συνεύνω (sic) δ'. 545.
συνεύχεσθαι ζ'. 181.
συνήθεια α'. 232. 251. 275. σ'. 229.—Ἀττικὴ σ'. 367.
συνήθως ρ'. 287.
συνίζησις cf. συναίρεσις
συνίστημι η'. 241. n. adde β'. 171. η'. 225. 333. λ'. 619. vid. et προσυνίστημι et σύστασις.
συννεύω δ'. 545. n.
συντακτικὸν ἐπίρρημα α'. 276.
σύνταξις σ'. 18.—Ἀττικὴ θ'. 197. τ'. 27.
πρὸς συνώνυμον γ'. 184. μ'. 75.
συνωρὶς δ'. 590.
Σύρα, νῆσος ε'. 403.
σῦς ἐν ἀλλοτρίῳ πεδίῳ σ'. 29.
συσταλτέον de syllaba per solam cæsuram longa ε'. 48.
σύστασις δ'. 81. 537. θ'. 236.
συστολὴ Ἰωνικὴ α'. 234. δ'. 1. ζ'. 200. ψ'. 8. in positione δ'. 1. ρ'. 387.
* συφορβέω ρ'. 208.
σφάγια, σφάγιον λ'. 577. not. λ'. 593. σφάγιον culter γ'. 444.
σφαιρομάχια θ'. 372. not.
Sphalmata pro varr. lectt. ρ'. 50. not.
σφέλας ρ'. 231. σ'. 394.
σφῆνες ρ'. 231.
Σφιγγὸς αἴνιγμα λ'. 271.
σφὶν θ'. 506.
σφοδελὸν λ'. 539.
σφόνδυλοι ε'. 231.
σφοραὶ pro σφυρὰ λ'. 603.
σφῷν δ'. 62.
Σχερία ε'. 34. ζ'. 8. ψ'. 321.
σχῆμα ἀντίστροφον γ'. 408.—γνωμικὸν ε'. 74.—γοργότης α'. 110.—τῆς διαλύσεως ψ'. 103.—παραληπτικὸν

δ'. 240.—σιδηροφανὴς λ'. 76.—σημαινομένων ἀκόλουθον μ'. 75. not.—περιττὸν, ἄτομον (ἀπότομον) β'. 195.
σχηματίζειν ἀπὸ μητέρων ρ'. 134.
σχηματισμὸς Ἀττικὸς ψ'. 301.
σχῖνος σχοῖνος ν'. 103.
Σόβαλος δ'. 617.
Σόσων ποταμὸς ε'. 441.

Τ.

τάλαντον δ'. 129.
Ταλθύβιος τ'. 175.
Τάλως præf.
Τανάγρα ε'. 121.
τανυήκης δ'. 257.
* τανηλεγὴς λ'. 398. not.
ταὼν ι'. 464.
Τάνταλος λ'. 582. τ'. 518. υ'. 66.
Ταῦροι β'. 80.
Ταῦρος ἄστρον μ'. 62.
τάφος α'. 417. γ'. 309.
Τάφος α'. 105. 417. γ'. 309.
τάχα α'. 251. β'. 89.
τε περισσὸς β'. 182.—male in textu pro δὲ ζ'. 101.
τεάφων not. ad μ'. 417.
τέθνηκα δ'. 590.
Τειρεσίας κ'. 494. λ'. 90.
Τελέστωρ vel Τελεστὼ δ'. 797. ε'. 16.
τέμενος ζ'. 293. ρ'. 299.
Τεμέση, Τέμψα, Τέμψων α'. 184.
Τένεδος θ'. 294.
Τερψιχόρη θ'. 488. μ'. 39.
* τέσφων μ'. 417. n. ξ'. 307.
τέτμεν ε'. 58.
τετράστειροι ν'. 81.
τέττα ζ'. 57.
τεῦξε, ἰακῶς ψ'. 235.
τεχνικοὶ λ'. 76. τεχνικῶς σ'. 269.
τέων (accent.) λ'. 502.
τζυβίκια ρ'. 300.
τζόκα τ'. 233.
τῇ θ'. 477. ι'. 347. τ'. 305.
τῆλε β'. 183. δ'. 11.
Τηλεβίαι α'. 105. λ'. 266.
Τηλέγονος Odyss. Argum. λ'. 134.
τηλεκλειτὸς Fragm. Ambr.
τηλεκλυτὸς (accent.) α'. 30.
Τηλέμαχος π'. 118.
Τηλεπόρα, Telepora κ'. 6.
Τηλέπυλος κ'. 82.
Τήλεφος λ'. 520. 521.
Τηριδάη δ'. 12.
Τηΰγετος ζ'. 103.
τηΰσιη ε'. 19. not.
Τιθων δ'. 187. Τιθωνὸς ε'. 1.
Τισάμενος δ'. 4.
Τιτυὸς η'. 324. λ'. 581.
τλάω. τετλάμεν male pro τέτλαμεν υ'. 311. not.
Τμῶλος ζ'. 204.
τοὶ α'. 214.
τοῖος α'. 208. c. not. γ'. 496.
τοῦσδεσι (accent.) ν'. 258.
τοκῆες οἱ πρόγονοι ψ'. 54.
τολύπη α'. 238. δ'. 490.
τομία λ'. 23.
Τοριδάη (dub.) δ'. 12.
τραγῳδία de poesi epica θ'. 499. 542. τραγῳδὸς, τραγῳδεῖς ὁ ἀοιδὸς γ'. 267. θ'. 542.
τράπεζαι η'. 174.
* τρίλοφος τ'. 177.
τριστάται γ'. 324.
Τριτογένεια γ'. 378.
Τριφυλία γ'. 366.
* τριφύλλιον δ'. 603.
τροφαμερεῖν dub. β'. 204.
Τροίη τρισυλλάβως λ'. 510. δισυλλάβως ε'. 39.
τρόπις ε'. 249. n. μ'. 51.
τροπὸς θ'. 53.
τρύζω τὸ υ βραχὺ ρ'. 387.
Τρωγλοδύτης δ'. 84.
Τρωϊκὰ, ἡρωϊκά· Τρώων, ἡρώων λ'. 547. n. τ'. 174.
τροπῷ α'. 1. not.
Τυνδάρεω, -εω λ'. 299.
Τυρσηνικὸν πέλαγος κ'. 1.—κλῆμα μ'. 39.
Τυρὼ β'. 120. λ'. 235. 287. 290.
τυφλώττω λ'. 91.


Υ.

υ et ι vid. Fragm. Ambr.
Ὕδρα μ'. 89.
ὑμὴν τῆς καρδίας ι'. 301.
ὑπαντᾷν α'. 239. κ'. 210. cf. ἀπαντᾷν.
ὕπαρ τ'. 547.

ὑπερεσία κ΄. 78.
ὑπερβατῶς μ΄. 3.
ὑπερβιβαστέον η΄. 74. ὑπερβιβασμὸς ι΄. 253. not. ad ι΄. 248.
Ὑπερείη ζ΄. 4.
Ὑπερησία ο΄. 254.
ὑπέρθεσις γ΄. 180.
* ὑπέρσπονδος α΄. 134.
ὑπερφίαλος α΄. 134. β΄. 320.
Ὑπέρφας λ΄. 326.
ὑπὸ γ΄. 81.—ἔμφασιν ἔχει δ΄. 386.—παρέλκει π΄. 10.—cum genit. (sub) ι΄. 329.—Vid. ὑφ' ἕν.
ὑποδιαστολὴ Fr. Ambr. (ad Il. α΄. 188.)
* ὑποζωγραφεῖν ι΄. 121. n.
* ὑποκατιὼν ι΄. 254.
ὑπομνήματα β΄. 133. δ΄. 618. λ΄. 525. et not. ad χ΄. 188. ὑπομνηματίζειν not. ad ν΄. 408.
ὑπονοεῖται στίχος μ΄. 250. ν΄. 390.
ὑποπτεύειν στίχον β΄. 206. μ΄. 104. ξ΄. 22. 162. ο΄. 31.
ὑποτακτικὰ καὶ εὐκτικὰ ζ΄. 33. 37. not. ι΄. 24.
* ὑποτοπεύειν η΄. 80.
Ὑρκεὺς ι΄. 121. not.
ὑφ' ἓν κ΄. 169. μ΄. 70. 98. ὑπὸ ἓν σ΄. 282. ὑφ' ἓν ὁ στίχος α΄. 354. η΄. 263. De signo hyphen vid. Fragm. Ambr.
ὑφίστασθαι δ΄. 517.
Ὑψιπύλη δ΄. 797.

Φ.

Φαέθουσα ρ΄. 208.
Φαέθων λ΄. 326. ρ΄. 208.
Φαίακες ζ΄. 195. 204. 244. η΄. 8. 16. 318. θ΄. 100. 383. ν΄. 119. Φαιακία ζ΄. 195. 204. η΄. 79. 324. ν΄. 119. 154. cf. Σχερία, Κέρκυρα.
Φαίαξ ν΄. 130.
Φαίδρα λ΄. 321.
Φαιστὸς γ΄. 296.
Φαλακρὸς κ΄. 6.
* φαλαρίτης γ΄. 380. n.
Φαληρεὺς δ΄. 797.
Φαρίβας ᾠδὸς γ΄. 267.
Φάρος δ΄. 355.
Φάρσαλος δ΄. 9.
φασί, φάσθαι vid. φημί.
φασιμέλουσα μ΄. 70.
Φᾶσις μ΄. 70.
Φεαί, Φειαὶ γ΄. 488. ο΄. 297.
Φεραὶ γ΄. 488. δ΄. 798. ο΄. 297.
Φερήμων κ΄. 6.
Φέρης μ΄. 69.
Φερσεφόνη κ΄. 491. λ΄. 539.—alia λ΄. 281.
φέρω. φέρε β΄. 178. φέρεται δ΄. 93. οὐκ ἐφέροντο α΄ 171. 185. ο΄. 74. τ΄. 130. cf. ἀναφέρεσθαι.
φερώνυμος τ΄. 409.
φημί. φησὶ an φασὶ α΄. 263. n. δ΄. 589. 797. ι΄. 47. not. 110. 182. 202. η΄. 270. λ΄. 274. n. 430. n. cf. et φασὶ α΄. 58. 262.—φᾶσθαι, φάσθε ζ΄. 200. φῆς, φὴς, φῇς η΄. 239.
Φήμιος α΄. 325. γ΄. 267.
φήνη γ΄. 372.
Φηρά, Φηραὶ γ΄. 488. ι΄. 186. 297. cf. Φεραί.
φθάνειν μ΄. 85.
φθείης β΄. 368. φθεῖτο λ΄. 330.
Φθία δ΄. 9. λ΄. 496.
Φιλάμμων τ΄. 432.
φιλοκαλεῖν τι δ΄. 490.
Φιλοκτήτης θ΄. 220.
Φιλομηλείδης δ΄. 343. ρ΄. 134.
φίλος α΄. 238. cum not. γ΄. 184. not.
φιλόσοφοι σ΄. 136.—ἀρχαῖοι σ΄. 2.
* φιλοφρονηματικὸς ξ΄. 145.
Φιλωνὶς τ΄. 432.
Φινεὺς μ΄. 69.
φλάμουλον λ΄. 579.
φλάσκων β΄. 349.
Φλέγρα η΄. 59.
Φλεγύαι λ΄. 262. 264.
Φλεγυᾶς σ΄. 85.
φλίβω ρ΄. 221. not.
φλιὰ η΄. 87.
Φοίβη μήτηρ Ἀπόλλωνος γ΄. 279.
Φοίνικες, Φοινίκη θ΄. 163. ν΄. 285.
Φοινικοῦσσα, -όδης κ΄. 1.
Φοῖνιξ δ΄. 818.
Φορκὶς λ΄. 134.
Φόρκυς α΄. 72. λ΄. 134. μ΄. 85. ν΄. 96.



φρένες ί. 301.
* φρενοβλάβεια (sic) ί. 233.
Φρενία ί. 125.
Φρύνη γ΄. 7.
Φύλακος, Φυλάκιος μ΄. 301.
Φύλακος λ΄. 287.
φύσκη not. ad σ΄. 44.
φύω vid. ἔφυν.
Φωκεῖς, dialect. α΄. 320.
φωλεὸς ί. 182. θ΄. 177.

X.

Χαῖρε ν΄. 39.
χαλιμάζειν (χαλικάζειν, χαλιβάζειν) ψ΄. 2. n.
χάλιξ, χάλις σ΄. 359. τ΄. 530. ψ. 1. not.
χαλίφρων τ΄. 530.
Χαλκηδονία ί. 283.
χάπτειν δ΄. 40. not.
Χάριος, Χαριάδης, Χαρίδημος α΄. 325. not.
χάρις ἀντὶ τοῦ χαρὰ ζ΄. 29.
χάριτες θ΄. 266. λ΄. 459.
χάσθειν δ΄. 50.
χασμῳδία. Hiatus in ι pleonast. not. ad μ΄. 78.
* χαυνόφρων δ΄. 371.
χειμαίνω θ΄. 108.
Χείρων Argonautas mittit μ΄. 69.
χείσεται, Ἀττικῶς σ΄. 17.
χέρνιβον α΄. 136. γ΄. 440.
* χερόνεττα (dub.) δ΄. 52.
χήτειος λ΄. 521.
χιτὼν ξ΄. 513. λ΄. 410.
χλαῖνα ξ΄. 513.
χλωραύχενες τ΄. 518.
Χλῶρις, Χλωρὶς λ΄. 281. n.
χοῖνιξ τ΄. 28. præf.
χόλος β΄. 315.
χοντρὸν ν΄. 399.
χρεία (syntax.) δ΄. 634.
χρειώδης ζ΄. 116.
χρῆσις. ἐν χρήσει ί. 410.
χρῆσται creditor et deb. π΄. 432.
χρόνος εἰκοστὸς β΄. 77. χρόνων ἀναλλογὴ ζ΄. 86. θ΄. 290.—Signa Quantitatis vid. Fragm. Ambr.
Χρύσιππος κ΄. 6.
χωράφιον α΄. 378.
οἱ χωρίζοντες præf.
χύτλος ζ΄. 80.

Ψ.

ψάμαθος β΄. 326.
ψῆγμα η΄. 243.
ψηλαφάω α΄. 349. ι΄. 261.
ψηφολογητὸς ψ΄. 46.
ψιαθώδης ί. 256.
ψιλά. Tenuis ante asperum vid. Fragm. Ambr.
ψυγοὶ, ψυγχοὶ, ψυχοὶ ί. 219.
ψύχω η΄. 123. 126. ί. 219.
ψυκτὴρ η΄. 123. ί. 219.
ψύξω τὸ υ βραχὺ ρ΄. 387.
Ψυρὰ, Ψυρία γ΄. 171.
ψυχὴ λ΄. 51. 90. κ΄. 517.
* ψύχρα subst. ί. 467. n. ξ΄. 476. n.

Ω.

-ω pro ων in compar. β΄. 180. not.
Ὤγυγος α΄. 85.
ὠγύγια τὰ παλαιὰ α΄. 85.
Ὠγυγία α΄. 85. δ΄. 556. ί. 55. 100.
Ὠγύλη, Ὠγυλία, Ὠγύλιον α΄. 85.
ὧδε β΄. 111.—οὐδέποτε τοπικὸν α΄. 182. γ΄. 125.
ᾠδὸς α΄. 154. 325. γ΄. 267. θ΄. 383.
-ώεις δ΄. 1.
ὠκεανὸς θάλασσα λ΄. 10.
ὥρα ἡ καλὴ μ΄. 89.
Ὧραι μ΄. 131.
ὡρεῖν μ΄. 89.
Ὠρίθυια ξ΄. 533.
Ὠρίων ί. 121. 272.
ὡς ἀντὶ τοῦ ὅτι α΄. 227. β΄. 232.—ἀντὶ τοῦ ἴσον ρ΄. 344.—ἀντὶ τοῦ τοσοῦτον η΄. 109.—σημαίνει τὸ ὅμως ί. 430.—λείπει δ΄. 708. τ΄. 34. 230.—ἐν μέρει λόγου παραξύνεται λ΄. 160. n.
ὤπαιρε α΄. 134.
ὠτειλὴ τ΄. 393.
Ὤψ (accent.) α΄. 429.